κληρονομήσαντος τὸν ἀπηλευθερωκότα, τῶν ἀσῶν ἀφαιρεῖται τις, ᾗ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ· τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε· „Ἄνδρες δικασταί, ἐγὼ ᾗ πρότερον Εὐμαθεῖ τούτῳ ἐγενόμην χρήσιμος, ᾗ δικαίως· ᾗ νῦν, εἴ τι ἐστὶν ἐν ἐμοί, πειράσομαι συσσώζειν αὐτὸν μεθ' ὑμῶν· μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ, ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμαθοῦς πράγματα προσῆλθον· τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδώρου ἄρχοντος, ᾗ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, ἔσης μοι παρακαταθήκης παρ' Εὐμαθεῖ τούτῳ, μεταπεμψάμενος τοὺς οἰκείους τε ᾗ φίλους τοὺς ἐμοὺς Εὐμαθὴς, ἐνεφάνισε τὰ χρήματα, ἃ ἦν μοι παρ' αὐτῷ, ᾗ ἀπέδωκε πάντα ὀρθῶς ᾗ δικαίως· ἀνθ' ὧν ἐγὼ σωθεὶς ἐχρώμην αὐτῷ ἔτι μᾶλλον, ᾗ κατασκευαζομένῳ τὴν τράπεζαν προσεισεφόρησα ἀργυρίου, ᾗ μετὰ ταῦτα ἄγοντος αὐτὸν Διονυσίου, ἐξειλόμην εἰς ἐλευθερίαν, εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ Ἐπιγένους· ἀλλὰ περὶ μὲν τούτων ἐπιχήσω.“ 5.) Ἔστι δὴ ᾗ παρὰ τῷ Λυσίᾳ τις ὑπὲρ ἀνδρὸς ξένου, δίκην φεύγοντος περὶ κλήρου, ποιούμενος τὴν ἀπολογίαν· τοῦτον ἐπιγράφει τὸν λόγον Καλλίμαχος Περὶ Φερενίκου, ὑπὲρ τοῦ Ἀνδροκλείδου κλήρου· ᾗ ἔστι πολλοῖς πρότερον ἠγωνισμένος ἕτεσι θατέρου· ἐν ᾧ τὴν αἰτίαν πρώτως ἐπιδείκνυσιν ὁ περὶ τοῦ ξένου ποιούμενος τοὺς λόγους, ὥσπερ ὁ τὸν μέτοικον ἐξαιρούμενος εἰς ἐλευθερίαν· ἔστι δὲ τὸ προοίμιον τοῦ λόγου τόδε. „Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, περὶ τῆς φιλίας τῆς ἐμῆς ᾗ τῆς Φερενίκου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς· ἵνα μηδεὶς ὑμῶν θαυμάζῃ, ὅτι ὑπὲρ ἀδελφοῦ ὑμῶν πώποτε εἰρηκὼς πρότερον, ὑπὲρ τούτου νυνὶ λέγω· ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταί, ξένος ἦν Κηφισόδοτος, ὁ τούτου πατήρ· ᾗ ὅτε ἐφεύγομεν ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόρουν, ᾗ ἐγὼ, ᾗ ἄλλος Ἀθηναίων ὁ βουλόμενος· ᾗ πολλὰ ᾗ ἀγαθὰ, ᾗ ἰδίᾳ ᾗ δημοσίᾳ παθόντες ὑπ' αὐτοῦ, εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν· ἐπεὶ δ' ἓν ἔτοι ταῖς αὐταῖς τύχαις ἐχρήσαντο, ᾗ φυγάδες Ἀθήναζε ἀφίκοντο, ἡγούμενος τὴν μεγίστην αὐτοῖς ὀφείλειν χάριν, ἕτως οἰκείως αὐτοὺς ὑπεδεξάμην, ὥστε μηδένα γνῶναι τῶν εἰσιόντων, εἰ μή τις πρότερον ἠπίστατο, ὁπότερος ἡμῶν ἐκέκτητο τὴν οἰκίαν· οἷδε μὲν οὖν ᾗ Φερένικος, ὦ ἄνδρες δικασταί, ὅτι πολλοὶ λέγειν εἰσὶν ἐμοῦ δεινότεροι, ᾗ μᾶλλον τοιούτων πραγμάτων ἔμπειροι· ἀλλ' ὅμως ἡγεῖται τὴν ἐμὴν οἰκειότητα πιστοτάτην εἶναι· αἰσχρόν μοι οὖν δοκεῖ εἶναι, κελεύοντος τούτου, ᾗ δεομένου τὰ δίκαια αὐτῷ βοηθῆσαι, περιιδεῖν αὐτὸν, καθ' ὅσον οἷός τ' εἰμὶ ἐγὼ, τῶν ὑπ' Ἀνδροκλείδου δεδομένων στερηθῆναι.“ 6.) Τί δὴ ταῦτα τὰ προοίμια ἀλλήλων διαφέρει; παρὰ Λυσίᾳ μὲν ἡδεῖα ἐστὶν ἡ εἰσβολὴ, ᾗ δι' οὐδὲν ἄλλο μᾶλλον, ἢ ὅτι φυσικῶς πως εἴρηται, ᾗ ἀφελῶς. Ἀναγκαῖον μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, περὶ τῆς φιλίας τῆς ἐμῆς ᾗ τῆς Φερενίκου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς· ᾗ τὸ ἐπιλεγόμενον τούτῳ, ἔτι μᾶλλον ἀκατάσκευον φαίνεται εἶναι, ᾗ ὡς ἂν ἰδιώτης τις εἰπεῖν δύναιτο τὸ εἰρημένον. Ἵνα μηδεὶς ὑμῶν θαυμάσῃ, ὅτι ὑπὲρ οὐδενὸς ὑμῶν πώποτε εἰρηκὼς πρότερον, ὑπὲρ τούτου νῦν λέγω· παρὰ δὲ Ἰσαίῳ κατεσκεύασται τὸ δοκεῖν εἶναι ἀφελές, ᾗ ὃ λέληθεν ὅτι ἐστὶ ῥητορικόν. Ἐγὼ ᾗ πρότερον Εὐμαθεῖ τούτῳ ἐγενόμην χρήσιμος, ᾗ δικαίως καὶ νῦν, εἴτι ἐστὶ κατ' ἐμὲ, πειράσομαι συσσώζειν αὐτόν· ὑψηλότερα γάρ ἐστι, ᾗ ἧττον ἐκείνων ἀφελέστερα· ᾗ ἔτι μᾶλλον τὰ ἐπιφερόμενα. Μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ, ἢ ἄλλῃ τινὶ ἀδικίᾳ, πρὸς τὰ Εὐμαθοῦς πράγματα προσῆλθον· ἥ τε γὰρ προπέτεια, καὶ ἡ ἀδικία, ᾗ τὸ πρὸς τὰ Εὐμαθοῦς πράγματα προσελθεῖν, πεποιημένοις μᾶλλον ἔοικεν, ἢ αὐτοφυέσι· ᾗ οὕτως γε παρὰ μὲν τῷ Λυσίᾳ ἡ πρόφασις λέγεται ἀνεπιτηδεύτως. Ἐμοὶ

γὰρ, ὦ ἄνδρες δικασαὶ, ξένος ἦν Κηφισόδοτος, ὁ τότε πατήρ· ᾗ ὅτε ἐφεύγομεν ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόμην, ᾗ ἐγὼ, ᾗ ἄλλος Ἀθηναίων ὁ βελόμενος· ἡδέως τε ᾗ ἀφορισικῶς τὰ μετὰ ταῦτα ἐπιτίθεται. Καὶ πολλὰ ᾗ ἀγαθὰ, ᾗ ἰδία ᾗ δημοσίᾳ παθόντες ὑπ' αὐτοῦ, εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν· παρὰ δὲ τῷ Ἰσαίῳ πέφρασαι περιεργότερον, ᾗ ὀ μακρὰν ἀπέχει τῆς Δημοσθένους κατασκευῆς. Τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδότου ἄρχοντος, ᾗ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, ἔσης μοι παρακαταθήκης παρ' Εὐμαθεῖ τότῳ· τότε γὰρ, λόγου ἀπαγγελθέντος, ᾗ τὸ ὡς ἄρα τετελευτηκὼς εἴην, ᾗ τὸ ἔσης ἐμοὶ παρακαταθήκης, ὀκ ἂν φαίην ἔγωγε ἀφελῶς εἰρῆσθαι· ἐκεῖνος γὰρ λεγόμενα μᾶλλον ἀπορίητα. Ὅτε γὰρ ἐτριηράρχουν, ᾗ ἀπηγγέλθη τοῖς ἐνθάδε, ὡς ἄρα τετελευτηκὼς εἴην, ἔχων μου παρακαταθήκην Εὐμαθὴς ἔτοσί. 7.) Καὶ τὰ λοιπὰ δὲ τῶν προοιμίων μέρη, παρ' ᾧ μὲν, ἀφελέστερον ἄν τις εὕροι λεγόμενα· παρ' ᾧ δὲ, ῥητορικώτερον· ἐν ἑτέρῳ δὲ ἀγῶνι πάλιν, ὁ μὲν Ἰσαῖος, ἐπιτρόπῳ τινὶ συντάξας ἀπολογίαν, ὑπὸ τῶν ἰδίων ἀδελφιδῶν κρινομένῳ, τοιαύτῃ κέχρηται ἀρχῇ." Ἠβουλόμην μὲν, ὦ ἄνδρες δικασαὶ, μὴ λίαν ὕτως ἀγνοηθέντα προοίμιατ' ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, ᾗ δίκας τοιαύτας λαγχάνειν· ἀλλ' ὀ τόγε ὢν ἀδελφιδοῦν ἐμὸν ᾗ κύριον τῆς πατρῴας οὐσίας, ὀ μικρᾶς, ἀλλ' ἱκανῆς, ὥστε ᾗ λειτουργεῖν, ὑφ' ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι, τῶν δ' ἐμῶν μὴ ἐπιθυμεῖν· ἵνα βελτίων τ' ἐδόκει πᾶσιν εἶναι, σώζων αὐτὴν, ᾗ πλείω ποιῶν, χρησιμώτερον ὑμῖν πολίτην παρεῖχεν ἑαυτόν· ἐπεὶ δὲ τὴν μὲν ἀνήρηκε, ᾗ πέπρακε, ᾗ αἰσχρῶς ᾗ κακῶς διολώλεκεν, ὡς ὀκ ἂν ἠβουλόμην· πιστεύων δ' ἑταιρίαις, ᾗ λόγων παρασκευαῖς, ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν· ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν,

ὅτι τοιοῦτος ἐστὶν, οἰκεῖος ὤν· ἀπολογεῖσθαι δὲ περὶ ὧν ἐγκέκληκε, ᾗ ἔξω [μὲν] τοῦ πράγματος διαβέβληκεν· ὡς ἂν ἓν δυνώμεθα προθυμότατα πρὸς ὑμᾶς." Ὁ δὲ Λυσίας ἀνδρὶ ὑπὸ τῶν ἀδελφῶν τῆς ἑαυτοῦ γυναικὸς ἐγκαλουμένῳ κακῆς ἐπιτροπῆς, συγγράψας λόγον, τοιούτῳ κέχρηται τῷ προοιμίῳ. „Οὐχ ἱκανὸν, ὦ ἄνδρες δικασαὶ, τοῖς ἐπιτρόποις, ὅσα πράγματα διὰ τὴν ἐπιτροπίαν ἔχουσιν, ἀλλὰ ᾗ διασώζοντες τὰς τῶν φίλων οὐσίας, συκοφαντοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί· ὅπερ κἀμοὶ νῦν συμβέβηκεν· ἐγὼ γὰρ, ὦ ἄνδρες δικασαὶ, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων, ᾗ διαχειρίσας ὀρθῶς ᾗ δικαίως τὴν οὐσίαν, ᾗ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα, ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν ὑπ' αὐτῶν ἀδίκως." 8.) Οὐ πολλῶν οἶμαι δεῖν λόγων, ὅτι τοῦτο μὲν ἀφελῶς ᾗ ἡδέως εἴρηται, ἦθός τε ὀ πεπλασμένον, ἀλλὰ φυσικὸν ἐπιφαίνει· τὸ γὰρ, ὀχ ἱκανὸν, ὦ ἄνδρες δικασαὶ, τοῖς ἐπιτρόποις ὅσα πράγματα διὰ τὴν ἐπιτροπὴν ἔχουσιν, ὐδεὶς ἂν εἴποι ῥήτορος εἶναι, ἀλλὰ παντὸς ἰδιώτου, κατασάντος εἰς ἀγῶνα ἄδικον· τὸ δ' Ἰσαίου πεποιῆσθαι ῥητορικῶς ᾗ κεκαλλιλογῆσθαι σεμνότερον, ἅπαντες ἂν φήσειαν· τὸ γὰρ, ἐβουλόμην μὲν, ὦ ἄνδρες δικασαὶ, μὴ λίαν ὕτως ἀγνοηθέντα προοίμια ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν· ᾗ ἔτι μᾶλλον παρὰ Λυσίᾳ μὲν χαριέντως πάνυ ᾗ ἀφελῶς εἰρῆσθαι τό. Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασαὶ, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων, ᾗ διαχειρίσας ὀρθῶς ᾗ δικαίως τὴν οὐσίαν, ᾗ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα· θάτερον δὲ τρανότερον, ᾗ ὀχ ὡς ἂν ἰδιώτης μετέθηκεν. Ἀλλ' ὀ τόγε ὢν ἀδελφιδοῦν ἐμὸν ᾗ κύριον τῆς πατρῴας οὐσίας, ὀ μικρᾶς, ἀλλ' ἱκανῆς, ὥστε ᾗ λειτουργεῖν ὑφ' ἡμῶν αὐτῷ παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι. Ἑνὸς δ' ἔτι μνησθήσομαι γένους, ἐξ ὃ μάλισα ᾗ διαφορὰ τῶν ἀνδρῶν ἔσαι καταφανής.

9.) Ὑποτίθεται δ' ἑκάτερος ἰδιώτην ἄνδρα, καὶ ἀπράγμονα καὶ νέον, παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν· ὁ μὲν Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην λόγῳ, τὸν τρόπον τοῦτον. „Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ λέγων, ὅτι νέος καὶ ἄπειρος ἦν πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον· ἐγὼ ἔν σε ἀξιῶ, μὴ εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σαυτοῦ, διηγήσασθαι περὶ τοῦ χρέους, ὅθεν γεγένηται· κἂν δοκῇς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλὰ λαβών, ἐπὶ τὰ σαυτοῦ· δίκαιος δέ εἶμοι μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ συμβουλεύειν, ἵνα ἀκούσαντες περὶ ὧν οὐκ ἴσμεν, βουλευσώμεθα περὶ ὧν σὺ λέγεις· ἐάν πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι, ἢ δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι· ταῦτ' ἐμοῦ προκαλουμένου, οὐδεπώποτ' ἠθέλησε συνελθεῖν, οὐδὲ λόγον περὶ ὧν ἐνεκαλεῖτο ποιήσασθαι, οὐδὲ δίαιταν ἐπισρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ τῶν διαιτητῶν ἔθεσθε.“ Ὁ δὲ Ἰσαῖος ἐν αμφισβητήσει χωρίον τὸ ὑπὸ τῶν δημοτῶν κατεχημένον, οἷς τὸ χωρίον ὑπέκειτο, ταύτῃ χρώμενον εἰσάγει τῇ ἀρχῇ· „Μάλισα μὲν ἐβουλόμην, ὦ ἄνδρες δικασταί, μηδ' ὑφ ἑνὸς ἀδικεῖσθαι τῶν πολιτῶν· εἰ δὲ μή, τοιούτων ἀντιδίκων τυχεῖν, πρὸς οὓς ἂν ἐδὲν ἐφρόντιζον διαφερόμενος· νῦν δέ μοι πάντων πραγμάτων λυπηρότατον συμβέβηκεν· ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, οὓς περιορᾶν μὲν ἀποσερροῦντας οὐ ῥᾴδιον, ἀπέχθεσθαι δὲ ἡδέως, μεθ' ὧν ἀνάγκη καὶ συνεσίας κοινὰς ποιεῖσθαι· πρὸς μὲν ἕν πολλοὺς χαλεπὸν ἀντιδικεῖν· μέγα γὰρ μέρος συμβάλλεται τὸ πλῆθος αὐτοῖς πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν· ὅμως δὲ διὰ τὸ πιστεύειν τοῖς πράγμασι, πολλῶν μοι καὶ δυσκόλων συμπιπτόντων, οὐκ ἠγούμην δεῖν κατοκνῆσαι δὶ

ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων· δέομαι οὖν ὑμᾶς συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν, λέγειν ἐπὶ δικαστηρίῳ τετόλμηκα· διὰ γὰρ τοὺς ἀδικοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν· πειράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς, ὡς ἂν δύνωμαι, διὰ βραχυτάτων εἰπεῖν περὶ τοῦ πράγματος.“

10.) Τίς ἂν οὖν οὐκ ἂν ὁμολογήσειε, τὸν μὲν Λυσίου νέον, καὶ ἰδιώτην, καὶ ἀπράγμονα, ἀρχέτυπόν τινα εἶναι τῆς ἀληθείας, διαφέροντα ἐκείνης οὐδ' ὁτιοῦν· τὸν ἕτερον δὲ, ἀπόγραφόν τινα καὶ οὐ λανθάνοντα, ὅτι πέπλασται ῥητορικῇ τέχνῃ; καὶ γὰρ αἱ λέξεις καὶ τὰ νοήματα, παρ' ἐκείνῳ μὲν, τὸ αὐτοφυές· παρὰ δὲ τοῦτο, τὸ κατασκευασὸν ἀποφαίνουσιν· ὁ μὲν γὰρ, ἀρχῇ κέχρηται, ὅτι νέος τε, καὶ ἄπειρος εἴη πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰς δικαστήριον εἰσιέναι· καὶ ἐπιφέρει πάνυ ἠθικῶς· Ἐγὼ οὖν σε ἀξιῶ, μὴ εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, καὶ τὸ μετὰ τοῦτο, ὡς φύσιν εἶχε γενέσθαι τε καὶ ῥηθῆναι, λέγει· ὡς ἐπὶ διαιτητὰς ἠξίουν κοινοὺς ἐλθεῖν φίλους· κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐθέν σοι δεήσει πραγμάτων, ἀλλὰ καὶ λαβών, ἐπὶ τὰ σαυτοῦ· καὶ τὰ λοιπὰ ἐν ἤθει χρησῷ διεξελθών, τελευτῶν ἐπιτίθησι. Ταῦτ' ἐμοῦ προκαλουμένου, οὐδεπώποτε ἠθέλησε συνελθεῖν· ὁ δὲ Ἰσαῖος, τοῦτο μὲν τὸ μέρος, τὸ παρὰ τὴν ἑαυτοῦ γνώμην ἠναγκάσθαι λέγειν ἐν δικαστηρίῳ, νέον ὄντα, ἐπὶ τελευτῇ τοῦ προοιμίου τίθησιν· ἄρχεται δὲ ἀπὸ διανοίας, οὐ φαύλης μὰ Δία, οὐδὲ ἰδιωτικῆς· ἀνιαρώτερον εἶναι λέγων πρὸς τοιούτους ἀπέχθεσθαι, μεθ' ὧν ἀνάγκη τῶν τιμιωτάτων κοινωνεῖν· ἔπειτα ἀπολύεταί τι τῶν μελλόντων αὐτὸν λυπεῖν, τὸ δὴ πολλοὺς ὄντας τοὺς δημότας πρὸς αὐτὸν ἀντιδικεῖν συντίθησί τε τὰ ὀνόματα οὐ φαύλως μὰ Δία, οὐδ' ὡς ἂν ἰδιώτης. Ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, φησίν· οὓς περιορᾶν μὲν οὐ ῥᾴδιον ἀποσερροῦντας· ἀπέχθεσθαι δ' ἂν ἡδέως, μεθ' ὧν ἀνάγκη καὶ συνεσίας κοινὰς ποιεῖσθαι· ἡ γὰρ ἀηδὴς ἀπέχθεια, καὶ αἱ κοιναὶ συνεσίαι, τεχνικώτερον

σύγκεινται μᾶλλον, ἢ ἀφελέσερον· ᾗ ἔτι τὸ, Πολλῶν μοι δυσκόλων συμπιπτόντων, ἐχ ἡγέμην δεῖν κατοκνῆσαι δὶ ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων· ἥκισα γὰρ ἰδιώτης ἂν ἔτως, ἐχ ἡγέμην δεῖν κατοκνῆσαι, ἐδέ γε τὸ Δὶ ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων· ἀλλ' ἐκεῖνος πως μᾶλλον, Τοσέτων γέμοι συμπιπτόντων δυσκόλων, ἐφ' ὑμᾶς ἠνάγκασμαι καταφυγεῖν, ἵνα τῶν δικαίων τύχω δὶ ὑμῶν. 11.) Οἶμαι μὲν ἓν ᾗ ἐκ τέτων ἐκ ἄδηλον εἶναι τὴν τῶν ἀνδρῶν διαφοράν· ἐ μὴν ἀλλὰ ᾗ ἐκ τῶν μελλόντων λέγεσθαι μᾶλλον ἔσαι καταφανὴς, ᾗ μάλισα ἐκ τῶν ἀποδεικτικῶν ᾗ παθητικῶν λόγων· ἐν οἷς ὁ μὲν Λυσίας, ἁπλέσερός τίς ἐσι, ᾗ κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων, ᾗ κατὰ τὴν κοινότητα τῶν χημάτων· ἑτοσὶ δὲ, ποικιλώτερος· πολλὰ γὰρ ἄν τις, ἰδὼν, εὕροι παρ' αὐτῷ, ὡς ἐν τέτῳ. „Πόθεν χρὴ πισεύεσθαι τὰ εἰρημένα, πρὸς θεῶν; ἐκ ἐκ τῶν μαρτύρων; οἴομαι γε· πόθεν δὲ τὲς μάρτυρας; ἐκ ἐκ τῶν βασάνων; εἰκός γε· πόθεν δέ γε ἀπισεῖσθαι τὲς λόγες τὲς τέτων; ἐκ ἐκ τᾶ φεύγειν τὲς ἐλέγχες; ἀνάγκη μεγάλη· φαίνομαι τοίνυν ἐγὼ μὲν διώκων ταῦτα, ᾗ τὰ πράγματα εἰς βασάνες ἄγων· ἔτος δὲ, ἐπὶ διαβολὰς ᾗ λόγες καθισάς· ὅπερ ἄν τις πλεονεκτεῖν βουλόμενος ἐποίησεν· ἐχρῆν δὲ αὐτὸν, εἴπέρ τι δίκαιον ἐφρόνει, ᾗ μὴ παρακρέεσθαι τὰς ὑμετέρας γνώμας ἐζήτει, μὴ μὰ Δία ταῦτα ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν μετὰ μαρτύρων ἐλθεῖν, ᾗ ἐξετάζειν ἕκασα τῶν ἐν τῷ λόγῳ, τᾶτον τὸν τρόπον παρ' ἐμᾶ πυνθανόμενον. Εἰσφορὰς λογίζῃ πρὸς τόσας; ᾗ πόσον ἀργύριον εἰσενηνεγμένης; κατὰ τόσον ᾗ τόσον· κατὰ πόσα ψηφίσματα ταυτὶ; ταύτας εἰλήφασίτινες, οἱ ᾗ ταῦτα μαρτυρόμενοι· σκέψασθαι τὰ ψηφίσματα, τὸ πλῆθος τῶν εἰσφορῶν, τὰ εἰσενενηνεγμένα, τὲς λαβόντας· ᾗ εἰ μὲν εὖ τε τῷ λόγῳ πισεύειν· εἰ δὲ μὴ, νῦν παραχέσθαι μάρτυρας, εἴτι ψεῦδος ἦν ὧν ἐλογισάμην αὐτοῖς“ 12.) Ταυτὶ μὲν διαλελυμένα, ᾗ

ἐξ ἐπερωτήσεως· οἷς ὁ Λυσίας μὲν ἥκισα κέχρηται· Δημοσθένης δὲ, ὁ παρὰ τέτε τὰς ἀφορμὰς λαβὼν, ἀφειδέσερον· οἷον. „Οὐκᾶν σὺ μισθοφορὰν λέγεις; φήσει τις· ᾗ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ Ἀθηναῖοι· ἵνα τῶν κοινῶν τὸ μέρος λαμβάνων ἕκασος, ὅτε δέοιτο ἡ πόλις, τᾶτο παρέχῃ· ἔξεσιν ἄγειν ἡσυχίαν; οἵκοι μένων βελτίων εἶ, τᾶ δὶ ἔνδειαν ἀνάγκῃ τὶ ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος· συμβαίνει τὶ τοιᾶτον, οἷα ᾗ τὰ νῦν; σρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τέτων λημμάτων, ὥσπερ ἔσι δίκαιον, ὑπὲρ τῆς πατρίδος· ἔσι τὶς ἔξω τῆς ἡλικίας ἡμῶν; ὅσα ἔτος ἀτάκτως νῦν λαμβάνων ἐκ ὠφελεῖ, ταῦτα ἐν ἴσῃ τάξει παραλαμβάνων, πάντ' ἐφορῶν ᾗ διοικῶν, ἃ χρὴ πράττεσθαι· ὅλως δὲ, ἔτε ἀφελὼν, ἔτε προσθεὶς, πλήν τι μικρὸν, τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τᾶ λαβεῖν, τᾶ σρατεύεσθαι, τᾶ δικάζειν, τᾶ ποιεῖν τᾶθ' ὅ,τι καθ' ἡλικίαν ἕκασος ἔχοι, ᾗ ὅτε καιρὸς εἴη, τάξιν ποιήσας.“ Ἐκεῖνα, δὲ κατὰ συσροφὴν ᾗ παρακεκινδυνευμένα, τῷ τε βραχέως ᾗ ἀγκύλως ᾗ ἐκ παραδόξε συντίθεσθαι, ᾗ ἐχ ἅπασιν ἐδὲ ἐκ προχείρε γνωριζόμενα. „Καὶ ἔτος γὰρ ὁ πάντων ἀνθρώπων χετλιώτατος, ἐ παρεχόμενος αὐτῶν μάρτυρας δᾶναι, ὧν ἐναντίον ἡμῖν ἀποδᾶναι φησὶν, ὡς ἐκείνοις πισεύειν προσποιεῖται μᾶλλον, ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ἡμῖν ὡς ἐκ ἀπειλήφαμεν· καίτοι πᾶσι φανερὸν, ὡς ἔοικε, τὸν τέτε πατέρα, ἀποσερᾶντα ὄντα ἐπίτιμον, ὅτι ἡμῖν ἑκόντες ἐκ ἂν ἀπέδοσαν, εἰσπράξασθαι, ἔτως ἔχοντος, ἐκ ἂν ἐδυνήθημεν.“ Καὶ γὰρ τᾶτό ἐσι τὸ χῆμα, ᾧ πολλάκις Δημοσθένης κέχρηται. „Εἶτ' οἴεσθε, οἳ μὲν αὐτὸν ἐδὲν ἠδυνήθησαν ποιῆσαι κακὸν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυλάξαντ' ἂν ἴσως, τέτες μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δὲ ἐκ προῤῥήσεως πολεμῆσαι;“ Καὶ ἔτι γε τὰ τοιαῦτα. „Ὧ γὰρ, ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων,

καταλελειτεργηκότι, δανειζομένῳ δ' ὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον ὐδὲν ἀποδεδωκότι τὰς μισθώσεις, ἔχειν ἐμοὶ προσῆκον ἀναμφισβητήτως, ἔτοι τηλικαύτην δίκην λαχόντες, ἢ σφέτερα αὐτῶν εἶναι φάσκοντες, ἐκώλυσάν με ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν." Καὶ τί δεῖ τὰ πλείω παρατιθέντα μηκύνειν; πολλὰ γὰρ ἄν τις εὕροι τῶν Ἰσαίᾳ κατὰ τὴν σύνθεσιν ἢ κατὰ τὲς σχηματισμὲς ἐξηλλαγμένα μὲν τῆς Λυσίᾳ λέξεως, ἐοικότα δὲ τῇ Δημοσθένες δεινότητι. 13.) Εἰρηκὼς δὲ ἢ περὶ τῶν πραγμάτων, ὅτι δεινότερός ἐσιν οἰκονομῆσαι Λυσίᾳ, ἢ ὅλες τὲς λόγες, ἢ τὰ μέρη αὐτῶν, ἢ ὐδὲν ἔξω ποιῶν τῆς τέχνης, ἣ μετὰ ταῦτα πολλῇ ὁ Δημοσθένης ἐχρήσατο, βέλομαι ἢ τὰς ὑπὲρ τέτων παραχέσθαι πίσεις· ἔσαι δὲ κεφαλαιώδης τε ἢ ὡς πρὸς ἀνεγνωκότας τὸν ἄνδρα ὁ λόγος· ἐ γὰρ ἐνεχώρει παραδείγματα πάντων τιθέναι· αὐτίκα τὰς διηγήσεις τοτὲ μὲν ἀπροκατασκευάσες ἢ συντόμες, ἢ ὐδὲν προλαμβανέσας τῶν ἀποδεικτικῶν, ἐν τῇ προσηκέσῃ τίθησι χώρᾳ, καθάπερ ἐφ' ᾧ πρὸς Μέδοντα ποιεῖ λόγῳ, ἢ ἐν τῷ πρὸς Ἀγνόθεον, ἢ ἐν τῇ πρὸς τὲς δημότας ἀμφισβητήσει περὶ τῆ χωρίᾳ, ἢ ἐν ἄλλοις συχνοῖς· τοτὲ δὲ, μερίσας αὐτὰς εἰς τὰ κεφάλαια, ἢ παρ' ἕκασον αὐτῶν τὰς πίσεις παρατιθεὶς, ἐμμηκύνειτε μᾶλλον, ἢ ἐμβαίνει τὸ τῆς διηγήσεως ᾠ̃μα, τῷ συμφέροντι χρώμενος· ταύτης ἔσι τῆς ἰδέας ἥτε πρὸς Ἕρμωνα ὑπὲρ τῆς ἐγγύης ἀπολογία· ἢ ἡ πρὸς Εὐκλείδην ἀμφισβήτησις ὑπὲρ τῆς τῆ χωρίᾳ λύσεως· ἢ ἡ ὑπὲρ Εὐφιλήτε πρὸς τὸν Ἐρχιέων δῆμον ἔφεσις· ἐν γὰρ δὴ τοῖς λόγοις τέτοις μακροτέρας τὰς διηγήσεις ἔσας, ἐχ ἅμα τίθησιν ὅλας, ἀλλὰ κατὰ μέρη διαλαμβάνων, ἐφ' ἑκάσῳ κεφαλαίῳ τές τε μάρτυρας ἐπάγεται, ἢ τὰς ἄλλας παρέχεται πίσεις, δεδοικὼς, παρ' ὅσα γ' ἓν ἐμοὶ δοκεῖ, μὴ δυσπαρακολέθητος γένηται, διὰ τὸ πλῆθος τῶν κεφαλαίων, ὁ λόγος, ἢ πολλάκις αἴτε

πίσεις εἰς ἓν χωρίον ἅπασαι συναχθεῖσαι, πολλαὶ ἢ περὶ πολλῶν ὖσαι πραγμάτων, μὴ συνταράξωσι τὴν σαφήνειαν· τοιγάρτοι μετὰ τὰς διηγήσεις, τὰς ἔτως ᾠκονομημένας, ἐκ ἔτι τὰς προηγεμένας ἀποδείξεις πολλοῖς βεβαίεται λόγοις, ἐδ' ἔσιν ὅμοιος τοῖς νέοις τεχνογράφοις, ἀλλὰ τὰς τῶν ἀντιδίκων πίσεις ἀναιρεῖν οἴεται δεῖν. 14.) Τότε δὲ, προκατασκευάζεταί τινα πρὸ τῶν διηγήσεων πράγματα, ἢ προλαμβάνει τὰ μέλλοντα, πιςοτέρας αὐτὰς, ἢ κατ' ἄλλό τι χρησιμωτέρας ποιήσειν οἰόμενος, ὡς ἐν τῇ κλήσει τῇ πρὸς Ἀρισογείτονα ἢ Ἄρχιππον εὑρίσκεται πεποιηκὼς, ἐν ᾗ κλήρῳ τις ἀμφισβητῶν, ἀδελφὸς ὢν τῆ τελευτήσαντος, προσκαλεῖται τὸν ἔχοντα τἀφανῆ χρήματα εἰς ἐμφανῶν κατάσασιν· ὁ δὲ τῆ κλήρῳ κρατῶν, παραγράφεται τὴν κλῆσιν, δεδόσθαι λέγων ἑαυτῷ τὰ χρήματα κατὰ διαθήκας· διττῆς δὲ τῆς ἀμφισβητήσεως ὑπαρχέσης· τῆς μὲν, περὶ τῆ γεγονέναι τὰς διαθήκας, ἢ μή· τῆς δὲ, τῶν διαθηκῶν ἀμφισβητεμένων ἤδη, τίνα δεῖ τῆ κλήρῳ κρατεῖν· πρῶτον ἀποδὺς τὸν ὑπὲρ τῶν νόμων λόγον, ἢ ταῦτα ἀποδείξας τὸ μέρος, ὡς ἐ δεῖ τὸν ἐπίδικον κρατεῖσθαι κλήρον πρὸ δίκης, ἔτως ἐπὶ τὴν διήγησιν ἔρχεται, δι' ἧς ἀποδείκνυσιν, ἔτε γεγενημένας ὑπὸ τῆ τετελευτηκότος τὰς διαθήκας· ἢ ὐδὲ ταύτην τὴν διήγησιν ἁπλῶς πως συῤῥέψας ἢ ἀκατασκευάσως τίθησιν, ἀλλὰ ἢ ταύτην μακροτέραν ἔσαν, ἀποτομαῖς τισι διαλαμβάνει, ἢ καθ' ἕκασον εἶδος μάρτυρας ἀναβιβάζεται, ἢ προκλήσεις ἀναγινώσκει, ἢ συνθήκας παρέχεται, τεκμηρίοις τε ἢ σημείοις ἢ τοῖς ἐκ τῶν εἰκότων ἐλέγχοις ἅπασι χρῆται· πολλὰς δ' ἂν ἔχοιμι ἢ ἄλλας παραχθέσθαι διηγήσεις, πρὸς τὸ συμφέρον ᾠκονομημένας ὑπὸ τῆ ῥήτορος, προκατασκευαῖς, μερισμοῖς, χωρίων ἀλλαγαῖς, πραγμάτων μεταγωγαῖς, τῷ τὰ κεφάλαια ἀνεῤῥάφθαι, τῷ μὴ κατὰ τὲς χρόνες τὰ πραχθέντα εἰρῆσθαι, τῷ μὴ πάντα, μηδ' ἂν ὡς φύσιν εἶχε πραχ-

θῆναι, μηδ' ὡς ἂν ἰδιώτης τὶς εἴποι, λέγεσθαι, μὴ μετρίως, μυρίοις ἄλλοις τοιούτοις τρόποις· ἀλλ' ἔτε χρόνον ἱκανὸν ἔχω περὶ πασῶν λέγειν, ἐκδιηγούμενος εὐθὺς ἐφ' ἑκάστης τὴν τέχνην, ὡς ἐβελόμην ἄν· ἔθ' ὁ πρὸς τὰς ἐπισαμένας τὰ πράγματα λόγος, ἐν τῷ πλήθει τῶν παραδειγμάτων τὸ πιστὸν ἔχει, ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις καὶ ἡ βραχεῖα δήλωσις. 15.) Ἐρῶ δὲ κεφαλαιωδῶς, περὶ ταύτης τῆς ἰδέας, ἣν ἐγὼ δόξαν ἔχω, καὶ τίνι διαφέρειν οἶομαι τὸν Ἰσαῖον τῷ Λυσίᾳ· τῷ Λυσίᾳ μὲν ἄν τις ἀναγινώσκων τὰς διηγήσεις, εὐδὲν ἂν ὑπολάβοι λέγεσθαι κατὰ τέχνην ἢ πονηρίαν, ἀλλ' ὡς ἡ φύσις καὶ ἡ ἀλήθεια φέρει· αὐτὸ τοῦτο ἀγνοῶν, ὅτι τῆς τέχνης τὸ μιμήσασθαι τὴν φύσιν αὐτῆς μέγιστον ἔργον ἦν· ἐπὶ δὲ τῶν Ἰσαίου διηγημάτων, τἀναντίον ἂν παθεῖν, μηδὲν ὑπολαβεῖν αὐτοφυῶς καὶ ἀπραγματεύτως λέγεσθαι, μηδ' εἴτινα ὡς ἔτυχε γενόμενα εἴρηται· ἐκ κατασκευῆς δὲ πάντα, καὶ μεμηχανευμένα πρὸς ἀπάτην, ἢ ἄλλην τινὰ κακουργίαν· καὶ τῷ μὲν ἂν καὶ τὰ ψευδῆ λέγοντι πιστεύσειν ἄν· τῷ δὲ, μηδ' ἂν ἀληθεύῃ, χωρὶς ὑποψίας προσέξειν· ἐν δὲ τοῖς ἀποδεικτικοῖς διαλλάττειν ἂν δόξειεν Ἰσαῖος Λυσίᾳ, τῷ τε μὴ κατ' ἐνθύμημά τι λέγειν, ἀλλὰ κατ' ἐπιχείρημα· καὶ τῷ μὴ βραχέως, ἀλλὰ διεξοδικῶς· μηδὲ ἁπλῶς, ἀλλ' ἀκριβῶς· αὔξειν τε μᾶλλον, καὶ δεινότερα ποιεῖν τὰ πράγματα, καὶ τὰ πάθη ποιεῖν γενικώτερον· ἐν γὰρ δὴ τούτοις ἐχ ἥττον ἐστὶ φανερὸς τῇ Δημοσθένης τέχνῃ τὰς ἀφορμὰς δεδωκὼς, ἀλλ' ἐτὴν Λυσίᾳ διώκων ἀσφάλειαν, ὡς ἔκ τε ἄλλων ἐστὶ λόγων, μᾶλλον δὲ ἐκ πάντων τῶν γραφέντων ὑπ' αὐτοῦ τεκμήρασθαι· εἰ δέτι δεῖ καὶ παραδείγμασι χρῆσθαι, μήτις ἀναπόδεικτα δόξῃ λέγειν ἡμᾶς, ποιήσω καὶ τοῦτο προχειρισάμενος τὸν ὑπὲρ Εὐφιλήτου λόγον, ἐν ᾧ τὸν Ἐρχιέων δῆμον εἰς τὸ δικαστήριον προσκαλεῖται τις τῶν ἀποψηφισθέντων, ὡς ἀδίκως τῆς πολιτείας ἀπελαυνόμενος· ἐγράφη γὰρ δή τις ὑπὸ τῶν Ἀθηναίων νόμος, ἐξέτασιν γενέσθαι

τῶν πολιτῶν κατὰ δήμους· τὸν δὲ ἀποψηφισθέντα ὑπὸ τῶν δημοτῶν, τῆς πολιτείας μὴ μετέχειν· τοῖς δὲ ἀδίκως ἀποψηφισθεῖσιν, ἔφεσιν εἰς τὸ δικαστήριον εἶναι, προσκαλεσαμένοις τοὺς δημότας· καὶ ἐὰν τὸ δεύτερον ἐξελεγχθῶσι, πεπρᾶσθαι αὐτοὺς, καὶ τὰ χρήματα εἶναι δημόσια· κατὰ τοῦτον τὸν νόμον ὁ Εὐφίλητος προσκαλεσάμενος τοὺς Ἐρχιέας, ὡς ἀδίκως καταψηφισαμένους αὐτοῦ, τὸν ἀγῶνα τόνδε διατίθεται· προείρηται μὲν δὴ τὰ πράγματα ταῦτ' ἀκριβῶς, καὶ πεπίστωται διὰ τῶν μαρτύρων· οἷς δὲ βεβαίας βούλεται ποιῆσαι τὰς μαρτυρίας, τάδ' ἐστίν· ὡς μὲν ἐγὼ δόξης ἔχω, πάντ' ἀκριβῶς ἐξειργασμένα· κρινέτω δὲ ὁ βουλόμενος, εἰ τὰ προσήκοντα ἔγνωκα περὶ αὐτῶν. 16.) „Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἀδελφὸς ἡμῖν ἐστιν ἑτοσὶ ὁ Εὐφίλητος, οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε μαρτυρόντων· σκέψασθε δὲ πρῶτον τὸν πατέρα ἡμῶν, τίνος εἵνεκεν ἂν ψεύδοιτο, καὶ τοῦτον μὴ ὄντα αὐτοῦ υἱὸν εἰσποιοῖτο· πάντας γὰρ εὑρήσετε τοὺς τὰ τοιαῦτα πράττοντας, ἢ ἐκ ὄντων αὐτοῖς γνησίων παίδων, ἢ διὰ πενίαν ἀναγκαζομένους, ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνταί τι ἀπ' αὐτῶν δι' αὐτοὺς Ἀθηναίων γεγονότων· τῷ τοίνυν πατρὶ τούτων ἑτέρου ὑπάρχει· γνήσιοι μὲν γὰρ αὐτῷ ἡμεῖς δύο ἡμεῖς ἐσμεν· ὥστε ἐκ ἂν γε δι' ἐρημίαν τοῦτον εἰσποιοῖτο· ἀλλὰ μὴν οὐδὲ τροφῆς τε καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος· ἔστι γὰρ αὐτῷ βίος ἱκανὸς, καὶ χωρὶς τούτου μεμαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ ἀσκῶν, καὶ εἰς φράτορας εἰσάγων· καὶ ταῦτα οὐ μικρὰ δαπανήματά ἐστιν· ὥστε τόν τε πατέρα ἡμῶν ἐκ εἰκὸς εἶσιν, ὦ ἄνδρες δικασταὶ, μηδὲν ὠφελούμενον, ἕτως ἀδίκῳ πράγματι ἐπιχειρῆσαι· ἀλλὰ μὴν οὐδ' ἐμέγε οὐθεὶς ἀνθρώπων ἕτω τελέως ἂν ἄφρονα ὑπολάβοι, ὥσε τούτῳ μαρτυρεῖν τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανείμωμαι· καὶ γὰρ οὐδ' ἀμφισβητήσαί μοι ἐξουσία γένοιτ' ἂν ὕστερον, ὡς ἐκ ἔστιν ἀδελφὸς ἕτος

ἐμὲ· εὐθὺς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ' ἂν ἀκέων, εἰ νῦν μὲν, ὑπόδικον ἑαυτὸν καθίσας, μαρτυρῶ ὡς ἔστιν ἀδελφὸς ἡμέτερος· ὕστερον δὲ φαινοίμην τούτοις ἀντιλέγων· ἐ μόνον τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταὶ, εἰκὸς ἐστι τἀληθῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς· ἐνθυμήθητε γὰρ πρῶτον μὲν, ὅτι οἱ τὰς ἀδελφὰς ἡμῶν ἔχοντες, οὐκ ἄν ποτε ἐμαρτύρουν περὶ τούτου τὰ ψευδῆ· μητρυιὰ γὰρ ἡ τούτου μήτηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς· εἰώθασι δέπως, ὡς ἐπὶ τὸ πολὺ, διαφέρεσθαι ἀλλήλαις αἵτε μητρυιαὶ καὶ αἱ πρόγονοι· ὥστε εἰ ἕτερος ἐξ ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ, καὶ οὐκ ἐκ τοῦ ἡμετέρου πατρὸς, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταὶ, τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν καὶ ἐπέτρεψαν. καὶ μὴν οὐκ ἂν ὁ θεῖος πρὸς μητρὸς ἡμῖν ὢν, τούτῳ δὲ οὐδὲν προσήκων, δήπου τῇ τούτου μητρὶ ἠθέλησεν ἂν, ὦ ἄνδρες δικασταὶ, μαρτυρῆσαι ψευδῆ μαρτυρίαν, δι' ἣν ἡμῖν γίνεται βλάβη περιφανὴς, εἴπερ ξένον ὄντα τοῦτον εἰσεποιεῖμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, πρὸς τούτοις πῶς ἄν τις ὑμῶν καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτί, καὶ Ἡγήμονος, καὶ Νικοσράτου· οἳ πρῶτον μὲν οὐδὲν αἰσχρὸν ἐδέποτε φανήσονται ἐπιτηδεύσαντες, εἶτα δ', οἰκεῖοι ὄντες ἡμῖν, καὶ εἰδότες ἡμᾶς ἅπαντας, μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν αὐτοῦ συγγένειαν ἕκαστος· ὥστε ἡδέως κἂν τῶν ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ ἄλλοθέν ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὐτὸν Ἀθηναῖον, ἢ ἐκ τούτων, ὧν καὶ ἡμεῖς Εὐφιλήτου ἐπιδείκνυμεν· ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλό τι ἂν αὐτὸν, ἢ ὅτι ἡ μήτηρ ἀσὴ τέσσι, καὶ ὁ πατήρ· καὶ ὡς ταῦτ' ἀληθῆ λέγει, παρέχοιτ' ἂν αὐτῷ τοὺς συγγενεῖς μάρτυρας· εἶτα, ὦ ἄνδρες δικασταὶ, εἰ μὲν ἦτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὐτῶν οἰκείοις ὑμᾶς πιστεύειν μαρτυρεῦσι μᾶλλον, ἢ τοῖς κατηγόροις· νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων, ἀξιώσουσιν ὑμᾶς τοῖς αὐτῶν πείθεσθαι λόγοις μᾶλλον, ἢ τῷ πατρὶ

τῷ Εὐφιλήτου, καὶ ἐμοὶ, καὶ τῷ ἀδελφῷ, καὶ τοῖς φράτορσι, καὶ πάσῃ τῇ ἡμετέρᾳ συγγενείᾳ· καὶ μὴν ἔτοι μὲν, οὐδ' ἐν οὐδενὶ κινδυνεύοντες, ἰδίας ἔχθρας ἕνεκα ποιοῦσιν· ἡμεῖς δὲ, πάντας ὑποδίκους ἡμᾶς αὐτοὺς καθισάντες, μαρτυροῦμεν· καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδρες δικασταὶ, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μήτηρ, ἣν ἔτοι ὁμολογοῦσιν ἀσὴν εἶναι, ὅρκον ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ Δελφινίῳ, ἢ μὴν τουτονὶ Εὐφίλητον εἶναι ἐξ αὐτῆς καὶ τοῦ ἡμετέρου πατρός· καίτοι τίνα προσῆκε μᾶλλον αὐτῆς ἐκείνης τοῦτο εἰδέναι; ἔπειτα, ὦ ἄνδρες δικασταὶ, ὁ πατὴρ ὁ ἡμέτερος, ὃν εἰκὸς ἐστι μετὰ τὴν τούτου μητέρα ἄριστα τὸν αὐτοῦ υἱὸν γινώσκειν, ἔτος καὶ τότε καὶ νυνὶ βούλεται ὀμόσαι ἢ μὴν Εὐφίλητον τοῦτον υἱὸν εἶναι αὐτοῦ ἐξ ἀσῆς καὶ γαμετῆς γυναικός· πρὸς τούτοις τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἐγὼ ἐτύγχανον μὲν τρισκαιδεκαετὴς ὤν, ὥσπερ καὶ πρῶτον εἶπον, ὅτε ἔτος ἐγένετο· ἕτοιμος δέ εἰμι ὀμόσαι, ἢ μὴν Εὐφίλητον τουτονὶ ἀδελφὸν εἶναι ἐμαυτοῦ ὁμοπάτριον· ὥστε, ὦ ἄνδρες δικασταὶ, δικαίως ἂν καὶ τοὺς ἡμετέρους ὅρκους πιστοτέρους νομίζοιτε, ἢ τοὺς τούτων λόγους· ἡμεῖς μὲν γὰρ, ἀκριβῶς εἰδότες, ὀμόσαι περὶ αὐτοῦ θέλομεν· ἔτοι δὲ ταῦτα ἀκηκοότες παρὰ τῶν τούτου διαφόρων, ἢ αὐτοὶ πλάττοντες, λέγουσι· πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταὶ, ἡμεῖς μὲν τοὺς συγγενεῖς μάρτυρας, καὶ ἐπὶ τῶν διαιτητῶν, καὶ ἐφ ὑμῶν παρεχόμεθα, οἷς οὐκ ἄξιον ἀπιστεῖν· ἔτοι δὲ, ἐπειδὴ ἔλαχεν ὁ Εὐφίλητος τὴν δίκην τὴν προτέραν τῷ κοινῷ τῶν δημοτῶν, καὶ τῷ τότε δημαρχοῦντι, ὃς νῦν τετελεύτηκε, δύο ἔτη τοῦ διαιτητοῦ τὴν διαιταν ἔχοντος, οὐκ ἠδυνήθησαν οὐδεμίαν μαρτυρίαν εὑρεῖν, ὡς ἔτοσὶ ἄλλου τινὸς πατρός ἐσιν, ἢ τοῦ ἡμετέρου· τοῖς δὲ διαιτῶσι μέγιστα σημεῖα ἦν τοῦ ψεύδεσθαι τούτους, καὶ κατεδιήτησαν αὐτῶν ἀμφότεροι· καί μοι λάβετε τῆς προτέρας διαίτης τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

Ὡς μὲν τοίνυν καὶ τότε ὤφλον τὴν δίαιταν, ἀκηκόατε·

ἀξιῶ δὲ, ὦ ἄνδρες δικασταὶ, ὥσπερ ἔτοι μετὰ ταῦτα ἔφησαν εἶναι σημεῖον, ὡς ἐκ ἔσιν Ἡγησίππε, εἰ οἱ διαιτηταὶ αὐτῶν ἀπεδιήτησαν, ἔτω τὸ νῦν ἡμῖν τοιῦτον εἶναι μαρτύριον, ὅτι ἀληθῆ λέγομεν, ἐπεὶ ἔδοξαν αὐτοὶ ἀδικεῖν τῦτον, Ἀθηναῖον ὄντα, καὶ κυρίως πρῶτον ἐγγραφέντα, ὕσερον ἐξαλείψαντες· ὅτι μὲν ἓν ἀδελφὸς ἡμῶν ἐσιν ἑτοσὶ Εὐφίλητος, καὶ πολίτης ὑμέτερος, καὶ ἀδίκως ὑβρίσθη ὑπὸ τῶν ἐν τῷ δήμῳ συσάντων, ἱκανῶς οἶομαι ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, ἀκηκοέναι.“ 16.) Οὗτος ὁ χαρακτὴρ τῶν Ἰσαίε λόγων, καὶ ταῦτα τὰ διαλλάττοντα παρὰ τὴν Λυσίε ἀγωγήν· ἐνθὲν δὲ κωλύει καὶ κεφαλαιωδῶς περιλαβόντα, δι' ἐλαχίσης δηλώσεως τὰ φανερώτατα εἰπεῖν· ὅτι μοι δοκεῖ Λυσίας μὲν, τὴν ἀλήθειαν διώκειν μᾶλλον. Ἰσαῖος δὲ, τὴν τέχνην· καὶ ὁ μὲν, σοχάζεται τῦ χαριέντως· ὁ δὲ, τῦ δεινῶς· εἰ δέ τις παραθεωροίη ταῦτα ὡς μικρὰ καὶ φαῦλα, ἐκ ἂν ἔτι γένοιτο ἱκανὸς αὐτῶν κρατῆσαι· ἀλλὰ γὰρ αἱ ὁμοιότητες συνταράξεσιν αὐτῦ τὴν γνώμην, ὥσε μὴ διαγνῶναι τὸν ἴδιον ἑκατέρε χαρακτῆρα· καὶ περὶ μὲν τύτων, ὡς ἔχω δόξης, δεδήλωταί μοι. 17.) Βέλομαι δὲ ἤδη καὶ περὶ τῶν ἄλλων ῥητόρων ἀποδεῖναι τὸν λόγον, ἵνα μή τις ἀγνοίᾳ με δόξῃ παραλιπεῖν αὐτὲς, ἐπιφανεῖς ὄντας, καὶ ὀνόματος ἠξιωμένες ἐ μετρίε· ἡ φυγῇ τῦ πόνε τὸ ῥᾷσον αἱρέμενον τῶν ἔργων, τὴν περὶ αὐτῶν ἀφεικέναι σκέψιν· ἐγὼ γὰρ ἔτε ἠγνόεν, ὃς ἅπαντες ἴσασιν, ἔτε ὤκνεν ὑπὲρ αὐτῶν γράφειν, εἴ τι χρήσιμον ἔμελλεν ἐξοίσειν ἡ γραφή· ἐνθυμέμενος δὲ ὅτι τὴν μὲν ποιητικὴν κατασκευὴν, καὶ τὸ μετέωρον δὴ τῦτο καὶ πομπικὸν εἰρημένον, ἐδεὶς Ἰσοκράτες ἀμείνων ἐγένετο, παρέλιπον ἑκών, ὃς ἥδειν ἧττον ἐν ταῖς ἰδέαις ταύταις κατορθύντας. Γοργίαν μὲν τὸν Λεοντῖνον, ἐκπίπτοντα τῦ μετρίε, καὶ πανταχῦ παιδαριῶδη γιγνόμενον ὁρῶν. Ἀλκιδάμαντα δὲ, τὸν ἀκεσὴν αὐτῦ, παχύτερον ὄντα τὴν λέξιν καὶ κοινότερον. Θεόδωρον δὲ τὸν Βυζάντιον, ἀρ-

χαῖόν τινα, καὶ ἔτε ἐν ταῖς τέχναις ἀκριβῆ, ἔτε ἐξέτασιν ἱκανὴν ἐν τοῖς ἐναγωνίοις δεδωκότα λόγοις. Ἀναξιμένην δὲ τὸν Λαμψακηνὸν, ἐν ἁπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βελόμενον· καὶ γὰρ ἱσορίας γέγραφε, καὶ περὶ τῦ ποιητῦ συντάξεις καταλέλοιπε, καὶ τέχνας ἐξενήνοχεν, ἥπται δὲ καὶ συμβελευτικῶν καὶ δικανικῶν ἀγώνων· οὐ μέντοι τέλειόν γε ἐν ἑδεμιᾷ τύτων τῶν ἰδεῶν, ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἁπάσαις θεωρῶν· ὃ δὴ δεῖν ᾠόμην, Ἰσοκράτες ἐν ἅπασι πάντων τύτων ὑπερέχοντος, λόγον τινὰ ποιῆσαι περὶ ἐκείνων· ὃ δέ γε περὶ τῶν συμβιωσάντων Ἰσοκράτει, καὶ τὸν χαρακτῆρα τῆς ἑρμηνείας ἐκείνε ἐκμιμησαμένων ἑθνὸς, Θεοδέκτε λέγω, καὶ Θεοπόμπε, καὶ Ναυκράτες, Ἐφόρε τε καὶ Φιλίσε, καὶ Κηφισοδώρε, καὶ ἄλλων συχνῶν· ἑδὲ γὰρ ἐκεῖνοι κρίνεσθαι πρὸς τὴν Ἰσοκράτες δύναμιν εἰσὶν ἐπιτήδειοι· τῶν μὲν δὴ κατὰ ταύτην τὴν ἀγωγὴν κοσμεμένων ἐκεῖνον τὸν ἄνδρα διαφορώτατον ἡγησάμενος, ἐκ ἔτι περὶ τῶν ἄλλων ἀξίωσα μακρολογεῖν, καὶ δαπανᾶν εἰς ἑδὲν ἀναγκαῖον τὸν χρόνον. 18.) Τῶν δὲ τὰς ἀκριβεῖς προαιρεμένων λόγες, καὶ πρὸς τὴν ἐναγώνιον ἀσκέντων ῥητορικὴν, ὧν ἐγένετο Ἀντιφῶντε ὁ Ῥαμνέσιος, καὶ Θρασύμαχος ὁ Χαλκηδόνιος, καὶ Πολυκράτης ὁ Ἀθηναῖος, Κριτίας τε ὁ τῶν τριάκοντα ἄρξας, καὶ Ζωΐλος ὁ τὰς καθ' Ὁμήρε συντάξεις καταλιπὼν, καὶ ἄλλοι τοιῦτοί τινες, ἑδένα ἡγέμενος ἔτε ἀκριβέσερον, ἔτε χαριέσερον γεγονέναι Λυσίε. Ἀντιφῶν γε μὴν τὸ αὐσηρὸν ἔχει μόνον καὶ ἀρχαῖον, ἀγωνισὴς δὲ λόγων ἔτε συμβελευτικῶν, ἔτε δικανικῶν ἐσί. Πολυκράτης δὲ, κενὸς μὲν ἐν τοῖς ἀληθινοῖς, ψυχρὸς δὲ καὶ φορτικὸς ἐν τοῖς ἐπιδεικτικοῖς, ἄχαρις δὲ ἐν τοῖς χαριεντισμῷ δεομένοις ἐσί. Θρασύμαχος δὲ, καθαρὸς μὲν, καὶ λεπτὸς, καὶ δεινὸς εὑρεῖν τε καὶ εἰπεῖν σρογγύλως καὶ περιττῶς ὁ βέλεται· πᾶς δ' ἐσὶν ἐν τοῖς τεχνογραφικοῖς καὶ ἐπιδεικτικοῖς· δικανικὸς δὲ καὶ συμβελευτικὸς ἐκ ἀ-

πολέλοιπε λόγους· τὰ δὲ αὐτὰ καὶ περὶ Κριτίου, καὶ περὶ Ζωίλου τις ἂν εἰπεῖν ἔχοι, πλὴν ὅσον τοῖς χαρακτῆρσι τῆς ἑρμηνείας διαλλάττουσιν ἀλλήλων· τούτων δή φημι τῶν ἀνδρῶν, καὶ τῶν παραπλησίων τούτοις, διαφέρειν οἰόμενος Λυσίαν, καὶ ὥσπερ ἀρχέτυπον ὑπογράφων ὑπερέχειν ἐκεῖνον τὸν ἄνδρα, ταύτης τῆς προαιρέσεως τῶν λόγων ἐποιησάμην κανόνα· τὸν δὲ δὴ τρίτον Ἰσαῖον, εἴ τις ἔροιτό με, τίνος ἕνεκα προσεθέμην, Λυσίου δὴ ζηλωτὴν ὄντα, ταύτην ἂν αὐτῷ φαίην τὴν αἰτίαν, ὅτι μοι δοκεῖ τῆς Δημοσθένους δεινότητος, ἣν ἀθείς ἐσιν ὃς ἀ τελειοτάτην ἁπασῶν οἴεται γενέσθαι, τὰ σπέρματα καὶ τὰς ἀρχὰς ἔτος ὁ ἀνὴρ παραχεῖν· διὰ μὲν δὴ ταύτας τὰς αἰτίας τόσδε τοὺς ἄνδρας μόνους παρέλαβον· εἰ δὲ περὶ πάντων ἠξίουν γράφειν, εἰς κενότητας ἂν μοι ὁ λόγος ἐξέπιπτε, καὶ πρὸς τῷ μηθὲν ἢ ἀ πολὺ τὸ χρήσιμον ἔχειν, εἰς ἀπέραντόν τινα καὶ ἀ σύμμετρον ἐξεμηκύνθη γραφήν· καὶ περὶ τούτων μὲν ἄλις· ἑτέραν δὲ ἀρχὴν ποιήσομαι τοῦ λόγου, περίτε Δημοσθένους καὶ Ὑπερείδου καὶ τρίτου λέγων Αἰσχίνου· ἡ γὰρ δὴ τελειοτάτη ῥητορικὴ, καὶ τὸ κράτος τῶν ἐναγωνίων λόγων, ἐν τούτοις τοῖς ἀνδράσιν ἔοικεν εἶναι.

ΙΣΑΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ ΛΟΓΟΙ.

ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΚΛΕΩΝΥΜΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀδελφιδοῖ, Κλεωνύμου τελευτήσαντος, ἐπὶ τὸν κλῆρον ἔρχονται κατὰ γένος· καὶ τὰς διαθήκας, ἃς παρέχονται εἰς αὐτοὺς οἱ περὶ Φερένικον καὶ Σίμωνα, καὶ Ποσείδιππον γράψαι, ὡς ἀληθὲς ἦν, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν, ὁμολογοῦντες Κλεώνυμον, κατὰ τὴν πρὸς Δεινίαν τὸν ἐπίτροπον αὐτῶν ὀργήν· ὕστερον δὲ ἐπιχειρήσαντα λῦσαι· καὶ μεταπεμψάμενον

τὸν ἀσυνόμον, ἐξαίφνης ἀποθανεῖν· καὶ Πολύαρχον δὲ τὸν πάππον αὐτῶν, Κλεωνύμου δὲ πατέρα, προσάξαι, εἴ τι πάσχοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὰ ὑπάρχοντα. Ἡ στάσις, ὅρος διπλοῦς, κατὰ ἀμφισβήτησιν· οἱ μὲν γὰρ ἄλλοι ταῖς γενομέναις ἐξ ἀρχῆς διαθήκαις διϊσχυρίζονται, οἱ δ' ἀντιλέγοντες φασὶν, ὅτι μετεκαλέσατο τὸν ἄρχοντα, ἵνα λύσῃ αὐτάς· καὶ τελευταῖον, τοῖς παρὰ τοῦ Κλεωνύμου γενομένοις.

ἀ. Πολλὴ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευτήσαντος Κλεωνύμου· ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν κατέλιπε τὴν οὐσίαν· ἀποθανὼν δὲ, κινδυνεύειν περὶ αὐτῆς πεποίηκε· καὶ τότε μὲν ἔτως ὑπ' αὐτοῦ σωφρόνως ἐπαιδευόμεθα, ὥς' οὐδὲ ἀκροασόμενοι οὐδέποτε ἤλθομεν ἐπὶ δικαστήριον· νῦν δὲ ἀγωνιόμενοι περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων· οὐ γὰρ τῶν Κλεωνύμου μόνον ἀμφισβητοῦσιν, ἀλλὰ καὶ τῶν πατρῴων, ὀφείλειν ἐπὶ τούτοις ἐκεῖνον φάσκοντες ἀργύρια· καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες οἱ τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν αὐτοῖς, τούτων ἰσομοιρῆσαι· ἕτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας, ὥσε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἡμῶν ἐρημίαν καταγνόντες· σκέψασθε γὰρ οἷς ἑκάτεροι πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν· ἕτοι μὲν, διαθήκαις ἰσχυριζόμενοι τοιαύταις, ἃς ἐκεῖνος διέθετο μὲν,

(2) Ὀφείλειν ἐπὶ τούτοις ἐκεῖνον] πότερον τὸν Κλεώνυμον, ἢ τὸν πατέρα; τὸ πρῶτον ἔμοιγε ἄμεινον· ἔχει γὰρ ἕτω· φάσκοντες, ὅτι ἐκεῖνος (Ὁ Κλεωνύμος) ὀφείλει ἀργύρια (τισὶ) ἐπὶ τούτοις (ἐπὶ ὑποθήκῃ τούτων τῶν πατρῴων) ὅ ἐσιν ὑποθέμενος τὰ πατρῷα, ἐδανείσατο ἀργύριον· εἰδὲ ἐννοήσαιμεν τὸν πατέρα (ὡς ἀπὸ τῆς λέξεως πατρῴων) ἑρμηνευτέον ἕτω· ὃ μόνον . . . ἀλλὰ καὶ τῶν πατρῴων ἀμφισβητοῦσι, λέγοντες ὅτι ἐκεῖνος ὁ πατὴρ ἐπὶ τούτοις (τοῖς Κλεωνύμῳ ὖσι) ὀφείλει (ἐκείνῳ τῷ Κλεωνύμῳ) ἀργύριον· (3) πολλὴν ἐρημίαν καταγνόντες] νομίζοντες, βλέποντες, ὅτι ἐσμὲν παντελῶς φίλων καὶ

οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλ' ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων· ἔλυσε δὲ πρὸ τοῦ θανάτου, πέμψας Ποσειδίππον ἐπὶ τὴν ἀρχήν· ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω προσήκοντες, χρώμενοι δὲ ἐκείνῳ πάντων οἰκειότατα, δεδωκότων δ' ἡμῖν ὑ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν, ὑ αὐτοῦ τοῦ Κλεωνύμου, διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ, ἔτι δὲ Πολιάρχου, τοῦ πατρὸς Κλεωνύμου, πάππου δ' ἡμετέρου, προσάξαντος, εἶτι πάθοι Κλεώνυμος ἄπαις, ἡμῖν δεῦναι τὰ αὑτοῦ· τοσούτων τοίνυν ἡμῖν ὑπαρχόντων, ἕτοι, ὑ συγγενεῖς ὄντες, ὑ ἐδὲν δίκαιον εἰπεῖν ἔχοντες, ὐκ αἰσχύνονται κατασήσαντες ἡμᾶς εἰς ἀγῶνα περὶ τούτων, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι ὑ τοῖς μηδὲν προσήκουσιν.

β'. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρὸς ἀλλήλους· ἐγὼ μὲν γὰρ, ὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς οἰκείους, οὓς ἐδ' ἀμύνεσθαι καλῶς ἔχει· ἐ γὰρ ἂν ἐλάττω συμφορὰν ἡγησάμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκείους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων· ἕτοι δ' ἐ τοιαύτην ἔχουσι τὴν γνώμην, ἀλλ' ἥκουσιν ἐφ' ἡμᾶς, ὑ τοὺς φίλους παρακαλέσαντες, ὑ ῥήτορας παρασκευασάμενοι, ὑ ἐδὲν ἀπολιπόντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, τοὺς ἐχθροὺς τιμωρησόμενοι, ὑ ὐκ ἀναγκαίους ὑ συγγενεῖς κακῶς ποιήσοντες. Τὴν μὲν ἓν τούτων ἀναισχυντίαν καὶ τὴν αἰσχροκέρδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων ἀκούσητε· ὅθεν δ' οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν ἐντεῦθεν ἄρξομαι διδάσκειν.

γ'. Δεινίας γὰρ, ὁ τοῦ πατρὸς ἀδελφὸς, ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὢν, ὀρφανοὺς ὄντας. Κλεωνύμου δ' ὄντος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. Ὁπότερος μὲν ἓν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως ὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν· πλὴν τοσοῦτόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαίμην, ὅτι ὑ φίλοι τέως ὄντες, ὑ προφάσεως ἐδεμιᾶς γενομένης, ἐκ λόγων τινῶν ἔτως εἰκῇ πρὸς ἀλλήλους ἔχθρας ἀνείλοντο· ὅτι γοῦν ἐκ ταύτης τῆς ὀργῆς ὁ Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, ὐκ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσώθη ἔλεγεν· ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, ὑ δεδιὼς, μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν, ὑ τῆς οὐσίας, ἡμετέρας οὔσης, γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι, τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον ὑ κύριον τῶν αὑτοῦ καταλιπεῖν, ὑ ποιεῖν αὐτῷ τὰ νομιζόμενα τοῦτον, ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν. Ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ' ὀρθῶς, εἴτε μὴ, τὰς διαθήκας ταύτας διέθετο· ὑ εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα, εἴ τι ἡμῖν ἢ τῷ πατρὶ ἐγκαλεῖ τῷ ἡμετέρῳ, ἀπεκρίνατο πάντων τῶν πολιτῶν ἐναντίον, ὅτι ἐδὲν πονηρὸν ἐγκαλεῖ· ὑ ἐμαρτύρησεν, ὡς ὀργιζόμενος ἐκείνῳ, ὑ ὐκ ὀρθῶς βουλευόμενος, ταῦτα διέθετο.

δ'. Πῶς γὰρ ἂν εὖ φρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν ἡμᾶς ἠβουλήθη, τοὺς μηδὲν αὐτὸν ἠδικηκότας; ὕστερον δὲ τούτων, ὃ μέγιστον ὑμῖν τεκμήριον, ὅτι ἐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος· τελευτήσαντος γὰρ Δεινίου, ὑ τῶν πραγμάτων ἡμῖν πονήρως ἐχόντων, ἐδὲ περιεῖδεν

συνηγόρων ἔρημοι· (4) ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων] τῷ Δεινίᾳ αὐτῷ μὲν ἀδελφῷ ὄντι, ἡμῖν δὲ θείῳ ὑ αὐτῷ, ὑ ἐπιτρόπῳ· (4) ἐπὶ τὴν ἀρχήν] ἐπὶ τὸν ἄρχοντα, ἀσυνόμων· ἴδε κατωτέρω δ'. 4. (5) τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ] πρὸς ἡμᾶς δηλονότι.

(1) Κλεωνύμου διάφορος] ἐῤῥῶται μὲν ὑ πρὸς γενικὴν κτητικῶς· ἀμείνων δ' ἦν πρὸς δοτικὴν· ὡς κατωτέρω. γ'. 5. ὑ δ'. 7. (3) ὅτι γοῦν . . . ἔλεγε] ἡ συνθήκη ἔτω· ὅτι τοίνυν ὁ Κλεώνυμος ὐκ ἐγκαλῶν ἡμῖν, ἀλλ' ὀργισθεὶς τῷ Δεινίᾳ, ἅτως ἐποιήσατο τὰς διαθήκας, αὐτὸς ἐμαρτύρει τοῦτο, ὕστερον, ἀφ' ἓ ἐσώθη ἐκ τῆς νόσου· (4) ὁρῶν . . . δεδιὼς] ἀπόδος κατωτέρω εἰς τὸ, διέθετο, μετὰ μακρὰν παρένθεσιν.

ἡμᾶς ἀδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτὸς μὲν εἰς τὴν οἰκίαν
τὴν αὑτῷ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι
τῶν χρημάτων ἐπιβουλευσάντων, ἔσωσεν ἡμῖν· ἐπεμε-
λεῖτό τε ὁμοίως τῶν ἡμετέρων, ὥσπερ τῶν αὑτῷ πραγ-
3 μάτων· καίτοι χρὴ θεωρεῖν αὐτῷ τὴν ἔννοιαν ἐκ τούτων
τῶν ἔργων μᾶλλον, ἢ ἐκ τῶν διαθηκῶν, ᾗ τεκμηρίοις
χρῆσθαι, μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν, (ἐν οἷς ἅπαν-
τες πεφύκαμεν ἁμαρτάνειν·) ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν
4 αὐτῷ τὴν διάνοιαν ἐποίησεν· ἔτι γὰρ μᾶλλον ἐν τοῖς τε-
λευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς· ἤδη γὰρ ἀσθε-
νῶν ταύτην τὴν νόσον, ἐξ ἧς ἐτελεύτησεν, ἠβουλήθη ταύ-
τας τὰς διαθήκας ἀνελεῖν· ᾗ προσέταξε Ποσειδίππῳ ἐπὶ
τὴν ἀρχὴν εἰσαγαγεῖν· ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλ-
λὰ ᾗ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμ-
5 ψεν· ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος, πάλιν εἰς τὴν ὑστε-
ραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· ᾗ οὐκ
ἔτως, ὡς ἀσθενῶν διακείμενος, ἀλλ' ἔτι πολλῶν ὑσῶν ἐλ-
6 πίδων, ἐξαπίνης τῆς νυκτὸς ταύτης ἀπέθανε· πρῶτον
μὲν ἓν ὑμῖν παρέξομαι μάρτυρας, ὡς οὐκ ἡμῖν ἐγκαλῶν,
ἀλλὰ Δεινίᾳ πολεμῶν, ταύτας τὰς διαθήκας διέθετο·
ἔπειτα ὡς, ἐκείνου τελευτήσαντος, ἐπεμελεῖτό τε τῶν
ἡμετέρων ἁπάντων, ᾗ αὐτὸς ἐπαίδευεν, εἰς τὴν οἰκίαν
7 αὐτῷ κομισάμενος· πρὸς δὲ τούτοις, ὡς Ποσειδιππον ἔπεμ-
ψεν ἐπὶ τὸν ἀσυνόμον· ἕτος δ' οὐ μόνον αὐτὸν οὐκ εἰσεκά-
λεσεν, ἀλλὰ ᾗ ἐλθόντα ἐπ' τὴν θύραν Ἀρχωνίδην ἀπέ-
πεμψεν. Ὡς ἓν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

(2) Οὐδενὸς ἐνδεεῖς ὄντας] ᾗ μηδενὸς πράγματος χρείαν ἔχοντας· (2) τῶν χρημάτων] ὀρθῶς εἰκάζει Ταυλῶρος ὅτι γραπτέον ἐστὶ χρήσων (ἕτως ἔμοιγ' ἐξηρημένως ἀντὶ τῶν χρησῶν) ἀντὶ χρημάτων· εἰ δὲ μή, προσθετέον τό, τινων ἀόριστον μετὰ τὸ, ἐπιβουλευσάντων· (4) ἐπὶ τὴν ἀρχὴν] ἐλλείπει τι· οἷον, ᾗ προσέταξε Πεισειδίππῳ ἰόντι ἐπὶ τὴν ἀρχὴν (ἐπὶ τὸν ἄρχοντα) εἰσαγαγεῖν αὐτὸν εἰς τὴν οἰκίαν· ἴσως δ' ἐλλείπει τὸ, οἰκίαν· ἵν' ᾖ, ἐπὶ τὴν οἰκίαν τὴν ἀρχὴν εἰσαγαγεῖν.

ΜΑΡΤΥΡΕΣ.

ε'. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τῶν 1
κλήρων ἀμφισβητοῦσιν. ὅταν ἀποφήνωσι σφᾶς αὐτοὺς,
ὥσπερ ἡμεῖς, ᾗ τῷ γένει προτέρους ὄντας, ᾗ τῇ φιλίᾳ
τῇ πρὸς τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους
λόγους λέγειν· ἐπεὶ δ' οὐ τούτων ἑδέτερον ἔχοντες, ὅτῳ τολ- 2
μῶσι τῶν ὑπροσηκόντων ἀμφισβητεῖν ᾗ ψευδεῖς παρασκευά-
ζονται λόγους, βούλομαι βραχέα ᾗ περὶ τούτων αὐτῶν εἰπεῖν·
ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις, λέγοντες ὡς Κλεώνυ- 3
μος μετεπέμπετο τὴν ἀρχὴν, οὐ λῦσαι βουλόμενος αὐ-
τὰς, ἀλλ' ἐπανορθῶσαι, ᾗ βεβαιῶσαι σφίσιν αὐτοῖς τὴν
δωρεάν. ὑμεῖς δὲ σκοπεῖσθε τὰς διαθήκας τὰς μετ' ὀρ- 4
γῆς γενομένας, πότερα εἰκὸς ἐστὶ βουληθῆναι Κλεώνυμον
ἀνελεῖν, ἐπειδὴ πρὸς ὑμᾶς οἰκείως ἔχειν, ἢ σκοπεῖν ὅπως
βεβαιότερον ἡμᾶς ἀποσερήσειε τῶν αὑτοῦ; τοῖς μὲν γὰρ 5
ἄλλοις καὶ εἰνων, ὧν ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδική-
σωσιν, ὕστερον μεταμέλει· ἕτοι δὲ ἐκεῖνον ἀποφαίνουσιν,
ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο, μᾶλλον βεβαιοῦν τὴν
διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος ἐποιήσατο· ὥς' εἰ 6
ᾗ ἡμεῖς ὁμολογήσομεν ταῦτα, ᾗ ὑμεῖς αὐτοὶ πιστεύσετε,
ἐνθυμεῖσθε, ὅτι παράνοιαν αὐτοῦ τὴν μεγίστην ἕτοι κατη-
γοροῦσι· τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ τό- 7
τε μὲν, ὅτε Δεινίᾳ διάφορος ὢν ἔτυχεν, ἡμᾶς κακῶς
ποιεῖν τε, ᾗ διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν ἐκ
ἐκείνου ἐτιμωρεῖτο, ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ 8
χρώμενος ἡμῖν, ᾗ περὶ πλείστου ποιούμενος ἁπάντων, μό-
νους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς ἕτοι φασὶν, ἀκλήρους

(7) Τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ τότε μέν . . . ἠβουλήθη·] διὰ τὸ γενέσθαι τὴν περίοδον μακροσκελῆ, εἰς ὁρισικὸν ἔθηκετο ῥῆμα· ἄλλως γὰρ ὤφειλεν ἦν Ἀπαρεμφάτῳ· οἷον, τίς μανία μείζων, ἢ βουληθῆναι, εἰ δὲ μὴ, προσθετέον τὸ, Εἰ, ὡς ἐξ ἀναλύσεως· οἷον, τίς μανία μείζων, ἢ εἰ ἐβουλήθη.

9 εἶναι τῶν ἑαυτῦ· ἢ τίς ἂν εὖ φρονῶν, ὦ ἄνδρες, τοιαῦτα
περὶ τῶν αὑτῦ βελεύσαιτο; ὥσε ἐκ τέτων τῶν λόγων ῥα-
10 δίαν ὑμῖν τὴν διάγνωσιν πεποιήκασι περὶ αὐτῶν· εἰ μὲν
γὰρ ἀνελεῖν τὰς διαθήκας βελόμενος μετεπέμπετο τὴν
ἀρχήν, ὥσπερ ἡμεῖς, φαμὲν, ἐδεὶς ἔνεσι τέτοις λόγος·
εἰ δ' ἕτω παραφρονῶν ἔτυχεν, ὥσθ' ἡμᾶς ἀεὶ περὶ ἐλα-
χίσε ποιεῖσθαι, τὲς γένει πρωτείοντας, ἢ χρωμένες αὐ-
τῷ πάντων οἰκειότατα, δικαίως ἄν δήπε τὰς τοιαύτας
διαθήκας ἀκύρους ποιήσητε.

1 ς΄. Ἔτι τοίνυν ἐνθυμεῖσθε, ὅτι φάσκοντες καλεῖν τὴν
ἀρχὴν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεὰν προ-
σαχθὲν αὐτοῖς, ἐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ ἢ τῶν
ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψαν· καὶ
δυοῖν ἐναντιωτάτοιν θάτερα μέλλοντες, ἢ τὴν ὐσίαν ἔξειν
2 βεβαιοτέραν... ἀλλ' ἐπειδὴ τὸ πρᾶγμα εἰς ὑμᾶς ἀφῖκται,
ἢ ὑμεῖς κύριοι γεγόνατε, βοηθήσατε ἢ ἡμῖν, ἢ ἐκείνῳ
τῷ ἐν ᾅδε ὄντι· ἢ μὴ περιΐδητε, πρὸς θεῶν ἢ δαιμόνων
δέομαι ὑμῶν, προπηλακισθέντα αὐτὸν ὑπὸ τέτων· ἀλλὰ
μεμνημένοι τῦ νόμε, ἢ τῦ ὅρκε, ὃν ὀμωμόκατε, ἢ τῶν
εἰρημένων ὑπὲρ τῦ πράγματος, τὰ δίκαια ἢ τὰ ἔνορκα
κατὰ τὲς νόμες ψηφίσασθε.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ
ΥΠΕΡ ΤΟΥ
ΠΥΡΡΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Πύῤῥε τὸν ἕτερον τῶν τῆς ἀδελφῆς ὑῶν ὑοποιησαμένε Ἐν-

(1) Ἢ τὴν ὐσίαν ἔξειν βεβαιοτέραν·] διέφθαρται τὸ κείμενον ἐνταῦθα· ὑπερ Ῥείσκης πειρᾶται ἀναπληρῶσαι ὑτωσί· ἢ τῦ νῦν ἐν ὑμῖν ἀγῶνος ἀπηλλάχθαι, ὐκ ἠθέλησαν.

δίον, ἢ τέτε πλέον ἢ εἴκοσιν ἔτη τὸν κλῆρον καταχόντος,
εἶτα ἀποθανόντος, Ξενοκλῆς λαχὼν τῶν χρημάτων, ὑπὲρ
Φίλης, τῆς ἑαυτῦ γυναικὸς, διεμαρτύρησεν εἶναι αὐτὴν Πύῤ-
ῥε γνησίαν θυγατέρα, ἀμφισβητέτης τῦ κλήρε τῆς Ἐνδίε
μητρός· ἢ ἑάλω ψευδομαρτυριῶν, Νικοδήμε ἢ αὐτῦ μαρ-
τυρήσαντος, ἐγγυῆσαι Πύῤῥῳ τὴν ἀδελφὴν κατὰ τὲς νόμες,
ἐξ ἧς γεγονέναι τὴν Φίλην· ὁ Ἐνδίε δὲ ἀδελφὸς νόθην εἶ-
ναι φησὶν, ἐξ ἑταίρας Πύῤῥῳ γενομένην, ἢ ἔτως ὑπὸ Ἐν-
δίε ἐκδοθῆναι Ξενοκλεῖ. Ἡ σάσις, σοχασμός· τὸ δὲ ἔγκλη-
μα, ψευδομαρτυριῶν, κατὰ τῦ Νικοδήμε.

ά. Ἄνδρες δικασαὶ, ὁ ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς, 1
Πύῤῥος, ἅπαις ὢν γνησίων παίδων, ἐποιήσατο Ἔνδιον,
τὸν ἀδελφὸν τὸν ἐμὸν, ὑὸν αὐτῷ· ὃς κληρονόμος ὢν τῶν
ἐκείνε, ἐβίω πλείω ἔτη ἢ εἴκοσι· ἢ ἐν χρόνῳ τοσύτῳ,
ἔχοντος ἐκείνε τὸν κλῆρον, ἐδεὶς πώποτε προσεποιήσα-
το, ἐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ· τελευτή- 2
σαντος δὲ τῦ ἀδελφῦ πέρυσιν, ὑπερβᾶσα τὸν τελευταῖον
κληρονόμον, γνησία θυγάτηρ τῦ ἡμετέρε θείε ᾤκει φά-
σκεσα εἶναι Φίλη, ἢ κύριος Ξενοκλῆς Κύπριος τῦ Πύῤῥε
κλήρε λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελευτήκει πλείω,
ἢ εἴκοσιν ἔτη, τρία τάλαντα τῷ κλήρῳ ἐπιγραψάμενος·
ἀμφισβητέσης δὲ τῆς μητρὸς τῆς ἡμετέρας, ἀδελφῆς δὲ 3
τῦ Πύῤῥε, ὁ κύριος τῆς εἰληχυίας τῦ κλήρε γυναικὸς
ἐτόλμησε διαμαρτυρῆσαι μὴ ἐπίδικον τῇ ἡμετέρᾳ μητρὶ

(2) Ὑπερβᾶσα τὸν τελευταῖον κληρονόμον·] ἴδε κατωτέρω. ιζ΄, 1. τὸ αὐτό· ἡ δὲ συνθήκη ὕτω· ἡ δὲ Φίλη, ὑπερβᾶσα... ᾤκει λέγεσα, ὅτι ἐστὶ γνησία θυγάτηρ τῦ ἡμετέρε θείε Κλεωνύμε· ἢ Ξενοκλῆς ὁ Κύπριος (ἐκτινος δήμε ἴσως) κύριος ὢν τῆς Φίλης, ἠξίωσε ἢ τλ. (2) τρία τάλαντα ἐπιγραψάμενος] ὅ ἐστι τοσύτε ἐτιμα τὴν ὐσίαν τῦ Κλεωνύμε· ἧς ὅστις ἀποτύχοι ἐν τῇ ἀμφισβητήσει, ὤφειλε ἢ τὰ τρία τάλαντα προσαποτίσαι τῷ νικήσαντι· (3) διαμαρτυρῆσαι] διὰ μαρτυριῶν ἀποδεῖξαι· (4) μετὰ ταῦτα]

τὸν τῦ ἀδελφῦ κλῆρον εἶναι, ὡς ἔσης γνησίας θυγα-
4 τρὸς Πύῤῥῳ, ἕ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος· ἐπισκηψάμενοι
δὲ ἡμεῖς, ᾗ εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι
τολμήσαντα, μετὰ ταῦτα ἐκεῖνόν τε ἐξελέγξαντες περι-
φανῶς τὰ ψευδῆ μεμαρτυρηκότα, τὴν τῶν ψευδομαρτυ-
ριῶν δίκην εἴλομεν παῤ ὑμῖν, ᾗ τετονὶ Νικόδημον παρα-
χρῆμα ἐξηλέγξαμεν ἐν τοῖς αὐτοῖς δικασαῖς, ἀναισχυν-
5 τότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ· ὅς γε ἐτόλμησε μαρ-
τυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ ἡμετέρῳ τὴν ἀδελφὴν τὴν
ἑαυτῦ, γυναῖκα εἶναι κατὰ τὺς νόμυς.

1 β'. Ὅτι μὲν ἕν ᾗ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τύτυ μαρτυρία
ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέσατα
2 τῦτον ἐξελέγχει· εἰ γὰρ μὴ ἐδόκει ἕτος τὰ ψευδῆ τότε
μαρτυρῆσαι, δηλονότι ἐκεῖνός τ' ἂν ἀποφυγὼν τὴν δια-
μαρτυρίαν ἀπῆλθε, ᾗ κληρονόμος ἦν τῶν τῦ θείυ ἡ δια-
3 μαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι· ἀλλ' ἐκ ἂν ἡ ἡμε-
τέρα κατέσενε μήτηρ· ἀλόντος δὲ τῦ μάρτυρος, ᾗ ἀπο-
σάσης τῦ κλήρυ τῆς ἀμφισβητύσης γνησίας θυγατρὸς
Πύῤῥῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα ᾗ τὴν τύτυ μαρτυ-
4 ρίαν ἐαλωκέναι· περὶ γὰρ αὐτῦ τύτυ ὁ διαμαρτυρήσας
τὴν τῶν ψευδομαρτυριῶν δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγ-
γυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητῦσα τῦ κλήρυ τῷ θείῳ
5 γυναικὸς εἴη· γνώσεσθε δ' ἀκύσαντες ᾗ ὑμεῖς τῆς τε ἀν-
τωμοσίας τῆς ἡμετέρας, ᾗ τῆς τύτυ μαρτυρίας, ᾗ τῆς

ὕτως ἔτρεψε Ρ'εΐσκης εἰς τὴν, μετὰ, τὴν, κατά· ὁμοίως δὲ ᾗ ἀντὶ τῦ, ἐπι-
σκεψάμενοι, ἔγραψεν, ἐπισκηψάμενοι ἐκ τῦ, ἐπισκήπτεσθαι· ὃ σημαίνει τὸ
ἐγκαλεῖν τῷ μαρτυρήσαντι ψευδῶς.

(1) Ἡ τύτυ μαρτυρία·] ἄμεινον ἦν ἡ διαμαρτυρία· ἀναφέρεται γὰρ εἰς
τὸν Ξενοκλῆν ὅστις διεμαρτύρησε, τῦτ' ἔστι μάρτυρα παῤ ἔσχε Νικόδημον·
ὅστις ἑάλω σαφέσατα· (2) ἀποφυγὼν τὴν διαμαρτυρίαν] τὴν ἀπὸ τῆς δια-
μαρτυρίας ζημίαν, οἶμαι, ἐπειδὰν ἦν ψευδὴς, καί τοι ἐμπέπλεκται τῦθ' ἑ-
ξῆς ἀδιαφόρως ληφθέν· (3) ἡ ἡμετέρα μήτηρ κατέσενε·] γραπτέον ἴσως,
κατέση, κληρονόμος δηλονότι· ἢ, ἀλλ' ἡ ἡμετέρα· ᾗ τλ. ἄλλως γὰρ οὐδὲν
ὑγιὲς προκύπτει.

κλέσης διαμαρτυρίας. Ἀναγίνωσκε λαβὼν τασδὶ αὐτοῖς.

ΑΝΤΩΜΟΣΙΑ, ΜΑΡΤΥΡΙΑ, ΔΙΑΜΑΡΤΥΡΙΑ.

γ'. Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε τὰ ψευδῆ 1
μαρτυρῆσαι Νικόδημος, ἐπιδέδεικται τότε πᾶσι· προσήκει
δὲ ᾗ παρ' ὑμῖν τοῖς περὶ αὐτῦ τύτυ τὴν δίκην μέλλυσι
ψηφιεῖσθαι, ἐξελεγχθῆναι τὴν τύτυ μαρτυρίαν· ἐπιθυ- 2
μῶ δὲ πρῶτον μὲν περὶ αὐτῦ τύτυ πυθέσθαι, ἤν τινα πο-
τὲ προῖκα φησὶν ἐπιδὺς ἐκδῦναι τὴν ἀδελφὴν ὁ μεμαρτυ-
ρηκὼς τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ· εἶτα πότε- 3
ρον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα, ἢ τε-
λευτήσαντος τὸν οἶκον αὐτῦ· ᾗ παρ' ὅτυ ἐκομίσατο τὴν
τῆς ἀδελφῆς προῖκα ἔτος, ἐπειδὴ τετελευτηκὼς ἦν, ᾧ
μεμαρτύρηκεν ἔτος αὐτὴν ἐγγυῆσαι· ἢ, εἰ μὴ ἐκομίζε- 4
το, ὁποίαν δίκην σίτυ, ἢ τῆς προικὸς αὐτῆς, ἐν εἴκοσιν
ἔτεσι τῷ ἔχοντι τὸν κλῆρον δικάσαθαι ἠξίωσαν, ἢ εἴτυ
ἀνθρώπων ἐναντίον προσῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ
περὶ τῆς προικὸς τῆς ἀδελφῆς, ἐν χρόνῳ τοσύτῳ.

δ'. Περί τε ἓν τύτων ἡδέως ἂν πυθοίμην, ὅ,τι ποτ' ἦν 1
τὸ αἴτιον τῦ μηδὲν τύτων γεγενῆσθαι περὶ τῆς ἐγγυητῆς,
ὡς μεμαρτύρηκεν ἔτος, γυναικός· ᾗ πρὸς τύτοις, εἴ τις 2
ἄλλος ἐγγυητὴν ἔχε τὴν τύτυ ἀδελφὴν γυναῖκα, ἢ τῶν
πρότερον χρησαμένων, πρὶν γνῶναι τὸν ἡμέτερον θεῖον
αὐτήν· ἢ ὅσοι ἐκείνυ γιγνώσκοντος ἐπλησίαζον αὐτῇ,

(1) Περὶ αὐτῦ τύτυ] ἔτρεψεν ὁ Ρ'εΐσκης τὴν, περὶ, εἰς τὴν, παρὰ, εἰς
τὸ προσωπικὸν τὸ πραγματικὸν μετενεγκών· ἀλλὰ τὸ αὐτὸ οἷον ἐπαναλα-
βὼν κατωτέρω (δ'. 1.) ὁμοίως πραγματικῶς ἐξέφρασεν· οἷον περί τε ἓν τύ-
των ἡδέως ἂν πυθοίμην· ταῦτ' ἄρα ἐπανέλαβον τὴν ἀρχαίαν γραφὴν ἀκινδύ-
νως· (2) Τῷ κεκτημένῳ] ἀπόδος τὴν δοτικὴν ἐκ τετάρτυ εἰς τὸ ἐκδῦναι,
ἀλλ' ὐχὶ εἰς τὸ, μεμαρτυρηκώς· οἷον, τίνα προῖκα ὁ μεμαρτυρηκὼς Ξενο-
κλῆς ἐπέδωκεν, ἐκδὺς τὴν ἀδελφὴν τῷ Πύῤῥῳ τῷ κεκτημένῳ τὸν τριτά-
λαντον οἶκον κατὰ τὴν ἐπιγραφὴν αὐτῦ ἀνωτέρω· ά. 2. (3) Ἡ ἐγγυητὴ
γυνή·] ἡ μήτηρ τῆς Φίλης πότερον ζῶντος τῦ Πύῤῥυ διεζεύχθαι αὐτῦ, ἢ
ἀποθανόντος ἐκείνυ συνεχώρησε τῦ οἴκυ αὐτῦ· (4) δίκην σίτυ] περὶ τῆς
τροφῆς αὐτῆς.

3 ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκείνου· δῆλον
γὰρ, ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν ἅπασι τοῖς
πλησιάζουσιν ἐνδεδώκει· περὶ ὧν εἰ δεήσειε καθ' ἕκαστον
4 διελθεῖν, ἐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο· ἐὰν μὲν οὖν
ὑμεῖς κελεύητε, περὶ ἐνίων μνησθείην ἂν αὐτῶν· εἰ δέ τι-
σιν ὑμῶν ἀηδὲς ἀκοῦσαι ἐστὶν, ὥσπερ ἐμοὶ λέγειν τὶ περὶ
τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς μαρτυ-
ρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ· ὧν ἐδεμιᾷ ἐπισκήψασθαι
5 ἠξίωσαν ἕτοι· καίτοι ὅπου κοινὴν αὐτὴν ὡμολογήκασιν
εἶναι τοῦ βουλομένου τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ
γυνὴ ἐγγυητὴ δόξειεν εἶναι; ἀλλὰ μὴν ὁπότε μὴ ἐπε-
σκημμένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις, ὡμολο-
6 γηκότες εἰσὶ ταῦτα· ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν
μαρτυριῶν, γνώσεσθε ὡς ἕτός τε περιφανῶς τὰ ψευδῆ
μεμαρτύρηκε, καὶ ὀρθῶς καὶ κατὰ τοὺς νόμους οἱ δικάσαντες
τὴν δίκην ἔγνωσαν, τὴν κληρονομίαν μὴ προσήκειν τῇ
μὴ ὀρθῶς γεγενημένῃ γυναικί. Ἀνάγνωσκε· σὺ δ' ἐπί-
λαβε τοῦ ὕδατος. ΜΑΡΤΥΡΙΑ.

1 ε'. Ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ, καὶ ἡ γυνὴ τοῦ ἡμετέ-
ρου θείου, ἣν ἕτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ τῶν
ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου μεμαρτύ-
ρηται πρὸς ὑμᾶς· οἳ μάχας, καὶ κώμους, καὶ ἀσέλγειαν
πολλὴν, ὁπότε ἡ τότου ἀδελφὴ εἴη παρ' αὐτῷ, μεμαρτυ-
2 ρήκασι γίνεσθαι περὶ αὐτῆς· καίτοι εἰ δήπουθέν γε ἐπὶ γα-
μετὰς γυναῖκας ἐδεῖς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ
γαμεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπ-
να, οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦ-
3 τα μετὰ τῶν ἐπιτυχόντων· ἀλλὰ μὴν τῷ γε μεμαρτυρη-

(3) Ἐνδεδώκει] ἐνεδεδώκει· ἄμεινον δ' ἦν ἐνέδωκεν, ἢ ἐνεδίδου τὸ δὲ, τὸν αὐτὸν τρόπον, ἔχει συννοούμενον τὸ, ὥσπερ αὐτὴν τῷ Πύῤῥῳ ἐνέδωκεν, ἑταιρικῶς δηλονότι· ὅθεν καὶ ἐνεδεδώκει (ὡς ἐγῷμαι) ἔφην, ἀλλ' οὐκ ἐξεδεδώκει· (4) ἐδεμιᾷ ἐπισκήψασθαι·] ἐγκαλεῖν ὡς ψευδεῖ.

ὅτι οὐδ' ἐπισκήψασθαι ἕτοι ἠξίωσαν· καὶ ὡς ἀληθῆ λέ-
γω, ἀνάγνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ. Ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησια- 4
σάντων αὐτῇ μαρτυρίας, ἵνα εἰδῶσιν, ὅτι ἑταίρα τε ἦν
τοῦ βουλομένου, καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα·
ἀνάγνωσκε αὐτοῖς. ΜΑΡΤΥΡΙΑΙ.

ς'. Ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν ἕτος ἐγγυῆ- 1
σαι τῷ ἡμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ'
ὅσων ὑμῖν μεμαρτύρηται· καὶ ὅτι οὐδενὶ ἄλλῳ ἐγγυηθεῖ-
σα, οὐδὲ συνοικήσασα φαίνεται· σκεψώμεθα δὲ καὶ ἐξ ὧν 2
ἄν τις ὑπονοήσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικὸς,
εἰ ἄρα καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν τι συμβέβηκεν· ἤδη
γάρ τινες νέοι ἄνθρωποι ἐπιθυμήσαντες τοιούτων γυναικῶν,
καὶ ἀκρατῶς ἔχοντες αὐτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας εἰς αὐ-
τὸς τοιοῦτόν τι ἐξαμαρτεῖν· πόθεν οὖν ἄν τις σαφέστερον 3
γνοίη περὶ τούτων, ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις με-
μαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ, καὶ ἐκ τῶν εἰκότων
τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψάμενος; ἐνθυμεῖσθε δὲ
τὴν ἀναίδειαν ὧν λέγουσιν· ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων
εἰς τὸν τριτάλαντον οἶκον (ὥς φησι) τὴν ἀδελφὴν, δια-
πραττόμενος τηνικαῦτα ἕνα μάρτυρα παρεῖναι αὐτῷ Πυρε-
τίδην προσεποιήσατο· καὶ τότε ἐκμαρτυρίαν ἐπ' ἐκείνῃ τῇ
δίκῃ παρέχον ἕτοι· ἣν Πυρετίδης ἐκ ἀναδέδεκται αὐτοῖς,
οὐδὲ ὁμολογεῖ μαρτυρῆσαι, οὐδὲ εἰδέναι τούτων ἀληθὲς ὂν
οὐδέν· μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρ- 4
τυρίαν ἕτοι παρέχον ταύτην· ἴσε γὰρ πάντες ὡς, ὅταν
μὲν ἐπὶ προδήλοις πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων
γενέσθαι, τοὺς οἰκειοτάτους, καὶ οἷς ἂν τυγχάνωμεν χρώ-

(3) Ἐκμαρτυρίαν] μαρτυρεῖν μένεσιν τὸ εἰπεῖν τινα αὐτὸν ἅπερ οἶδε διαμαρτυρεῖν δὲ, ἕτερον παρασχέσθαι τὸν μαρτυροῦντα· ἐκμαρτυρεῖν δὲ ἀ-
πόντος τινὸς μαρτυρίαν γεγραμμένην εἰπεῖν· ἴδε καὶ παραλειπων (ς', 6) τῆς

μενοι μάλισα, τότες παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς
5 πράξεις τὰς τοιαύτας· τῶν δὲ ἀδήλων ϗ ἐξαίφνης γινομένων τὸς προσυχόντας ἕκασοι μάρτυρας ποιέμεθα· καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς, τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοί τινες ἂν ὦσι, τέτοις μάρτυσι χρῆσθαι ἀναγ-
6 καῖόν ἐσιν ἡμῖν· παρὰ δὲ τῶν ἀσθενέντων, ἢ τῶν ἀποδημεῖν μελλόντων, ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τὸς ἐπιεικεσάτος τῶν πολιτῶν ϗ τὸς ὑμῖν γνωριμωτάτος ἕκασος ἡμῶν παρακαλεῖ μάλισα· ϗ ὐδὲ μεθ' ἑνὸς, ὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείσων δυνώμεθα, τὰς ἐκμαρ-
7 τυρίας πάντες ποιέμεθα· ἵνα τῷ τε μαρτυρήσαντι μὴ ἐξείη ὕσερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς ϗ καλοῖς κἀγαθοῖς ταὐτὰ μαρμυρῆσι πισεύοιτε μᾶλλον.

1 ζ'. Ξενοκλῆς τοίνυν Θήβαζε μὲν ἰὼν εἰς τὸ ἐργασήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα, ὐχ ἡγήσατο δεῖν τοῖς ἀπὸ ταυτομάτου ἐκεῖ τυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς ἐξαγωγῆς· ἀλλ' ἦκεν ἔχων ἔνθεν Διόφαντον τὸν Σφήττιον μεθ' ἑαυτοῦ· ὃς ἔλεγε τὴν δίκην ὑπὲρ τότου· ϗ Δωρόθεον τὸν Ἐλευσίνιον, ϗ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρη, ϗ ἄλλος πολλὸς μάρτυρας, παρακεκλημκὼς ἐνθένδε, σα-

ἐκμαρτυρίας τῷ Πυρατίδῃ· (6) παρὰ δὲ τῶν ἀσθενέντων ἢ τῶν ἀποδημεῖν μελλόντων] τῶν μὲν, ὡς μὴ δυναμένων παραγενέσθαι εἰς τὸ δικαστήριον· τῶν δὲ, ὡς ἀποδημησόντων καθ' ὃν χρόνον ἠδικηγενήσεται· (6) καὶ τὸς ὑμῖν γνωριμωτάτος.] ὑμῖν ἀντὶ τοῦ ἡμῖν ἐγραψα· ἄμεινον γάρ· καὶ γὰρ ἐπιφέρει· ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς μαρτυρῆσι πισεύετε μᾶλλον.

(1) Εἰς τὸ ἐργασήριον εἰς τὰ ἔργα] πρὸς ἐπισκοπὴν τῶν ἐργαζομένων αὐτόθι· τὸ δ' ἦν τὸ ἐργασήριον, ὁποῖα δὲ ϗ τὰ ἔργα ἔφησι· ἴσως δ' ἦσαν μεταλλεῖα· (1) περὶ τῆς ἐξαγωγῆς] ὁ νῦς σύμπας ὅτως ἂν ἔχοι· ὁ Ξενοκλῆς μέλλων ἄξειν εἰς τὰ ἔργα, ϗ ἐξαγωγὴν αὐτῶν ποιήσειν, (ὁπηποτε βόλοιτο,) δεόμενος δὲ μαρτύρων εἰς τοῦτο, ὐκ ἠγάπησε παραλαβεῖν τῶν τυχόντων αὐτόθι ὃς ἂν τύχῃ· ἀλλ' ἔχων Διόφαντον μεθ' ἑαυτοῦ ἄνδρα γνωσὸν καὶ ἐν ἀξιώματι ὤν, ἦκεν ἐκεῖσε σαδίος ἐντεῦθεν

δίος εἰθὺς τριακοσίος ἐκεῖσε· περὶ δὲ τῆς ἐγγύης τῆς 2
τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄσει ἐκμαρτυρίαν, ὥς φησι, ποιέμενος, τῶν μὲν οἰκείων ὐδένα τῶν ἑαυτοῦ παρακεκλημκὼς φαίνεται, Διονύσιον δὲ Ἐρχιέα, ϗ Ἀρισόλοχον τὸν Αἰθαλίδην, μετὰ δυοῖν τότοιν ἐν τῷ ἄσει αὐτὸν τὴν ἐκμαρτυρίαν ποιήσαθαι φασὶν ἕτοι· τοιαῦτα μὲν 3
τὰ τότων· οἷς ὐδ' ἂν περὶ ὁτῳοῦν πισεύσειεν ἄλλος ὐδείς. ἴσως γὰρ ἦν νὴ Δία πάρεργον ϗ φαῦλον, περὶ ἧς τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου φασὶ ποιήσαθαι ἕτοι. ὥσε 4
ὐδὲν θαυμασὸν ὀλιγωρηθῆναι ἣν τὸ πρᾶγμα· καὶ πῶς; ᾧ γε περὶ αὐτοῦ τότο ὁ ἀγὼν ἦν ὁ τῶν ψευδομαρτυριῶν, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας, ἢ ἐξ ἐγγυητῆς, τὴν ἑαυτοῦ γυναῖκα εἶναι. εἶτα ἐπὶ ταύτην ἂν τὴν μαρτυ- 5
ρίαν, εἰ ἦν ἀληθὴς, ὐκ ἂν ἅπαντας τὸς οἰκείος τὸς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσεν, ναὶ μὰ Δία, ὡς ἔγωγε ᾤμην, εἴγε ἦν ἀληθὲς τὸ πρᾶγμα. ὐ τοίνυν φαίνε- 6
ται· ἀλλ' ὁ μὲν Ξενοκλῆς πρὸς τὸς ἐπιτυχόντας δύο ἐκμαρτυρησάμενος τὴν μαρτυρίαν ταύτην ἦν· Νικόδημος δὲ ἕτος ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ' ἑαυτοῦ, τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν. καὶ ἕτος μὲν τὸν Πυρετίδην μόνον, ὐχ ὁμολο- 7
γοῦντα, προσεποιήσατο μετ' αὐτοῦ παραγενέσθαι· ὑπὸ δὲ 8
τοῦ ἐγγυήσεσθαι μέλλοντος τὴν τοιαύτην, Λυσιμένης ϗ

τριακοσίος· (2) ἐγγύης] ἀντὶ τοῦ ἐγγυήσεως ἁρπαξῶνος τῆς μητρὸς τῆς Φίλης· ἥτις ἦν τήθη τῶν παίδων αὐτοῦ· τὸ δὲ, ἐν τῷ ἄσει, ἔχει σχέσιν πρὸς τὸ, τριακοσίος σαδίος· ἵνα δείξῃ ἀπὸ τοῦ τόπου τὴν μεγάλην διαφοράν· τὸ δὲ, ἐν τῷ ἄσει αὐτοῦ, κατωτέρω, ἐν τῷ ἄσει αὐτοῦ, κεῖται ἐν τῇ ἀρχαίᾳ, τοπικῶς ἐκλαμβανομένου τοῦ, αὐτοῦ, ὡς ἐπεξήγησις τοῦ, ἐν ἄσει· (3) πάρεργον ϗ φαῦλον] μικρὸν ϗ εὐτελὲς πρᾶγμα ἡ ἐγγύησις τῆς Φίλης περὶ ἧς ϗ τλ. (6) πρὸς τὸς ἐπιτυχόντας] ἔδειξε μαρτυρίαν τυχόντων ἀνθρώπων, ϗ πολλῶν, ϗ συγγενῶν, ὐχ ὑπολήπτικῶν, ὐκ οἰκείων· ἀλλὰ κατὰ τὸς ἐπιτυχόντας δύο ἐκείνως Διονύσιον ϗ Ἀρισόλοχον· (8) ὑπὸ δὲ τοῦ ἐγγυήσεσθαι μέλλοντος] ὑπὸ τοῦ Πυῤῥου· ὅτω δ' ἔτρεψα τὸ, ἐγγυήσασθαι.

οἱ ἀδελφοὶ αὐτῦ, Χαίρων ϗ Πυλάδης, φασὶ παρακληθέντες ἐγγύη παραγενέσθαι, ϗ ταῦτα, θεῖοι ὄντες τῷ ἐγγυωμένῳ.

1 ἡ. Τ'μέτερον ἓν ἔργον σκέψασθαι νῦν, εἰ δοκεῖ πιθὸν εἶναι το πρᾶγμα· ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπέμενος, πολὺ ἂν μᾶλλον τὸν Πύῤῥον πάντας ἂν τὲς οἰκείυς βέλεσθαι λελῃθέναι, εἴ τι παρεσκευάζετο ὁμολογεῖν ἢ πράττειν ἀνάξιον τῶν αὑτῦ, ἢ παρακαλέσαι μάρ-
2 τυρας τὲς θείυς τὲς ἑαυτῦ ἐπὶ ἁμάρτημα τηλικῦτον· ἔτι δὲ ϗ περὶ ἐκείνε θαυμάζω, εἰ μηδεμίαν προῖκα μήθ' ὁ δι-δὲς, μήθ' ὁ λαμβάνων διωμολογήσαντο ἔξειν ἐπὶ τῇ γυ-
3 ναικί· τῦτο μὲν γὰρ, εἴ τινα ἐδίδε, εἰκὸς ἦν ϗ τὴν δοθεῖσαν ὑπὸ τῶν παρεγενέσθαι φασκόντων μαρτυρεῖσθαι· τῦτο δ', εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν ἐποιεῖτο τῆς τοιαύτης γυναικὸς, δῆλον ὅτι κἂν ἀργύριον τολ-λῷ μᾶλλον ὁ ἐγγυῶν διωμογήσατο ἔχειν αὐτὸν ἐπὶ τῇ γυναικὶ, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττε-σθαι, ὁπότε βέλοιτο, τῆς γυναικός· ϗ μάρτυράς γε πολ-λῷ πλείυς τὸν ἐγγυῶντα παρακαλεῖν, ἢ τὸν ἐγγυώμε-
4 νον τὴν τοιαύτην· ἑδεὶς γὰρ ὑμῶν ἀγνοεῖ, ὅτι ὁ λόγος
5 ϗ διαμένειν ἔωθε τῶν τοιύτων· ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς μάρτυρος, ϗ ἄνευ ὁμολογίας προικὸς, εἰς τὸν τριτάλαντον οἶκον ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν· οἱ δὲ θεῖοι τῷ ἀδελφιδῷ ἄπροικον τὴν τοιαύτην ἐγγυω-μένῳ μεμαρτυρήκασι παραγενέσθαι· καὶ οἱ αὐτοὶ θεῖοι

(3) Τῦτο δὲ] τὴν ἐγγύην δηλονότι· τὸ δὲ, διωμολογήσατο κατωτέρω ταὐτὸν ἂν εἴη τῷ, διεμαρτυρήσατο· τὸ δὲ, παρακαλεῖν, συνηνέχθη ὥτως εἰς Ἀπαρέμφετον ὀρθῶς ὑπὸ τῆς συνεχείας τῦ λόγυ· ἐξαρτάσθω δὲ ἀπὸ τῦ, εἰκὸς ἦν, ἢ ἔδει· (4) ὁ λόγος] ὁ γάμος, φησί τις, διορθωτέον ἂν εἴη· ὁ δὲ Ῥείσκης, ὁ τρόπος· ἴσως δὲ ἐννοεῖ τὴν τῦ ἀνδρὸς ὑπόχεσιν· ἵνα ᾖ· ὁ ἐγγυῶν ὤφειλε πλείυς μάρτυρας ἔχειν, εἰδὼς ὅτι ὁ λόγος τῶν τοιύτων (τῶν ἐξ ἐπιθυμίας ἐγγυωμένων) ὐκ εἴωθε διαμένειν· εἰς γὰρ κόρον ἐλθόντες ἐκ-

ἔτοι ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀποφανθείσης εἶναι ὑ-πὸ τῦ ἀδελφιδῦ κληθέντες μεμαρτυρήκασι παραγενέσθαι. ἐφ' ᾧ δὴ ϗ δεινῶς ἀγανακτῶ, ὅτι ὁ μὲν ἀνὴρ λαγχά- 6
νων ὑπὲρ τῆς γυναικὸς τῆς αὑτῦ τῦ κλήρυ τῦ πατρῴυ, Φίλην ὄνομα εἶναι ἐγράψατο τῇ γυναικί· οἱ δὲ τῦ Πύῤῥυ θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι, τὸ τῆς τήθης ὄνομα Κλειταρέτην τὸν πατέρα ἐμαρτύρησαν θέσθαι αὐτῇ.

θ'. Θαυμάζω ἓν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ ὀκτὼ 1
ἔτη ἤδη, μὴ ἤδει τὄνομα τῆς ἑαυτῦ γυναικός· εἶτα ἐδὲ παρὰ τῶν αὐτῶν μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι· ἐδ' ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυγατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσύτῳ ἔφρασεν αὐτῷ, ἐδ' ὁ θεῖος αὐ-τὸς Νικόδημος, ἀλλ' ἀντὶ τῦ τῆς τήθης ὀνόματος (εἴ τις ἤδει τῦθ' ὑπὸ τῦ πατρὸς κείμενον) ταύτην Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ· ϗ ταῦτα, λαγχάνων 2
αὐτῇ τῦ κλήρυ τῦ πατρῴυ· τίνος ἕνεκα, ἢ ἵνα ϗ τῦ τῆς τήθης ὀνόματος τῦ ὑπὸ τῦ πατρὸς τεθέντος ἄκληρον ὁ ἀνὴρ κατασήσειεν εἶναι τὴν αὑτῦ γυναῖκα; ἆρά γε ὐχὶ 3
δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι ἕτοι μαρτυρῦσι γενέσθαι, πολλῷ πλέον τῆς λήξεως τῦ κλήρυ σύγκειται αὐτοῖς; ἐ γὰρ ἄν ποτε οἱ μὲν εἰς τὴν δεκάτην, ὥς φασι, κληθέν- 4
τες τῆς τῦ Πύῤῥυ θυγατρὸς, ἀδελφιδῆς δὲ τύτυ, ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτε, ἀκριβῶς εἰς τὸ δικα-σήριον ἦκον μεμνημένοι, ὅτι Κλειταρέτην ὁ πατὴρ ἐν τῇ

ἐάλωσι τὰς γυναῖκας· (5) τῆς θυγατρὸς ἀποφανθείσης εἶναι] ἀναλυτέον ὕτω· ἐν τῇ δεκάτῃ τῆς Φίλης, ἥτις ἀπεφάνθη θυγάτηρ εἶναι τῦ Πύῤῥυ· δεκάτη δὲ ἦν ἡ μετὰ τὴν γέννησιν ἡμέρα, καθ' ἣν τὸ γεννηθὲν ὠνομάζετο τὸ δοκῶν ὄνομα τῷ πατρί· ἴδε Δημοσθένην ἐν τῷ πρὸς Βοιωτόν· ε'. 4. ϗ ἑ-ξῆς. (6) Τὸ τῆς τίθης] τῆς μητρὸς τῦ Πύῤῥυ.

(3) Πολλῷ πλέον τῆς λήξεως τῦ κλήρυ] ὕσερον τῆς λήξεως, εἰκάζει Ῥείσκης δεῖν γράφεσθαι, ἵνα ἔχῃ σχέσιν τινὰ πρὸς τὸ, πάλαι· ϗ εἰκότως γε· ἵνα ᾖ· ἃ γὰρ ὕτοι ὡς παλαιὰ μαρτυρῦσι, ταῦτα μετὰ τὴν λῆξιν (μετὰ τὴν

δεκάτῃ ὠνόμηνεν· οἱ δ' οἰκειότατοι τῶν ἁπάντων, ὁ πατὴρ καὶ ὁ θεῖος καὶ ἡ μήτηρ, ἐκ ἂν ἤδει τὸ ὄνομα τῆς θυγατρὸς, ὥς φησι, τῆς αὐτοῦ. πολύγε μᾶλις' ἂν, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα· ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

1 Ι. Περὶ δὲ τῆς τούτου μαρτυρίας ἐ χαλεπὸν καὶ ἐξ αὐτῶν τῶν νόμων ἐσὶ γνῶναι, ὅτι φαίνεται περιφανῶς τὰ
2 ψευδῆ μεμαρτυρηκὼς ὅτος. ὅπου γὰρ, ἐάν τίς τι ἀτίμητον δῷ, ἕνεκα τοῦ γάμου, ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα, ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, ἐκ ἔξεσι πράξασθαι τῷ δόντι, ὃ μὴ προικὶ τιμήσας ἔδωκεν, ἦπου, ὅσις γέ φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν ἐγγυῆσαι,
3 περιφανῶς ἀναίσχυντος ὢν ἐλέγχεται. τί γὰρ ἔμελλεν εἶναι αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι ὁπότε βέλοιτο τὴν γυναῖκα; ἦν δ' ἂν ἐπ' ἐκείνῳ,
4 ὦ ἄνδρες, δηλονότι, εἰ μηδεμίαν προῖκα διωμολογήσατο ἔξειν ἐπ' αὐτῇ· εἶτ' ἐπὶ τούτοις ἂν Νικόδημος ἐνεγγύησε τῷ ἡμετέρῳ θείῳ τὴν ἀδελφήν; ἢ ταῦτα, εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον ὖσαν αὐτὴν, ἢ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν νόμων γινομένης εἰς αὐτὸν, εἴ τι
5 ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ; ἆρ' ἓν δοκεῖ

δίκην) τῷ κλήρῳ ὑπ' αὐτῶν συγκεῖσθαι δοκῶσι· (5) οἱ δὲ οἰκειότατοι] ἤδεσαν· ἐννοείσθω δ' ὅτω ἀπὸ τοῦ, ἤδει ἡ μήτηρ· ἡ γὰρ ἀκολουθία τοῦ λόγου συνέκλεισε τοῦτο εἰς ἐνικὸν διὰ τὴν προσθήκην μᾶλλον τοῦ, θυγατρός· (5) πολύγε μᾶλις ἂν] πολλῷ μᾶλλον ὅτοι, ἢ ἄλλοι ἤδεσαν τοὔνομα τῆς ἑαυτῶν θυγατρὸς ἢ τῆς ἀδελφιδῆς.

(1) Περὶ τῆς μαρτυρίας τούτου] τοῦ Νικοδήμου, ὅτι ἐγγύησε τὴν ἑαυτοῦ ἀδελφὴν τῷ Πύῤῥῳ· (2) ἐάν τις ἀτίμητον δῷ] ἐάν τις δῷ τι τῇ γυναικὶ γαμουμένῃ, ἢ μὴ τιμήσῃ αὐτὸ πόσου ἐσὶν ἄξιον, ἐκ ἔξεσιν αὐτῷ ἀπαιτῆσαι τοῦτο ἐν τῇ διαζεύξει τοῦ ἀνδρογύνου· τὸ δ' ἕνεκα τοῦ γάμου, διώρθωται ὅτω παρὰ Ρεΐσκου ἀντὶ τοῦ, ἕνεκα τοῦ νόμου· (3) Τί γὰρ ἔμελλεν — τὴν γυναῖκα;] ἐλλείπειν δοκεῖ τι, καίμοι ἀναπληρωτέον ἂν εἴη ὧδί· τί γὰρ ἔμελλεν εἶναι αὐτῷ (εἰς ἀσφάλειαν) τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ (ἦν) ἐκπέμψαι ὁπότε βέλοιτο τὴν γυναῖκα; ἡ γὰρ πρίξ δ' ὁμολογηθεῖσα προσεπιβεβαιοῖ τὴν ἐγγύην· ἄνευ δὲ ταύτης, ἀποβληθήσεται ὡς ἑταίρα ἡ γυνὴ, ὁπότε ἐξιοῖ

τῷ ὑμῶν ὀλιγώρως ὅτως ἔχειν χρημάτων Νικόδημος, ὥσε παραλιπεῖν ἄντι τῶν τοιούτων; ἐγὼ μὲν γὰρ οὐ νομίζω. εἶτα παρὰ τούτου ὁ ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφὴν, ὃς αὐτὸς ξενίας φεύγων ὑπὸ ἑνὸς τῶν φρατόρων, ὧν φησιν αὐτοῦ εἶναι, παρὰ τέτταρας ψήφους μετέσχε τῆς πόλεως; ἢ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

Οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελφὴν τὴν ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι· ἢ ταῦτα, τῆς προικὸς εἰς αὐτὸν γινομένης, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ. Λάβε δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουσδὶ αὐτοῖς. ΝΟΜΟΙ. 6

ιά. Δοκεῖ ἂν ὑμῖν ὅτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος, ὥσε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, ἐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων; ναὶ μὰ Δία, ὡς ἔγωγ' οἶμαι· ἐπεὶ καὶ οἱ ἐπὶ παλλακίδι διδόντες τὰ ἑαυτῶν, πάντες πρότερον διομολογοῦνται περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ ἐγγυᾶν μέλλων (φησὶ) τὴν ἀδελφὴν τὴν αὐτοῦ, μόνον τὸ κατὰ τοὺς νόμους ἐγγυῆσαι διεπράξατο; ὃς ἐπ' ὀλίγῳ ἀργυρίῳ, ὃ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βέλεται πονηρὸς εἶναι. περὶ μὲν οὖν τῆς τούτου πονηρίας, καὶ σιωπῶντος ἐμοῦ, οἱ πολλοὶ γινώσκουσιν ὑμῶν· βέλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ. φέρε, ὦ Νικόδημε, εἰ ἦθα ἐγγυικῶς τῷ Πύῤῥῳ τὴν ἀδελφὴν, καὶ εἰ ἤδεις ἐξ αὐτῆς θυγατέρα 1 2 3

ὁ ἀνὴρ· (5) ὧν φησιν αὐτοῦ εἶναι] ὃς φράτορας φησὶν αὐτοὺς ἑαυτοῦ εἶναι φράτορας, τῷ δὲ ὄντι οὐκ ἔσι τοῦτο· βέλεται γὰρ ὅτω διαβάλλειν αὐτὸν ὡς ξένον ὄντα, καὶ διὰ τοῦτο διαψηφισθέντα ἐν τοῖς δημόταις.

(2) Μόνον τὸ κατὰ τοὺς νόμους ἐγγυῆσαι διεπράξατο] μόνον περὶ τῆς ἐγγυήσεως κατὰ τοὺς νόμους ἐφρόντισε, περὶ δὲ τῆς προικὸς οὔ; (2) λέγει πρὸς ὑμᾶς] τί ποτε λέγει; ἢ τὴν δίκην ταύτην, ἢ τὴν μαρτυρίαν ἕνεκα τοῦ λα-

γνησίαν καταλειπομένην, πῶς ἐπέτρεψας τῷ ἡμετέρῳ
ἀδελφῷ ἐπιδικάσασθαι τὸ κλήρου, ἄνευ τῆς γνησίας θυ-
4 γατρὸς, ἣν φὴς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι; ἢ
οὐκ ἤδεις ἐν τῇ ἐπιδικασίᾳ τὸ κλήρου νόθην καθισαμένην
τὴν ἀδελφιδῆν τὴν σαυτοῦ; ὁπότε γάρ [τις] ἐπεδικάζετο
τὸ κλήρου, νόθην τὴν θυγατέρα τὸ καταλιπόντος τὸν
5 κλῆρον καθίζη· ἔτι δὲ πρότερον ὁ Πύῤῥος, ὁ ποιησάμε-
νος τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν αὐτῷ. ὅτε γὰρ διαθέσθαι,
ὅτε δοῦναι ὑδενὶ ὑδὲν ἔξεσι τῶν ἑαυτοῦ, ἄνευ τῶν θυγα-
τέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. γνώσεσθε
δὲ, αὐτῶν ἀκέσαντες τῶν νόμων ἀναγινωσκομένων. Ἀ-
ναγίνωσκε τοσδὶ αὐτοῖς. NOMOI.

1 ιβ'. Δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς ἐγγυῆσαι, ἐπι-
τρέψαι ἄντι τούτων γίγνεσθαι, ᾗ οὐκ ἂν ἐπὶ τὸ κλήρου
τῇ λήξει, ἣν ὁ Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβη-
τῆσαι ἂν ὑπὲρ τῆς ἀδελφιδῆς τῆς ἑαυτοῦ; ᾗ οὐκ ἂν δια-
μαρτυρῆσαι οὐκ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον
2 κλῆρον εἶναι; ἀλλὰ μὴν, ὥς γε ἐπεδικάσατο ὁ ἡμέτερος
ἀδελφὸς τὸ κλήρου, ᾗ οὐκ ἠμφισβήτησεν ὑδεὶς ἐκείνῳ,
ἀναγίνωσκε τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

1 ιγ'. Γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης, οὐκ ἐ-
τόλμησεν ἀμφισβητῆσαι τὸ κλήρου Νικόδημος· ὑδὲ δια-
μαρτυρῆσαι, τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέ-
2 ρα Πύῤῥῳ καταλειφθῆναι. περὶ μὲν ὧν τῆς διαδικασίας
ἔχοι ἄντι ψεῦδος προφασίσασθαι πρὸς ὑμᾶς. ἢ γὰρ λα-
θεῖν ὑμᾶς προσποιήσαιτ' ἂν ὅτος, ἢ ψεύδεσθαι αἰτιῶτ'

εἶν ἀργύριον· (4) ὁπότε γάρ [τις] ἐπεδικάζετο] ὁ ἀδελφὸς ὁ ἐμός· ὥστε
τὸ περικλειθὲν [τις] ἑτέρας χειρὸς νόθον ἐσί. (5) ἔτι δὲ πρότερον] τοῦτο
τὸ ἐμοῦ ἀδελφοῦ αὐτὸς ὁ πατὴρ Πύῤῥος· πρότερον δὲ ἀντὶ τοῦ, πότερον ἔ-
γραψεν ὁ Ῥεῖσκης, ᾗ κατωτέρω (ιβ'. 1) ἀδελφιδῆς ἀντὶ τοῦ ἀδελφῆς·
ἀμφω καλῶς.

(2) Διαδικασίας] ταὐτὸν τῷ ἐπιδικασίᾳ· τὰ γὰρ εἰρημένα ἀναφέρων,
συγχωρεῖ αὐτῷ· ἐννοεῖ δὲ τὰ γενόμενα τῷ Ἐνδίῳ μετὰ τὸν θάνατον τοῦ

ἂν ἡμᾶς. τοῦτο μὲν οὖν παρῶμεν. ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ 3
ἐνεγγύα ὁ Ἔνδιος τὴν ἀδελφιδῆν σε, ἐπέτρεψας ἄν, ὦ
Νικόδημε, τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύῤῥῳ γεγενημέ-
νην, ὡς ἐξ ἑταίρας ἐκείνῳ ὄσαν ἐγγυᾶσθαι; ᾗ οὐκ ἂν
εἰσήγγελλες πρὸς τὸν ἄρχοντα, κακῶσθαι τὴν ἐπίκληρον
ὑπὸ τοῦ εἰσποιήτε ἔτως ὑβριζομένην, ᾗ ἄκληρον τῶν αὐ-
τῆς πατρῴων καθισαμένην; ἄλλως τε ᾗ μόνων τούτων τῶν 4
δικῶν ἀκινδύνων τοῖς διώκουσιν ὐσῶν, ᾗ ἐξὸν τῷ βου-
λομένῳ βοηθεῖν ταῖς ἐπικλήροις; ὅτε γὰρ ἐπιτίμιον ταῖς
πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις ἔπεσιν, ὐδ' ἐὰν ὐδεμίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες μεταλάβωσιν. ὅτε
πρυτανεῖα, ὅτε παράσασις ὐδεμία τίθεται τῶν εἰσαγ-
γελιῶν· ἀλλὰ τοῖς μὲν διώκουσιν ἀκινδύνως εἰσαγγέλ-
λειν ἔξεσι, τῷ βουλομένῳ, τοῖς δ' ἁλισκομένοις ἔχαται
τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν. [ἔπειτα, εἰ ἦν 5
ἐξ ἐγγυητῆς ἡ τότε ἀδελφιδῆ τῷ ἡμετέρῳ θείῳ γεγε-
νημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας ὄσαν
αὐτὴν ἐγγυᾶσθαι; ᾗ γενομένων αὐτῶν, οὐκ ἂν εἰσήγ-
γελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ
τοῦ ὅτως ἐγγυήσαντος αὐτήν;] ᾗ εἰ ἦν ἀληθῆ, ἃ νυνὶ 6
τετόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμω-
ρήσω ἂν τὸν ἀδικοῦντα, ἢ ᾗ ταῦτα λαθεῖν σεαυτὸν προ-
σποιήσῃ; ἔπειτ' ὐδ' ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προι-
κὸς ἤθε;

ιδ'. Ὥσε ᾗ δι' αὐτὸ τοῦτο ἀγανακτήσαντι δίκε σοὶ 1

Πύῤῥε, ὅτε παρέλαβε τὸν κλῆρον· (4) ἀκινδύνων τοῖς διώκουσιν ὐσῶν] ἐφ'
αἷς ὐδεμία ζημία τοῖς διώκουσιν, εἰ ἡττηθεῖεν, ἐπίκειται· τὸ δὲ, ἔπεσιν,
ὅτω διώρθωσε Ῥεῖσκης. ἀντὶ τοῦ, ἔνεσιν· ἵν' ᾖ ταὐτὸν τῷ, ἔπεισι, κατω-
τέρω μικρόν· (4) ὅτε πρυτανεῖα ὅτε παράσασις] πρυτανεῖα μὲν κατὰ τὸν
Ἁρποκρατίωνα, ἀργύριον ἦντι, ὅπερ κατετίθεσαν ἀμφότεροι οἱ δικαζόμενοι·
παράσασις δὲ ὁμοίως κατὰ τὸν αὐτὸν, δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δι-
καζομένων τὰς ἰδίας δίκας· (5) ἔπειτα — ἐγγυήσαντος αὐτήν] πᾶν τὸ χω-
ρίον τοῦτο περιττὸν νομίσας Ῥεῖσκης περιέκλεισε.

εἰσαγγεῖλαι τὸν Ἔνδιον προσῆκεν, εἰ αὐτὸς μὲν τριτάλαντον οἶκον ἔχειν ἠξίᾳ, ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνησίᾳ ἔσῃ τριχιλίας δραχμὰς προῖκα ἐπιδοὺς, ἐκδῦναι ἠξίωσεν ἄλλῳ. εἶτ' ἐπὶ τούτοις ἐκ ἀγανακτήσας εἰσήγγειλεν ἂν τὸν Ἔνδιον ἕτος; ναὶ μὰ Δία, εἴ γ' ἦν ἀληθὲς τὸ πρᾶγμα. οἶμαι δὲ ἐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον, ἐδ' ἄλλον δὲ τῶν εἰσποιήτων ἐδένα ἕτως εὐήθη, ἐδ' ἂν ὀλίγωρον τῶν νόμων τῶν κειμένων γίνεσθαι, ὥσθ' ὑπαρχέσης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι, ἑτέρῳ δῦναι ταύτην ἀνθ' ἑαυτῆ· ἀκριβῶς γὰρ ᾔδει διότι τοῖς γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων τῶν παππῴων κληρονομία προσήκει. εἶτα εἰδὼς ἄντις ταῦτα, ἑτέρῳ παραδοίη τὰ αὑτῆ; ᾗ ταῦτα, τηλικαῦτα ὄντα, ὅσων ἠμφισβήτησαν ἕτοι; δοκεῖ δ' ἄντις ὑμῖν ἕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσποίητος γενέσθαι, ὥστε μηδὲ τὸ δέκατον μέρος ἐπιδοὺς ἐκδῦναι τῇ γνησίᾳ θυγατρὶ τῶν πατρῴων; γενομένων δὲ τούτων, δοκεῖ ἂν ὑμῖν ὁ θεῖος ἐπιτρέψαι, ὁ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα; ἐγὼ μὲ γὰρ ἃ νομίζω. ἀλλὰ ᾗ ἠμφισβήτησεν ἂν τῇ κλήρᾳ, ᾗ διεμαρτύρησε, ᾗ εἰσήγγειλεν ἂν πρὸς τὸν ἄρχοντα· ᾗ ἄλλο εἴτι ἦν ἰσχυρότερον τούτων, ἅπαντ' ἂν διεπράξατο.

ιέ. Ὁ μὲν τοίνυν Ἔνδιος ὡς ἐξ ἑταίρας ὄσαν ἐνεγγύησεν, ἣν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὐτῷ· ἕτος δὲ ὅτε τῷ Ἐνδίῳ τῇ Πύῤῥῃ κλήρῳ ἀμφισβητῆσαι ἠξίωσεν, ὅτ' ἐγγυήσαντα τὴν ἀδελφιδῆν, ὄσαν ἐξ ἑταίρας, εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα ἠξίωσεν, ὅτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν ὐδέν· ἀλλὰ πάντα ταῦτα εἴασε γενέσθαι. οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. ἀναγνώσεται δ' ἡν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τῇ κλήρῳ μαρτυρίαν πάλιν· ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός. Ἀνάγνωσκε αὐτοῖς. Μαρτυρία. Ἀνάγνωθι ᾗ τὸς νόμους. Νόμοι. Λάβε δὴ ᾗ τὴν τούτου μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

ις'. Πῶς ἔν τις σαφέστερον ἐξελέγχοι ψευδομαρτυριῶν δικῶν, ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπιδεικνύων, ᾗ ἐκ τῶν νόμων ἁπάντων τῶν ἡμετέρων; περὶ μὲν ἓν τούτου ἀρκοῦν εἴρηται τὰ πολλά· σκέψασθε δὲ ᾗ περὶ μὲν τῷ ἔχοντος τὴν ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται ᾗ ἐκ τούτου τεκμήριον ὡς ἔστι ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. ὡς μὲν ἓν ἐνεγγυήσατο ᾗ ἔλαβεν ὡς ὄσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται ᾗ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν αὕτη, ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ ἐκ ὀλίγου χρόνου ἤδη [ἀληθῆ ταῦτα] μεμαρτύρηκε. δῆλον γὰρ, ὅτι εἰ μὴ ἐγγεγύητο παρὰ τῷ Ἐνδίῳ ὡς ἐξ ἑταίρας ὄσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικὸς, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφισβήτησε περὶ τῆς γνησίας θυγατρὸς τῶν πατρῴων· ἄλλως τε ᾗ παρεσκευασμένος μὴ ὁμολογεῖν τὴν τῷ Ἐνδίῳ ποίησιν τῷ Πύῤῥῳ γενέσθαι· ὡς δὴ ἐχ ὁμολογῶν πως, ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τῷ Πύῤῥῳ παραγενέσθαι. καὶ ὡς ἀληθῆ λέγω,

(1) Εἰ αὐτὸς μὲν τριτάλαντον οἶκον] προσέθηκα τὸν, Εἰ, κατ' ἀρχὰς γνώμῃ ᾗ τῷ Ῥείσκῃ ᾗ ἔτι πρὸ αὐτῷ, Στεφάνῳ· (2) ἀνθ' ἑαυτῆ] ἀντὶ τῷ, λαβεῖν αὐτὸς αὐτὴν εἰς γυναῖκα· (4) τὸ δέκατον μέρος] ᾗ μὴν εἰ ἐπέδωκε τρισχιλίας δραχμὰς ὡς ἀνωτέρω, ἐπέδωκε ᾗ πλέον τι τῷ δεκάτῳ, ὅ ἐστι τὸ ἔκτον· τρισχίλιαι γὰρ δραχμαὶ τριάκοντά εἰσι μναῖ· τοῦτο δὲ ἡμιτάλαντόν ἐστι· ὁ δὲ κλῆρος τριτάλαντος ἦν· ἤτοι γοῦν τὸ, δέκατον, ἢ τὸ, τρισχίλιαι διέφθαρται· (6) ὡς δὴ ἐχ ὁμολογῶν [πως] ἐπεσκήπτετο] Ῥείσκης τὸ μὲν, πῶς, περιέκλεισε ὡς παρέλκον· τὸ δὲ, ἐπεσκήπτετο, διώρθωσεν ἀντὶ τῷ, ἐπέσκηπτε· ἐμοί γε δὲ δοκεῖ ἔχειν ὅτῳποτὲ τὸ κείμενον· οἷον, ὡς δὲ ἐχ ὁμολογῶν πως, ἐπεσκήπτετο. ὅ ἐστιν, ἀορίστως· ᾗ ὅτως ἔγραψα· ἴδε ᾗ κατωτέρω κ', 1. τὰ αὐτά.

ἀναγνώσεται ὑμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν. Ἀναγίνωσκε αὐτοῖς. ΜΑΡΤΥΡΙΑ.

1 ιζ'. Ἀλλά μὴν κἀκεῖνό γε δῆλον, ὡς [ἐχ] ὁμολογῶσι τὴν τῶ Ενδίε ποίησιν ὑπὸ τῶ Πύῤῥε γενέσθαι· ἐ γὰρ ἂν ὑπερβάντες τὸν τελευταῖον τῶ οἴκε γεγενημένον κληρονόμον, ὑπὲρ τῆς γυναικὸς, τοῦ Πύῤῥου κλήρε λαχεῖν
2 τὸν λῆξιν ἠξίωταν ἔτοι· ὁ μὲν γὰρ Πύῤῥος πλείω ἢ εἴκοσιν ἔτη τετελεύτηκεν ἤδη· ὁ δὲ Ἔνδιος, τῶ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ὧ ἔλαχον τῶ κλήρε τὴν λῆξιν τρίῃ ἡμέρᾳ εὐθέως ἔτοι· ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τῶ κλήρε, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος·
3 ἐκῶν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικὶ, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν πατρώων, ἢ ἐπειδὴ τελευτηκὼς, ἧν ὁ εἰσποίητος, τῶν τῶ ἀδελφῶ τὴν ἐπιδικασίαν ἀξιῶν ποιεῖσθαι· ἄλλως τε ἢ εἰ, ὡς φασὶν ἔτοι, ἐγγυήκει αὐτὴν
4 τῷ Ξενοκλεῖ ὡς γνησίαν ἀδελφὴν ἔσαν αὐτῷ· ἀκριβῶς γὰρ ἐπισάμεθα πάντες, ὅτι ἀδελφῶν μὲν κλήρων ἐπιδικασία πᾶσίν ἐσιν ὑμῖν· ὅτῳ δὲ μόνῳ γεγόνασι γνήσιοι παῖδες, ἑδενὶ
5 ἐπιδικάζεσθαι τῶν πατρώων προσήκει· ἢ περὶ τέτων ἑδένα λόγον λεχθῆναι δεῖ· ἅπαντες γὰρ ὑμεῖς ἢ οἱ ἄλλοι πολῖται ἀνεπίδικα ἔχεσι τὰ ἑαυτῶν ἕκασοι πατρῷα·

1 ιή. Οὗτοι τοίνυν εἰς τῦτο τόλμης ἀφιγμένοι εἰσὶν, ὥσε τῷ μὲν εἰσποιήτῳ ἐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν

(1) Ὡς [ἐχ] ὁμολογῶσιν] παρέλκον δοκεῖ τὸ ἀρνητικόν· διὸ ἢ Ρ' εἴσκης περιέκλεισεν ὅτω· (1) ἐχ ὑπερβάντες τὸν τελευταῖον κληρονόμον] πότερον, ὁ Ἔνδιός ἐσιν ὁ τελευταῖος κληρονόμος, ἢ ἡμήτηρ αὐτῦ; δοκεῖ δὲ μᾶλλον ὁ Ἔνδιος, ὡς εἰκάσαι ἐκ τῆς ἐννοίας τῦ λόγε· ἥτις ἂν εἴη αὕτη γε κατ' ἐμέ· οἷον, δῆλον δὲ, ὅτι ὁμολογῶσιν εἰσποίητον εἶναι τὸν Ἔνδιον· ἄλλως γὰρ ἐκ ἂν ἀνέμενον μέχρις ἂ αὐτὸς ἀποθάνῃ, ἢ ὅτως ὑπερβάντες ἐκεῖνον, πρὸς ἄλλον νῦν ἐπιδικάζεσθαι ὑπὲρ τῦ κλήρε, ὅτω γῶν ἐννοεῖσθω μᾶλλον ἢ τὸ ἐν ἀρχῇ τῦ λόγε. α'. 2.; ἴδε δὲ ἔτι ἢ κατωτέρω· κ'. 2. (2) ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος] ὁ νῦς ἐθέλει τὸν Πύῤῥον, ἀλ' ἐχὶ τὸν Ἔνδιον· ἐκῶν γρεπτέον, κληρᾶχος, ἢ κληροδότης, ἢ κύριος τῦ κλήρε· (3) ἐκῶν δυοῖν τὰ ἕτερα] δυοῖν θάτερον, ἢ τό, ἢ το.

δοθέντων· τῇ δε Φίλῃ, ἣν φασὶ θυγατέρα γνησίαν τῷ Πύῤῥῳ κατακλελεῖφθαι, λαχεῖν τὸ κλήρε τῦ πατρώε ἠξίωσαν· καίτοι (ὅπερ εἶπον ἢ πρότερον) ὅσοι μὲν καταλιπωσι γνησίες παῖδας ἐξ αὐτῶν, ἀ προσήκει τοῖς παισὶν ἐπιδικάσασθαι τῶν πατρώων· ὅσοι δὲ διαθήκαις αὐτοὶ εἰσποιῶνται, τέτοις ἐπιδικάζεσθαι προσήκει τῶν δοθέντων· τοις μὲν γὰρ, ὅτι γόνῳ γεγόνασιν, ἑδεὶς ἂν δήπε ἀμφισβητήσειε περὶ τῶν πατρώων· πρὸς δὲ τὸς εἰσποιήτες ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμφισβητεῖν ἀξιῶσιν· ἵνα ἂν μὴ παρὰ τῦ ἐντυχόντος τῶν κλήρων αἱ λῆξεις τοῖς ἀμφισβητεῖν βελομένοις γίγνωνται, ἢ μὴ ὡς ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαι τινὲς τολμῶσι, τότε ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποίητοι πάντες ποιῶνται· μηδεὶς ἂν ὑμῶν, εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτῦ γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν ὑπὲρ αὐτῆς τὴν λῆξιν τῦ κλήρε τῦ πατρώε, ἀλλ' ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυτῆς πατρῷα· καὶ εἴ τις αὐτὴν ἀφῃρεῖτο, ἢ ἐβιάζετο, ἐξῆγεν ἂν ἐκ τῶν πατρώων· ἢ ἐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ βιαζόμενος, ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς εἰς τὸν ἄρχοντα, ἐκινδύνευεν ἂν περὶ τῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης τῆς ἑαυτῦ.

ιθ'. Ἔτι δ' ἂν πρότεροι τῦ Ξενοκλέες οἱ τῦ Πύῤῥε θεῖοι, εἰ ἤδεσαν γνησίαν θυγατέρα τῷ ἑαυτῶν ἀδελφιδῷ καταλειπομένην, ἢ ἡμῶν μηδένα λαμβάνειν ἐθέλοντα αὐτὴν, ἐκ ἄν ποτε ἐπέτρεψαν Ξενοκλέα, τὸν μηδαμόθεν μηδὲν γένει προσήκοντα Πύῤῥῳ, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκεσαν αὐτοῖς γυναῖκα· ἢ δεινόν γ' ἂν εἴη, εἰ τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας ἢ συνοικέσας ἀν-

(5) Μηδεὶς ἂν ὑμῶν] ἐλλείπει τι, ἢ ἀναπληρωτέον ἂν εἴη τάδ' ὅτωσί· μηδεὶς ὑμῶν (ὑπολαμβανέτω, ὡς) εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτῦ γυναῖκα Ξενοκλῆς, (ἠξίωσε) λαχεῖν ἂν ὑπὲρ αὐτῆς, ἢ τλ.

(2) Εἰ τὰς μὲν ὑπὸ τῶν πατέρων] τολμηρότερον, ἢ ἔδει ἴσως, διώρ-

δράσι γυναῖκας (περὶ ὧν τις ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο;) καὶ τὰς ἔπω ἐκδοθείσας, ἂν ὁ πατὴρ αὐτῶν τελευτήσῃ, μὴ καταλιπὼν αὐταῖς γνησίους ἀδελφούς, τοῖς 3 ἐγγύτατα γένους ἐπιδίκους ὁ νόμος εἶναι κελεύει· καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται τὰς ἑαυτῶν γυναῖκας· εἶτα τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας, διὰ τὸν νόμον 4 ἐξ ἀνάγκης ἐπιδίκους εἶναι προσῆκει· Ξενοκλεῖ δὲ ἄντις τῷδ' ἐπέτρεψε τῶν τοῦ Πύῤῥου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα; καὶ τοσαύτης οὐσίας τοῦτον καταξῆσαι κληρονόμον ἀνθ' ἑαυτῶν; μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες· οὐδεὶς γὰρ ἄλλως περὶ πλείονος ἑαυτοῦ ποιεῖται.

1 κ'. Ἐὰν δέ τις προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ διὰ ταῦτα μὴ φῶσιν ἀμφισβητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρή, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι, ἐπεσκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα·

θωταί μοι τοῦτ', προθέντι μὲν τὸ, εἰ, ἐν ἀρχῇ, τρέψαντι δὲ τὸ, πατρῴων εἰς τὸ, πατέρων, ὁμοίως δὲ καὶ κατωτέρω. 3. πεισθεὶς ὑπὸ τοῦ, περὶ ὧν τις ἂν ἄμεινον, ἢ ὁ πατὴρ βούλευσαιτο; τοῦτο γὰρ βούλεται καὶ ὁ νῦν ἀπαιτεῖν· προσέτι δὲ διώρθωταί μοι διὰ τὸν αὐτὸν λόγον καὶ τὸ, καὶ τὰς ἔπω ἐκδοθείσας, ἂν — τελευτήσῃ, ἀντὶ τοῦ, καὶ τὰς ἔτω δοθείσας, ἂν — τελευτήσας (ἢ τελευτήσαι κατὰ Ῥεΐσκην)· ἔσχον καὶ ἑτέρων εἰς τοῦτο τὴν γνώμην σύμφωνον, καὶ ἀνάγκην εἶναι ᾠήθην· ὁ γὰρ νοῦς τοῦ λόγου οὐδί· ἐάν τις τῶν πατέρων θυγατέρας μόνας ἔχων ἐκδῷ αὐτὰς εἰς μὴ οἰκείους, ἢ ἂν τελευτήσῃ πρὶν ἐκδῶ, ἔξεσι τοῖς ἐγγύτατα γένους ἐπιδικάσασθαι περὶ αὐτῶν, ἵνα καὶ τὰς ἐκδοθείσας αὐτοὶ λάβωσιν εἰς γυναῖκας, καὶ μήπω ἐκδοθείσας μὴ λάβωσιν ἕτεροι, ἀλλ' οἱ ἐγγύτατα γένους· ἵνα μὴ ὁ κλῆρος τοῦ οἴκου ἔλθῃ εἰς ἑτέραν οἰκογένειαν (φαμιλίαν)· (4) κατασῆσαι] ἐπανέλαβον τὴν ἀρχαίαν γραφήν· ἔχει γὰρ καλῶς· ἀντὶ τοῦ τραπέντος παρὰ Ῥεΐσκου, κατασῆναι· δῆλον δὲ καὶ ἐκ τῆς συνθέτου Ἀντωνυμίας, ἀνθ' ἑαυτῶν.

(1) Μὴ φῶσι] ἐὰν λέγωσιν ὅτι ἡ Φίλη οὐκ ἔστιν ἐπίδικος διὰ τὸ ἔχειν εἰσποίητον ἀδελφὸν τὸν Ἔνδιον, καὶ διὰ ταῦτα οἱ θεῖοι τοῦ Πύῤῥου οὐκ ἠμφισβήτησαν περὶ ταύτης, ἵνα μὴ λάβῃ αὐτὴν Ξενοκλῆς εἰς γυναῖκα, μὴ ὢν οἰκεῖος, ἔρεσθε καὶ τλ. ἐπιθι δὲ καὶ τὰ εἰρημένα ἀνωτέρω. ις'. 6. καὶ ιζ'. 1.

ἔπειτα παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον 2 κληρονόμον τοῦ Πύῤῥου, τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον· πρὸς δὲ τούτοις, ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴ τις τῶν γνησίων τῶν αὐτοῦ ἐπιδικάζεσθαι ἀξιοῖ· ταῦτα πρὸς 3 τὴν ἀναίδειαν αὐτῶν πυνθάνεσθε· ὡς δ' ἦν ἐπίδικος ἡ γυνή, εἴπερ γνησία κατελείφθη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἐστὶ τοῦτο· ὁ γὰρ νόμος διαῤῥήδην λέγει, ἐξεῖναι διαθέσθαι, ὅπως ἂν ἐθέλῃ τις τὰ αὑτοῦ· ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄῤῥενας· ἂν δὲ θηλείας καταλίπῃ, 4 ἐπὶ ταύταις· ὑκῦν μετὰ τῶν θυγατέρων ἔξι δοῦναι καὶ διαθέσθαι τὰ αὑτοῦ· ἄνευ δὲ τῶν γνησίων θυγατέρων ἐχ 5 οἱόντε ἔστε ποιήσασθαι ἔστε δοῦναι ἑδενὶ ἑδὲν τῶν ἑαυτοῦ· ὑκῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν Ἔνδιον Πύῤῥος ἐποιεῖτο υἱόν αὐτῷ, ἄκυρος ἂν ἦν αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰ δὲ τὴν θυγατέρα ἐδίδου, καὶ ἐπὶ τούτῳ 6 ποιησάμενος κατέλιπε, πῶς ἂν ὑμεῖς ἐπετρέψατε ἐπιδικάζεσθαι, τῷ τοῦ Πύῤῥου θείῳ, τὸν Ἔνδιον τοῦ Πύῤῥου κλήρου, ἄνευ τῆς γνησίας θυγατρὸς, εἰ ἦν ἐκείνῳ; ἄλλως τε 7 εἰ ἐμαρτυρήσατε ὡς ἐπέσκηψεν ὑμῖν ὁ ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου· ἀλλ' ὦ γαθὲ, τοῦτο μὲν καὶ 8 λαθεῖν φήσαιτ' ἂν ὑμᾶς· ὅτε δ' ἐνεγγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος, τῇ γυναικὶ ἐπετρέπετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ

(2) παρὰ τὸν νόμον] ὑπερβάντες τὴν ἀπὸ τοῦ νόμου προθεσμίαν, οἶμαι, ὡς ἀνωτέρω. ιζ'. 2. (2) εἴτις τῶν γνησίων (παίδων) τῶν αὐτοῦ (ὑπαρχόντων· ὅτως ἐννόησε Ῥεΐσκης προσθεὶς τὸ δεύτερον ἄρθρον, ὃς καὶ, πυνθάνεσθε, ἐγράψεν ἀντὶ τοῦ, πυνθανέσθω· (4) ἐπὶ ταύταις] ἐξεῖναι διαθέσθαι τὰ ἑαυτοῦ· (6) καὶ ἐπὶ τούτῳ] μετὰ ταῦτα· ἢ ἐπὶ τούτῳ, ἵν' ὁ Ἔνδιος λάβῃ αὐτὴν εἰς γυναῖκα· τοῦτο γάρ, οἶμαι, βούλεται δηλοῦν καὶ τὸ, ἐπὶ ταύταις, ἀνωτέρω· (6) πῶς ἂν ὑμεῖς] τῷ θείῳ ἐπετρέψατε· τὸ γάρ, τῷ θείῳ, ἐπεξήγησις ἐστὶ τοῦ, ὑμεῖς, ὡς ἐκ τῶν ἑπομένων εἰκάσαι· πρὸς γὰρ αὐτοὺς ὁ λόγος νῦν· τῷ θείῳ, δὲ ἔγραψε Ῥεΐσκης ἀντὶ τοῦ, Τῷ θείῳ· (7) εἰ ἐμαρτυρήσατε] ὁμαλώτερον ἦν φράζειν ὧδί· ἄλλως τε, εἰ ἐπέσκεψεν ὑμῖν ὁ ἀδελφιδοῦς (Πύῤῥος) ἐπιμελεῖσθαι τοῦ παιδίου, ὡς ἐμαρτυρήσατε τοῦτο· (8) ἀλλ' ὦ γαθὲ] ὡς ἀπὸ τῶν θείων πρὸς τὸν λέγοντα τὸν λόγον· (8) τῇ γυναικὶ] ἡ συνθήκη ὅτω·

ἀδελφιδῆ τῆ ὑμετέρᾳ αὐτῶν, ὡς ἐξ ἑταίρας ἧσαν ἐκείνῳ,
9 ἐγγυᾶσθαι· ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ
ἀδελφιδοῦς ὑμῶν ἐνεγγυᾶτο τὴν μητέρα τὴν ταύτης,
κατὰ νόμους ἔξειν γυναῖκα· ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ ταύτης
10 κληθέντες συνεσιᾶσθαι; πρὸς δὲ τούτοις (τοῦτο γὰρ τὸ δει-
νόν ἐστιν) ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδῆν ἐπι-
μελεῖσθαι τούτῳ τῷ παιδίῳ, ἕως ἐπεμελήθητε ὥστ' ἐᾶ-
σαι ὡς ἐξ ἑταίρας ἧσαν αὐτὴν ἐγγυᾶσθαι, ἄλλως τε καὶ
ἔχουσαν τέκνομα τῆς ὑμετέρας αὐτῶν ἀδελφῆς, ὡς ἐμαρ-
τυρεῖτε.

1 κά. Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ
πράγματος ῥᾳδίον ἐστὶ γνῶναι, ὅσον ἀναισχυντότατοι ἀν-
2 θρώπων εἰσὶν ἕτοι. τίνος γὰρ ἕνεκα, εἰ ἦν γνησία θυ-
γάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ
3 θεῖος κατέλιπε τὸν ἐμὸν ἀδελφὸν υἱὸν ἑαυτῷ; πότερον,
ὅτι προσήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι,
οὓς βουλόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποσερῆ-
4 σαι, ἐποιεῖτο τὸν ἀδελφὸν υἱὸν αὑτῷ; ἀλλ' ὅτε ἐγένετο,
οὐδ' ἔσι. μὴ γενομένων δὲ παίδων γνησίων ἐκείνῳ, ἐγ-
γυτέρω ἡμῶν ἐδείς. ἀδελφὸς μὲν γὰρ ἐκ ἦν αὐτῷ, υἱοὶ δ'
ἀδελφοῦ παῖδες· ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ.
ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν,
ἔδωκεν ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ;
5 καὶ τί ἐχρῆν αὐτὸν καταφανῶς καὶ ὁτιοῦν ἀπέχθεσθαι τῶν
οἰκείων, ἐξὸν, εἴπερ ἦν ἐγγυημένος τὴν ἀδελφὴν τὴν
Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν
εἶναι, εἰς τοὺς φράτορας εἰσαγαγόντι ὡς ἦσαν γνησίαν
ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐ-

ἐπετρέψατε ὑμεῖς οἱ θεῖοι τῇ γυναικὶ ἐγγυᾶσθαι (παθητικῶς τοῦτο) τὴν τοῦ ἀ-
δελφιδοῦ θυγατέραν, ὡς ἐξ ἑταίρας οὖσαν (γεγενημένην) ἐκείνῳ (τῷ Πύῤῥῳ)·
(10) τούτῳ τῷ παιδίῳ] τῆς θυγατρὸς Φ.Λης· (10) τῆς ὑμετέρας ἀδελφῆς]
Κλειταρέτης· ὡς ἀνωτέρω Σ. 4.

τὴν, καὶ ἐπισκῆψαι τῶν γιγνομένων τῆς θυγατρὸς παι-
δῶν εἰσαγαγεῖν υἱὸν ἑαυτῷ; δῆλον μὲν γὰρ, ὅτι ἐπι- 6
κληρον μὲν καταλιπὼν, ἀκριβῶς ἂν ᾔδει, ὅτι δυοῖν θάτε-
ρον ἔμελλεν ὑπάρχειν αὐτῇ. ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύ- 7
τατα γένους ἐπιδικασάμενον ἔξειν γυναῖκα, ἢ, εἰ μηδεὶς
ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν μαρ-
τυρέντων. εἰ δὲ μὴ, τῶν ἄλλων τινὰ συγγενῶν, τὸν αὐ- 8
τὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον, κατὰ
τοὺς νόμους ἔξειν ταύτην γυναῖκα.

κβ'. Οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτο- 1
ρας εἰσαγαγεῖν, καὶ μὴ ποιήσασθαι τὸν ἐμὸν ἀδελφὸν υἱὸν
αὐτῷ, ταῦτ' ἂν διεπράξατο· ἐκ δὲ τοῦ τὸν μὲν ποιήσα- 2
σθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐ-
τῷ προσῆκε, καὶ ἄκληρον κατέκτησε· τὸν δὲ, κληρονόμον
κατέλιπε τῶν ἑαυτοῦ. ἀλλὰ μὴν ὥς γε ὅτε γαμηλίαν εἰ- 3
σήνεγκεν ὁ θεῖος ἡμῶν, ὅτε τὴν θυγατέρα, ἣν φασι
γνησίαν αὐτῷ εἶναι ἕτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτορας
ἠξίωσε, καὶ ταῦτα τοῦ νόμου ὄντος αὐτοῖς, ἀναγνώσεται
[δὲ] ὑμῖν τὴν τῶν φρατόρων τῶν ἐκείνου μαρτυρίαν. Ἀνα-
γίνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ. Μαρτυρία. Λάβε καὶ ὡς ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ.

ΜΑΡΤΥΡΙΑ.

κγ'. Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ 1
τοῦ θείου ἐκμαρτυριῶν (1) πιστοτέραν ἡγεῖσθε εἶναι; καὶ τὴν ἕτω
κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχειρήσει
τις ὑμᾶς πείθειν, ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος
θεῖος ἔσχεν; ἀλλ' ὑμεῖς οὐ πιστεύσετε, ἐὰν μὴ ἀποφαίνῃ 2
ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου, πρῶτον μὲν, ἐπὶ

(1) Τῶν ἐκμαρτυριῶν αὐτοῦ τοῦ θείου] τοῦ Πύῤῥου δηλονότι· οὕτω γὰρ
πλασματοποιεῖ τὰ εἰρημένα καὶ γεγενημένα παρὰ τοῦ Πύῤῥου ἀνωτέρω, ὡς ἐκ-
μαρτυρίας, αὐτοῦ ἀποθανόντος· (2) ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου] ἴδε ἀνω-

τίνι προικὶ ἔτος ἐγγυῆσαι τῷ Πύῤῥῳ φησὶ τὴν ἀδελφήν·
3 ἔπειτα πρὸς ὁποῖον ἄρχοντα ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε
τὸν ἄνδρα, ἢ τὸν οἶκον τὸν αὐτῆ· εἶτα παρ' ὅτε ἐνομί-
σατο τὴν προῖκα αὐτῆς, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ φη-
4 σὶν αὐτὴν ἐγγυῆσαι. ἢ εἰ ἀπαιτῶν μὴ ἐδύνατο νομίσα-
σθαι ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτε, ἢ τῆς προικὸς
αὐτῆς, ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικάσατο τῷ ἔ-
5 χοντι τὸν Πύῤῥε κλῆρον ἔτος. ἔτι δὲ πρὸς τούτοις, ἐπι-
δειξάτω, ὅτι πρότερον ἢ ὕστερον ἐνεγγύησεν ἔτος τὴν ἀ-
δελφὴν, ἢ εἰ ἐξ ἄλλε τινὸς γεγενημένοι εἰσὶ παῖδες αὐτῇ.

1 κδ'. Ταῦτα ἕν ἀξιῶτε πυνθάνεσθαι παρ' αὐτῆ, καὶ
περὶ τῆς τοῖς φράτορσι γαμηλίας μὴ ἀμνημονεῖτε. ἐγὰρ
τῶν ἐλαχίσων πρὸς τὴν τότε μαρτυρίαν τεκμήριόν ἐσι τῆ-
2 το. δῆλον γὰρ ὅτι, εἰ ἐπείθη ἐγγυήσασθαι, ἐπείθη
ἂν κ) γαμηλίαν ὑπὲρ αὐτῆς τοῖς φράτορσιν εἰσενεγκεῖν,
κ) εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς
γνησιαν ἕσαν αὐτῷ, κ) [ἔντε τῷ δήμῳ] κεκτημένην τὸν
τριτάλαντον οἶκον, εἰ ἦν γεγαμηκώς. ἠναγκάζετο ἂν
ὑπὲρ τῆς γαμετῆς γυναικὸς κ) θεσμοφόρια ἑσιᾶν τὰς
γυναῖκας, κ) τἄλλα, ὅσα προσῆκε, λειτουργεῖν ἐν τῷ
δήμῳ, ὑπὲρ τῆς γυναικὸς, ἀπόγε ἑσίας τηλικαύτης.
3 οὐ τοίνυν φανεῖται ἐδὲν τότων γεγενημένον ἐδεπώποτε.
οἱ μεν ἕν φράτορες μεμαρτυρήκασιν ὑμῖν· λάβε δὴ κ)
τὴν τῶν δημοτῶν ἐκείνε μαρτυρίαν.

τέρα· γ'. 2. καὶ ἑξῆς· (4) τὸν Πύῤῥε κλῆρον] τὸν ἀντὶ τῆ, τᾶ, ἔγραψα.

(1) Γαμηλίας] ἀργύριον ἀντὶ διδόμενον εἰς τὰς φράτορας εἰς ἑσίασιν παρὰ τῆ νυμφε· ἴδε ἐν τῷ τῆ Δημοσθένες λεξικῷ· (2) ἔντε τῷ δήμῳ] ὡς παρέλκον περιέκλεισεν ὅτω Ῥείσκης· ὅπερ, κεῖται κατωτέρω μικρὸν κατὰ χώραν ἰδίαν· (2) ἠναγκάζετο ἄν] ἄμεινον, ἠναγκάζετο δ' ἄν.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΥΠΕΡ ΤΟΥ

ΝΙΚΟΣΤΡΑΤΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Νικοσράτε ἐν ὑπεροπία τελευτήσαντος, Ἄγνων κ) Ἀγνόθεος ὄντες ἀνεψιοὶ ἐκ πατραδέλφων, ἀμφισβητῆσι τῆ κλήρε πρὸς Χαριάδην, φάσκοντα κληρονόμον αὐτῆ εἶναι κατὰ δόσιν, ὅ ἐσι κατὰ διαθήκας. Ἰσαίος ἦν ὁ ῥήτωρ, ὡς συγγενὴς ὢν τῶν περὶ τὸν Ἄγνωνα, λέγει συνηγορῶν αὐτοῖς· Ἡ σάσις, σοχασμός.

1 ά. Ἐπιτήδειοί μοι τυγχάνεσιν, ὦ ἄνδρες, ὄντες Ἄγνων τε ἐτοσὶ κ) Ἀγνόθεος, κ) ὁ πατὴρ αὐτῶν ἔτι πρότερον· εἰκὸς ἕν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τε ὦ, συνειπεῖν αὐτοῖς· περὶ μὲν ἕν τῶν ἐν τῇ ὑπεροπία πραχθέν- 2
των ὅτε μάρτυρας ἐξευρεῖν οἱόντε, ὅτε τὸς ἀντιδίκους, ἐάντι ψεύδωνται, ἐλέγχειν ῥάδιον, διὰ τὸ μηδέτερον τότων ἐκεῖσε ἀφῖχθαι· τὰ δὲ ἐνθάδε μοι συμβεβηκότα 3
δοκεῖ ὑμῖν ἱκανὰ γενέσθαι ἂν τεκμήρια, ὅτι ἅπαντες οἱ κατὰ τὴν δόσιν τῆ Νικοσράτε ἀμφισβητοῦντες, ἐξαπατῆ- 4
σαι ὑμᾶς βάλονται· πρῶτον μὲν ἕν, ὦ ἄνδρες, περὶ τῆς τῶν ονομάτων ἐπιγραφῆς ἄξιόν ἐσιν ἐξετάσαι, κ) σκέψασθαι, ὁπότεροι ἁπλέσερον κ) κατὰ φύσιν μᾶλλον τὰς λήξεις ἐποιήσαντο.

(1) Ὁ πατὴρ] Θράσιππος· ὡς κατωτέρω· ιά, 8. (3) τὰ δὲ ἐνθάδε μοι συμβεβηκότα] ἡ συνθήκη μᾶλλον ὅτω· τὰ δὲ ἐνθάδε συμβεβηκότα δοκεῖ μοι ἱκανὰ γενέσθαι ὑμῖν τεκμήρια. (3) κατὰ τὴν δόσιν τῆ Νικοσράτε] κατὰ τὴν διαθήκην τῆ Νικοσράτε· ἄμεινον δὲ ἦν γράφειν, τῆ κλήρε τῆ Νικοσράτε. (4) περὶ τῆς τῶν ὀνομάτων ἐπιγραφῆς.] οἱ περὶ τῆ κλήρε ἐπιδικαζόμενοι ὠφειλον γράψαι ἐν γραμματείῳ πρὸς τὸν ἄρχοντα τις, τ., τίνος, παρὰ τί-

1 β'. Ἄγνων μὲν γὰρ ἔτοσὶ ὁ Ἀγνόθεος Θρασυμάχῳ
ἐπεγράψαντο τὸν Νικόστρατον, ὡς ἑαυτὸς ἀποφαινόσι· ὡς
2 τούτων μάρτυρας παρέχονται. Χαριάδης δὲ ὡς οἱ συνδικοῦν-
τες αὐτῷ Σμικρῷ μὲν πατρὸς εἶναι φασὶ τὸν Νικόστρατον,
ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου· ὡς οἶδε μὲν
οὐδὲ προσποιοῦνται ἐκείνου τοῦ ὀνόματος ἕνεκα γινώσκειν, ἔστε
3 προσήκειν αὐτοῖς· φασὶ μὲν ἓν εἶναι Θρασυμάχου Νικό-
στρατον· τοῦτο δὲ ὁμοίως τῆς οὐσίας ἀμφισβητοῦσι· ὡς εἰ
μὲν τὸ ὄνομα αὐτοῦ ὡμολόγουν εἶναι τοῦ Νικοστράτου, περὶ
δὲ τοῦ κλήρου μόνου διεφέροντο, οὐδὲν ἂν ἔδει ὑμᾶς σκέ-
4 ψασθαι, ἀλλ' εἴτι διέθετο ἐκεῖνος ὁ Νικόστρατος, οὗ ἀμ-
5 φότεροι ὡμολόγουν· νῦν δὲ πῶς οἷόντε τῷ ἀνδρὶ δύο πα-
τέρας ἐπιγράψασθαι; τοῦτο γὰρ Χαριάδης πεποίηκεν· αὐ-
τός τε γὰρ ἔλαχε τοῦ Σμικροῦ Νικοστράτου, τούτοις δὲ τοῦ
Θρασυμάχου λαχοῦσι παρακατέβαλεν, ὡς τὸν αὐτὸν ὄντα.

1 γ'. Ἔσι μὲν οὖν ἅπαντα ταῦτα ἐπήρεια καὶ παρασκευή·
ἠγοῦνται γὰρ τοῦτες, ἁπλοῦ μὲν ὄντος τοῦ πράγματος, καὶ
μηδεμιᾶς αὐτοῖς ταραχῆς ἐγγιγνομένης, ῥᾳδίως ἐπι-
2 δείξειν, ὅτι οὐδὲν Νικόστρατος διέθετο· ἐὰν δὲ μὴ τὸν
πατέρα τὸν αὐτὸν εἶναι φῶσι, τοῦ δὲ κλήρου μηδὲν ἧττον
ἀμφισβητῶσιν, ὅτι πλείονι λόγῳ εἰκεῖν τούτοις δεήσει ὡς
3 Νικόστρατος Θρασυμάχου ἦν, ἢ ὡς οὐδὲν διέθετο· ἔτι δὲ καὶ
ὁμολογοῦντες Θρασυμάχου μὲν εἶναι τὸν Νικόστρατον, οὐκ
ἂν εἶχον ἐξελέγξαι τοσόνδε, ὡς οὐκ εἰσὶν ἐκείνῳ ἀνεψιοί· ἄλ-
λον δὲ πατέρα τῷ τεθνεῶτι κατασκευάζοντες, οὐ μόνον
περὶ τῶν διαθηκῶν, ἀλλὰ καὶ περὶ τοῦ γένους λόγον ἐμβε-
βλήκασιν.

1 δ'. Οὐκ ἐκ τούτων δὲ μόνον γνοίητ' ἂν ὅτι ἄλλοι τινές

νος, ζητεῖ· ἤτοι δ' ἂν ταῦτα ποιήσαντες οἱ μὲν γένει προσήκοντες ἐπεγρά-
ψαντο τὸν ἑαυτῶν ἀνεψιὸν (πρωτεξάδελφον) Νικόστρατον Θρασυμάχου· οἱ
δὲ κατὰ διαθήκας εἰς τὸν κλῆρον ἥκοντες, Νικόστρατον Σμικροῦ.

εἰσὶν οἱ ταῦτα ἐπὶ τοσοῦτον ἐπάγοντες, ἀλλὰ καὶ ἐκ τῶν
κατ' ἀρχὰς γεγενημένων· τίς γὰρ οὐκ ἀπεκείρατο, ἐπει- 2
δὴ τῷ δύω ταλάντω ἐξάκις ἦλθετον; ἢ τίς οὐ μέλαν ἱμά-
τιον ἐφόρεσεν, ὡς διὰ τὸ πένθος κληρονομήσων τῆς οὐ-
σίας; ἢ πόσοι συγγενεῖς καὶ υἱεῖς κατὰ δόσιν προσεποιή-
σαντο τῶν Νικοστράτου; Δημοσθένης μέν γε ἀδελφιδοῦς ἔφη 3
αὐτῷ εἶναι, ἐπειδὴ δ' ἐξηλέγχθη ὑπὸ τούτων, ἀπέστη·
Τήλεφος δὲ δοῦναι αὐτῷ Νικόστρατον ἅπαντα τὰ ἑαυτοῦ· καὶ 4
ἔτος οὐ πολλῷ ὕστερον ἐπαύσατο. Ἀμυνιάδης δὲ υἱὸν αὐτῷ 5
πρὸς τὸν ἄρχοντα ἦκεν ἄγων, οὐδὲ τριετῆ γεγονότα· καὶ
ταῦτ', ἐκ ἐπιδεδημηκότος τοῦ Νικοστράτου ἕνδεκα ἐτῶν Ἀ-
θήνησι. Πύρρος δὲ ὁ Λαμπρεὺς τῇ μὲν Ἀθηνᾷ ἔφη τὰ 6
χρήματα ὑπὸ Νικοστράτου καθιερῶσθαι, αὐτῷ δ' ὑπ' αὐτοῦ
ἐκεῖνα δεδόσθαι. Κτῆσις δ' ὁ Βησαιεὺς καὶ Κραναὸς τὸ μὲν 7
πρῶτον δίκην ἔφασαν τοῦ Νικιστράτου ταλάντου καταδεδι-
κάσθαι· ἐπειδὴ δ' οὐκ εἶχον τοῦτο ἀποδεῖξαι, ἀπελεύθερον
αὐτὸν ἑαυτῶν προσεποιήσαντο εἶναι· καὶ οὐδ' ἔτοι ἃ ἔλεγον
ἀπέδειξαν· καὶ οἱ μὲν εὐθὺς κατὰ τὰ πρῶτα ἐπὶ τὰ Νι-
κοστράτου ἄξαντες ἔτοί εἰσι. Χαριάδης δὲ τότε μὲν ἐδαμοῦ 8
ἀμφισβήτησεν, ὕστερον δὲ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ τὸ ἐκ
τῆς ἑταίρας παιδίον εἰσποιῶν ἦλθε· τοῦτο δ' ἦν αὐτῷ,
ὡς ἢ τῶν χρημάτων κληρονομήσοντι, ἢ τὸ παιδίον ἀσὸν
ποιήσοντι· αἰσθόμενος δὲ καὶ ἔτος, ὅτι περὶ τοῦ γένους ἐ- 9
λεγχθήσοιτο, τὴν μὲν τοῦ παιδίου ἀμφισβήτησιν παρέλυ-
σεν, ἑαυτῷ δὲ κατὰ δόσιν παρακατέβαλεν.

(2) Τῷ δύω ταλάντω ἐξάκις ἦλθετον] εἰς κρίσιν δηλονότι· ὡσεὶ ἔλεγε·
τίς ἂ προσεποιήθη τὸ πένθος ἕνεκα τοῦ κλήρου, ὅτε βλέπομεν ἓξ κληρονόμους
χωρὶς ἑκάστου περὶ τῶν αὐτῶν ἀμφισβητήσαντας; εἰσὶ δ' ἤτοι οἱ ἑξῆς. (5) καὶ
αὐτῷ] τῷ Νικοστράτῳ· (6) ὑπ' αὐτοῦ ἐκεῖνα δεδόσθαι] τί ποτε, φησὶ, μέ-
ρος τι ἴσως τούτων· (7) ἄξαντες] ἑαυτοὺς δηλονότι· (8) τοῦτο δ' ἦν αὐτῷ]
τοῦτο δὲ τὸ ἔργον ἦν αὐτῷ τῷ Χαριάδῃ σόφισμα, ἵνα δυοῖν θατέρου κατορ-
θώσῃ, ἢ τοῦ, ἢ τοῦ· ἢ μᾶλλον ἀμφω.

1 ε. Ἐχρῆν μὲν ἓν, ὦ ἄνδρες, ὅστις κατὰ δόσιν χρη-
μάτων ἀμφισβητῶν ἡττηθείη, μὴ κατὰ τὸ τέλος ζημιῦ-
σθαι, ἀλλ' ἐφ' ὅσαπερ ληψόμενος ἴη, τοσαῦτα τῇ πόλει
2 ἀποτίνειν· ἕτω γὰρ ἔϑ οἱ νόμοι κατεφρονεῦντο, ἅτε τὰ
γένη ὑβρῖζετο πρὸς τέτων, εἰ δ' ἂν τῶν τεϑνεώτων εἰδεὶς
3 κατεψεύδετο· ἐπειδὴ δὲ ἅπασι ϗ τῶν ἀλλοτρίων ἁπάν-
των, καϑότι ἂν τις βέλῃται, ἀμφισβητεῖν ἔξεσιν, ὑμᾶς
χρὴ περὶ αὐτῶν ὡς οἷόν τε ἀκριβέστατα ἐξετάζειν, ϗ μη-
4 δὲν εἰς ὅσον δύναϑε παραλείπειν· ἐν μόναις δὲ ταῖς τῶν
κλήρων εἰσαγωγαῖς δοκεῖ μοι προσήκειν τεκμηρίοις μᾶλ-
λον ἢ μάρτυσι πιϛεύειν· περὶ μὲν γὰρ τῶν ἄλλων συμβο-
λαίων οὐ πάνυ χαλεπὸν τὸς τὰ ψευδῆ μαρτυρεῦντας ἐλέγ-
χειν· (ζῶντος γὰρ ϗ παρόντος τοῦ πράξαντος καταμαρτυ-
5 ρεῦσι) περὶ δὲ τῶν διαϑηκῶν πῶς ἄν τις γνοίη τὸς μὴ τἀ-
ληϑῆ λέγοντας, εἰ μὴ πάνυ μεγάλα τὰ διαφέροντα εἴη;
αὐτοῦ μὲν, καϑ' οὗ μαρτυροῦσι, τεϑνεῶτος· τῶν δὲ συγ-
γενῶν μηδὲν τῶν πεπραγμένων εἰδότων· τοῦ δὲ ἐλέγχου
μηδαμῶς ἀκριβοῦς γινομένου.

1 ϛ. Ἔτι δὲ, ὦ ἄνδρες, ϗ τῶν διατιϑεμένων οἱ πολ-
λοὶ οὐδὲ λέγουσι τοῖς παραγινομένοις ὅ, τι διατίϑενται,
ἀλλ' αὐτοῦ μόνου τοῦ καταλιπεῖν διαϑήκας μάρτυρας παρί-
2 σανται· τοῦ δὲ συμβαίνοντός ἐσι ϗ γραμματεῖον ἀλλαγῆ-
ναι, ϗ τἀναντία ταῖς τοῦ τεϑνεῶτος διαϑήκαις μεταγρα-
3 φῆναι· οὐδὲν γὰρ μᾶλλον οἱ μάρτυρες εἴσονται, εἰ ἐφ' αἷς
ἐκλήϑησαν διαϑήκαις, αὗται ἀποφαίνοιντο· ὁπότε δὲ ϗ
τὸς ὁμολογουμένους παραγενομένους οἵοντ' ἐσὶν ἐξαπατῆ-

(1) Μὴ κατὰ τὸ τέλος] κατὰ τὴν τελωνίαν, τὸ δέκατον οἷον εἰσπεῖν, ἢ τὴν ἐπωβελίαν· (3) ἐπειδὴ ἅπασι ϗ τῶν ἀλλοτρίων ἁπάντων] τὸ μὲν, ἁπάντων ἐκ τρίτε ἐσι τοῦ ἀμφισβητεῖν· τὸ δὲ, ἀλλοτρίων, δύναται ἀποδίδοσθαι ϗ διαιρετικῶς εἰς τό, τις· οἷον, καϑότι ἄντις ϗ τῶν ἀλλοτρίων βέλεται· ἢ ἐννοητέον μᾶλλον ὕτωσιν· ἅπασιν ἔξεσιν ἀμφισβητεῖν ϗ μόνον τῶν οἰκείων ϗ προσηκόντων αὐτῷ, ἀλλὰ ϗ τῶν ἀλλοτρίων ἁπάντων.

σαι, πῶς ἐκ ἂν ὑμᾶς γε, τὸς μηδὲν τοῦ πράγματος εἰ-
δότας, πολὺ μᾶλλον ἑτοιμότερόν τις παρακρέσασϑαι ἐ-
γχειρήσαι; ἀλλὰ μὴν ϗ ὁ νόμος, ὦ ἄνδρες, ἐκ ἐάν τις 4
διαϑῆται μόνον, κυρίας εἶναι κελεύει τὰς διαϑήκας, ἀλ-
λὰ ἐὰν εὖ φρονῶν· σκεπτέον δ' ὑμῖν πρῶτον μὲν, εἰ ἐποιή- 5
σατο τὰς διαϑήκας· ἔπειτα, εἰ μὴ παρανοῶν διέϑετο·
ἀντιλεγόντων δ' ἡμῶν μηδὲ τὸ παράπαν γενέϑαι τὰς δια- 6
ϑήκας, ἐκ τίνος ἂν τρόπε, εἴ τις παρανοῶν διέϑετο,
γνοίητε, πρὶν περὶ αὐτοῦ τοῦ διαϑέσθαι πιϛεῦσαι;

ζ. Τὸς μὲν ἓν κατὰ τὴν δόσιν ἀμφισβητοῦντας ὁρᾶτε 1
ὅσον ἔργον ἐσὶν αἰσϑέσθαι, εἰ ἀληϑῆ λέγουσι· τὸς δὲ κα-
τὰ τὸ γένος, πρῶτον μὲν ἃ δεῖ μάρτυρας παραχέσθαι ὡς
αὐτῶν ἐσιν ὁ κλῆρος· παρὰ πάντων γὰρ ὡμολόγηται, τοῖς 2
ἐγγυτάτω γένους τὰ τοῦ τελευτήσαντος γίνεσθαι· ἔπειτα οἱ
νόμοι ἃ μόνον οἱ περὶ τῶν γενῶν, ἀλλὰ ϗ οἱ περὶ τῶν δόσεων,
τοῖς συγγενέσι βοηϑοῦσι· δοῦναι μὲν γὰρ ὁ νόμος ἑδενὶ ἐᾷ 3
τὰ ἑαυτοῦ, ἐὰν ὑπὸ γήρως, ἢ ὑπὸ νόσε, ἢ ὑπὸ τῶν
ἄλλων ἃ ϗ ὑμεῖς ἴσε, παρανοήσῃ· κατὰ δὲ τὸ γένος, ϗ
τὰ τοῦ ὀπωσοῦν διακειμένε ὁ ἐγγύτατα γένους ἀναμφισβη-
τήτως λαμβάνει· χωρὶς δὲ τέτων, ταῖς μὲν διαϑήκαις 4
διὰ μαρτύρων ὑμᾶς δεῖ πιϛεῦσαι, ὑφ' ὧν ἕνι ϗ ἐξαπα-
τηϑῆναι· (ἃ γὰρ ἂν ἦσαν ψευδομαρτυριῶν ἐπισκήψεις)
τῇ δ' ἀγχισείᾳ, δι' ὑμῶν αὐτῶν· κατὰ γὰρ τὸς νόμους οἱ
συγγενεῖς ἀμφισβητοῦσιν, οὓς ὑμεῖς ἔϑεσϑε.

ή. Πρὸς δὲ τέτοις, ὦ ἄνδρες, εἰ μὲν κατὰ τὰς δια- 1
ϑήκας ἀμφισβητοῦντες, ὁμολογουμένως Νικοσράτῳ ἐπιτή-
δειοι ὄντες ἐτύγχανον, τὸ μὲν ἀκριβὲς οὐδ' ἂν ἕτως, ὅμως
μέντοι μᾶλλον εἰκὸς ἦν ἀληϑεῖς εἶναι δόξειν τὰς διαϑή-
κας· ἤδη γάρ τινες ἐκ εὖ διακείμενοι τοῖς συγγενέσιν, 2
ἐνείους φίλους τῶν πάνυ σφόδρα προσηκόντων περὶ πλείο-

νος ἐποιήσαντο· νῦν δὲ ἔτε συσσίτους, ἔτ' ἐν τάξει τῇ αὐτῇ· τέτων δ' ὑμῖν τάρτυρας ἁπάντων παρεχήμεθα. (3)

ϑ'. Ὃ δὲ μέγιστον, ᾧ μάλισα τῆς Χαριάδου ἀναιδείας καταμαρτυρεῖ, τῦτο σκέψασθε· ὅπε γὰρ τὸν αὐτὸν ποιησάμενον κληρονόμον, ἔτ' ἀποθανόντα ἀνείλετο, ἔτ' ἔκαυσεν, ἔτε ὡσολόγησεν, ἀλλὰ πάντα τοῖς μηδὲν προσήκεσι παρῆκε ποιῆσαι, πῶς ἂν ἀνοσιώτατος εἴη; ὃς τῷ τεθνεῶτι μηδὲν τῶν νομιζομένων ποιήσας, τῶν χρημάτων αὐτῦ κληρονομεῖν ἀξιοῖ; ἀλλὰ νὴ Δία, ἐπειδὴ τέτων ἐδὲν ἐποίησε, τὴν ἐσίαν τῦ Στρατονίκε διεχείρισεν; ἀλλὰ ᾧ ταῦτα ὑμῖν ᾧ τὰ πλεῖσα ἐδ' αὐτὸς ἀρνεῖται· προφάσεις δὲ οἶομαι ἀναγκαίας ἑφ' ἑκάσας τῶν πράξεων εὑρῆσθαι· τί γὰρ ὑπολείπεται τῷ διαῤῥήδην ὁμολογῦντι; (1)

ί. Σαφῶς μὲν ἓν ἴσε, ὦ ἄνδρες, ὅτι ἔτοι ἐ δικαίως τῶν Στρατονίκε ἐφίενται, ἀλλὰ βέλονται μὲν ὑμᾶς ἐξαπατῆσαι, τετυσὶ δὲ, συγγενεῖς ὄντας ἐκείνε, ἃ οἱ νόμοι ἔδοσαν αὐτοῖς, ἀποσερῆσαι· ἐ μόνον δὲ Χαριάδης τῦτο πεποίηκεν, ἀλλὰ ᾧ ἄλλοι πολλοί· ἤδη δὲ τῶν ἐν τῇ ὑπερορίᾳ ἀποθνησκόντων ἐδὲ γινώσκοντες ἐνίες, τῆς ἐσίας ἠμφισβήτησαν· ἐνθυμῦνται γὰρ, ὅτι κατορθώσασι μὲν, τὰ ἀλλότρια ἔχειν· διαμαρτῦσι δὲ μικρὸς ὁ κίνδυνος· μαρτυρεῖν δὲ ᾧ τὰ ψευδῆ τινὲς ἐθέλεσιν· οἱ δ' ἔλεγχοι περὶ ἀφανῶν· συνελόντι δὲ, πολὺ τὸ διαφέρον, κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν· ἀλλ' ὑμᾶς χρὴ, ὦ ἄνδρες, (2)

(3) Οὔτε ἐντάξει τῇ αὐτῇ] ὄντας ἀνθρώπες Νικόρατος (ὡς φασι) περὶ πλείονος τῶν συγγενῶν ἐποιήσατο.

(1) Τὸν αὐτὸν ποιησάμενον] τὸν ποιησάμενον αὐτὸν κληρονόμον· (1) ἀνείλετο] ἐκήδευσεν, ἐπ' ἐκφορὰν ἤγαγε· (1) ὡσολόγησε] μετὰ τὸ καῆναι, τὰ ὀσᾶ συνελέξατο. Ῥείσκης δὲ ἔγραψεν ὅτως ἀντὶ τῦ, ὡμολόγησε· (2) Στρατονίκε] ὅτω ᾧ κατωτέρω μικρόν· τὸν αὐτὸν δὲ Νικόρατον κατὰ ἀναγραμματισμὸν λέγει· (2) ὃδ' αὐτὸς ἀρνεῖται·] ὅτως ἔγραψα ἀντὶ τῦ, ἀνεῖται· (2) ἑφ' ἑκάσας] ἄμεινον, ἐφ' ἑκάσαις, ἢ ἐφ' ἑκάσων· (2) τῷ διαῤῥήδην ὁμολογῦντι] ὑμῖν ταῦτα ᾧ τὰ πλεῖσα, μηδὲ ἀρνεμένῳ· ᾧ τῦτο ἂν δικαιολογεῖμοι τὴν διόρθωσιν ἀνωτέρω τῦ, ἀρνεῖται.

πρῶτον μὲν τὰς διαθήκας σκοπεῖν, εἰ δοκῦσι γενέσθαι· τῦτο γὰρ οἵ τε νόμοι ἡγῦνται, ᾧ δικαιότατόν ἐσι· μὴ σαφῶς δὴ μήτ' αὐτὲς τὴν ἀλήθειαν εἰδότας, μήτε τῶν μαρτύρων τῦ τελευτήσαντος ἐπιτηδείων ὄντων, ἀλλὰ Χαριάδε τῦ τἀλλότρια βελομένε λαβεῖν, τί ἂν εἴη δικαιότερον ἢ τοῖς συγγενέσι τὰ τῦ συγγενῦς; ᾧ γὰρ οἵδε εἴ τι ἔπαθον, ἐδενὶ ἂν ἄλλῳ ἢ Νικοσράτῳ τὰ τέτων ἐγένοντο· κατὰ γὰρ τὸ αὐτὸ γένος ἂν ἠμφισβήτει, ἀνεψιὸς ὢν αὐτοῖς ἐκ πατραδέλφων. (6)

ιά. Μὰ Δί' ἀλλ' ἐκ ἔσιν ὁ Ἄγνων ἐδ' ὁ Ἀγνόθεος τῦ Νικοσράτε συγγενεῖς, ὡς οἱ ἀντίδικοι φασίν· ἀλλ' ἕτερον· ἔπειτα τῷ μὲν κατὰ τὴν δόσιν τῦ κλήρου λαχόντι μαρτυρῆσιν, αὐτοὶ δε κατὰ τὸ γένος ἐκ ἀμφισβητήσεσιν; ἐ γὰρ εἰς τῦτό γε ἀνοίας ἥκεσιν, ὥσε πισεύσαντες ταῖς διαθήκαις, ἕτω ῥαδίως τοσέτων χρημάτων ἀφίσανται· ἀλλὰ μὴν ᾧ ἐξ ὧν αὐτοὶ ἔτοι λέγεσι, τέσδε τοῖς συγγενέσιν αὐτοῖς ἐπιδικάσασθαι συμφέρει τῶν Νικοσράτε μᾶλλον ἢ Χαριάδῃ· εἰς γὰρ τὸν λοιπὸν χρόνον, εἰ μὲν οἵδε, κατὰ τὸ γένος ἀμφισβητῦντες, λήψονται τὸν κλῆρον, ἐξέσαι ᾧ τέτοις, ὁπόταν βέλωνται, κατὰ τὸ γένος λαχῦσιν, ἐπιδεῖξαι ὑμῖν, ὡς αὐτοὶ ἐγγυτέρω ἦσαν τῦ Νικοσράτε, ᾧ ὡς Σμικρᾶ ἦν, ᾧ ἐ Θρασυμάχε· ἐὰν δὲ Χαριάδης αὐτῶν κληρονομήσῃ, ἐκ ἔσαι ἐδενὶ συγγενεῖ (1) (2) (3) (4)

(6) Εἰδότας] ἐξεβιάσατο τὴν αἰτιατικὴν πρὸς τὸ, σκοπεῖν, ἀνωτέρω, δέον ἐξενεγκεῖν κατὰ γενικὴν ἀπόλυτον· ἕτερος γὰρ ὁ λόγος ἑξῆς· (6) τί ἂν εἴη δικαιότερον] ὅτως ἔγραψα εἰς Εὐκτικὸν ἀντὶ τῦ, παρὰ Ῥείσκε, τί ἂν ᾖ δικαιότερον· ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται· τί ἄντι δικαιότερον· (6) ἢ τοῖς συγγενέσι τὰ τῦ συγγενῦς] δῆλον ὅτι ἀποδίδοσθαι.

(1) Αὐτοὶ δὲ κατὰ γένος] αὐτοὶ οἱ μαρτυρῦντες· συγγενεῖς γὰρ ἦσαν Νικοσράτε ᾧ ἕτοι· (2) ἢ Χαριάδῃ] ὅτως εἰς δοτικὴν ἀντὶ τῦ, Χαριάδης· ὁ δὲ ἦκε, συμφέρει ᾧ τέτοις τοῖς συνηγορῦσι ᾧ μαρτυρῦσι τῷ Χαριάδῃ, ἵν' ἐπιδικάσωνται οἱ περὶ τὸν Ἄγνωνα αὐτοῖς συγγενέσιν ὦσι περὶ τῶν τῦ Νικοσράτε μᾶλλον ἢ αὐτῷ Χαριάδῃ· (3) οἵδε] Ἄγνων ᾧ Ἀγνόθεος· (3) καὶ τέτοις] τοῖς συνηγόροις ᾧ μάρτυσι.

ἐπὶ τὰ Νικοσράτε ἐλθεῖν· κατὰ δόσιν γὰρ ἔχοντος τῶ ἐπιδεδικασμένε, τί φανῦνται λέγοντες οἱ κατὰ τὸ γένος λαγχάνοντες.

1 ιβ'. Ὅπερ ἂν ἕν ἑ ὑμῶν ἕκασος ἀξιώσειε, τῦτο ἑ τε-
2 τοισὶ τοῖς νεανίσκοις βεβαιώσατε· παρέσχοντο δ' ὑμῖν μάρτυρας· πρῶτον μέν, ὡς ἀνεψιοί εἰσιν ἐκ πατραδέλφων
3 Νικοσράτε· ἔπειτα δὲ, ὡς ὐδεπώποτε ἐκείνῳ διάφοροι ἦσαν· ἔτι δὲ ἑ ὡς ἔθαψαν Νικόσρατον· πρὸς δὲ τέτοις, ὡς Χαριάδης ὑτοσὶ ὐδαμῶς, ὐδ' ἐνθάδε, ὐδ' ἐπὶ σρα-
4 τεύματι, ἐχρῆτο Νικοσράτῳ· ἔτι δὲ ἑ τὴν κοινωνίαν, ἣ μάλιθ' ὅτος ἰσχυρίζεται, ψευδῆ ἦσαν, ἑ ἄνευ τέτων, ὦ ἄνδρες, ἄξιον ὑμῖν ἐξετάσαι ἑκατέρες αὐτῶν οἵοί εἰσι.
5 Θράσιππος μὲν γὰρ, ὁ Ἄγνωνος ἑ Ἀγοθνέε πατὴρ, ἤδη ἑ ἐλειτέργησεν ὑμῖν ἑ εἰσήνεγκε, ἑ ἄλλως σπεδαῖος ἦν πολίτης· αὐτοὶ δὲ ὅτοι ὅτε ἀποδεδημήκασιν ὐδαμῆ πώ-
6 ποτε, ὅποι ἂν μὴ ὑμεῖς προσάξητε· οὔτ' ἐνθάδε μένοντες, ἄχρηοί εἰσι τῇ πόλει, ἀλλὰ ἑ σρατεύονται ἑ εἰσφέρυσι, ἑ τἆλλα πάντα ποιοῦσι τὰ προσταττόμενα, καὶ
7 αὐτοὺς (ὡς πάντες ἴασι) κοσμίες παρέχυσιν· ὥσε πολὺ μᾶλλον τούτες προσήκει κατὰ δόσιν τῶν χρημάτων τῶν Νικοσράτε, ἢ Χαριάδην ἀμφισβητεῖν· οὗτος γὰρ, ὅτ' ἐπεδήμει ἐνθάδε, πρῶτον μὲν εἰς τὸ δεσμωτήριον, ὡς κλέπτης ὢν ἐπ' αὐτοφώρῳ, ἀπήχθη, τοῦτο ἀφαιρεθεὶς μεθ' ἑτέρων τινῶν ὑπὸ τῶν ἕνδεκα, οὓς δημοσίᾳ ἅπαντας ὑμεῖς ἀπεκτείνατε, πάλιν ἀπογραφεὶς εἰς τὴν βελὴν κα-

(4) Τὴν κοινωνίαν] τὴν ἐμπορικήν· ὅπερ ἡ νῦν συνήθεια, συντροφίαν λέγει· (5) ἤδη] ἄμεινον ἦν γράφειν, πάλαι· ἢ προσθεῖναι τί δέον, οἷον, ἤδη περιὼν ἐλειτέργησε· (5) αὐτοὶ δὲ ὅτοι] Ἄγνων ἑ Ἀγνόθεος· (7) ὅτος γὰρ] ὁ Χαριάδης· (7) τῦτο ἀφαιρεθεὶς] ὃ καλῶς ἔχει· γραπτέον δ' ἴσως· τύτε δ' ἀφαιρεθεὶς· ἢ κατὰ Ῥείσχην· μετὰ τῦτο δ' ἀφεθεὶς· τὸ δὲ ἀναφορικὸν, ὃς, ποτέροις ἀποδοτέον; τοῖς εἰρχθεῖσι ἑ ἀφαιρεθεῖσιν, ἢ αὐτοῖς τοῖς ἕνδεκα; ἄμεινον τὸ πρῶτον· (7) κακέργων] ἴσως, κακέργιῶν· οἷον, ἀπογράφομαι εἰς τὴν βελὴν κακέργιῶν, ἐγκαλῶμαι ὡς κακέργος.

κέργων, ὑποχωρῶν ᾤχετο· ἑ οὐχ ὑπήκυσεν, ἀλλ' ἀπ' 8
ἐκείνε ἑπτακαίδεκα ἐτῶν Ἀθήναζε οὐκ ἀφίκετο, πλὴν ἐπειδὴ Νικόσρατος ἀπέθανε· ἑ ὑπὲρ μὲν ὑμῶν οὔτε σρα- 9
τείαν οὐδεμίαν ἐσράτευται, οὔτε εἰσφορὰν οὐδεμίαν εἰσενήνοχε· πλὴν εἴ τι ἄρα, ἐξότε τῶν Νικοσράτε ἠμισβήτησεν· οὔτ' ἄλλ' ὐδὲν ὑμῖν λελειτέργηκεν· ἔπειτα, τοιῦ- 10
τος ὤν, οὐκ ἀγαπᾷ εἰ μὴ τῶν ἡμαρτημένων δίκην δώσει, ἀλλὰ ἑ τῶν ἀλλοτρίων ἀμφισβητεῖ; Εἰ μὲν ἕν οἵδε φι- 11
λοπράγμονες, ἢ ἄλλοις ὅμοιοι πολίταις ἦσαν, ἴσως ἂν οὐ περὶ τῶν Νικοσράτου χρημάτων ἠμφισβήτει, ἀλλ' ὑπὲρ τοῦ σώματος ἠγωνίζετο· νῦν δ', ὦ ἄνδρες δικασαὶ, τοῦ- 12
τον μὲν ἄλλος, ἐάν τις βέληται, τιμωρήσεται· τετοισὶ δ' ὑμεῖς βοηθήσατε, ἑ μὴ περὶ πλείονος ποιήσηθε τοὺς ἀδίκως τἀλλότρια ἔχειν βελομένες, ἢ τοὺς γένει τῷ τεθνεῶτι προσήκοντας, ἑ χωρὶς τούτων ἤδητι ἐκεῖνον εὐεργετηκότας· ἀλλὰ ἑ τῶν νόμων ἀναμνηθέντες, ἑ τῶν 13
ὅρκων, οὓς ὠμόσατε, πρὸς δὲ τέτοις, ἑ τῶν μαρτυριῶν, ἃς ἡμεῖς παρεσχήμεθα, τὰ δίκαια ψηφίσαθε.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΥΠΕΡ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Δικαιογένες τελευτήσαντος ἄπαιδος ἐπὶ τέσσαρσιν ἀδελφαῖς, Πρόξενος ἦκε διαθήκην ἔχων· ἐν ᾗ Δικαιογένης ὁ τελευτήσας τὸν υἱὸν αὐτῦ Προξένε Δικαιογένην υἱὸν θετὸν ἐποιήσατο, ἐπὶ τῷ τρίτῳ μέρει τῆς ὐσίας· τῦτον δὲ τὸν τρόπον διανειμαμένων αὐτῶν τὴν ὅλην ὐσίαν, τελευτεῖον ἦλθεν ὁ υἱὸς Προξένε Δικαιογένης, φάσκων ἐπὶ ὅλῃ τῇ ὐσίᾳ γεγονέναι υἱός· ἑ νικήσας ἀνέλαβε ἑ τὰ δύο μέρη τῶν ἀδελφῶν

τῆ τελευτήσαντος· ὕστερον πάλιν οἱ παῖδες τῶν ἀδελφῶν δικασάμενοι πρὸς Δικαιογένην ἐνίκησαν, ᾗ συνέθετο Δικαιογένης ἀποδῶναι πάλιν τὰ δύο μέρη αὐτοῖς καθαρὰ ᾗ ἀνέπαφα, ἐγγυησαμένου ταῦτα Λεωχάρους· νῦν δὲ ἀρνουμένων τὰ δόξαντα τῶν περὶ Δικαιογένην ᾗ Λεωχάρην, ἐγκαλοῦσιν οἱ παῖδες τῶν περὶ τῶν δύο μερῶν· τῷ μὲν, ὡς συνθεμένῳ· τῷ δὲ, ὡς ἐγγυητῇ. Ἡ σάσις σοχασμός· ἀρνοῦνται γάρ.

1 ά. Ὡμεθα μὲν, ὦν ἄνδρες, περὶ ὧν διαφερόμεθα πρὸς Δικαιογένην, τὰ ὡμολογημένα ἐπὶ τῆ δικαστηρίῳ κύρια ἡμῖν ἔσεσθαι· ἀποσάντος γὰρ Δικαιογένους δυοῖν μεροῖν τῆ κλήρῳ, ᾗ ἐγγυητὰς καταστήσαντος ἢ μὴν παραδώσειν ἡμῖν ταῦτα τὰ μέρη ἀναμφισβήτητα, ἀφήκαμεν ἀλλήλους
2 τῶν ἐγκλημάτων· ἐπειδὴ δὲ, ὦ ἄνδρες, ὁ ποιεῖ Δικαιογένης, ἃ ὡμολόγησε, δικαζόμεθα Λεωχάρει, ἐγγυητῆ γενομένῳ Δικαιογένους, ὥσπερ ἀντωμόσαμεν. Καί μοι ἀνάγνωθι τὴν ἀντωμοσίαν. ΑΝΤΩΜΟΣΙΑ.

1 β'. Ὡς τοίνυν ἀληθῆ ἀντωμόσαμεν, Κηφισόδοτος ὅδε τοσὶ οἶδε, ᾗ μάρτυρας ὑμῖν παρεξόμεθα· πρῶτον μὲν ὡς ἀπέση Δικαιογένης ἡμῖν τοῖν δυοῖν μεροῖν τῆ κλήρῳ, εἶτα ὡς ἐγγυήσατο Λεωχάρις. Καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

1 γ'. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ᾗ ὡς ἀληθῆ μεμαρτυρήκασιν, ἐγὼ δ' ἂν αὐτὸν οἶμαι Λεωχάρην εἰπεῖν· ἴσως δὲ ἐπ' ἐκεῖνον τρέψεται τὸν λόγον, ὡς Δικαιογένης τε, ἃ ἡμῖν ὡμολόγησεν, ἅπαντα πεποίηκε, καὶ αὐτὸς
2 τὴν ἐξεγγύην, ὅτι ἀπέδωκεν· εἰ ἓν ταῦτ' ἐρεῖ, ψεύσεται, ᾗ ῥᾳδίως ἐλεγχθήσεται· ἀναγνώσεται γὰρ ὑμῖν, ὅσα κατέλιπε Δικαιογένης ὁ Μενεξένου ἐν τῷ κλήρῳ, ᾗ τὰ

Ἡ δίκη τῆ ἐγγύης ἐχεγγύου.

Δικαιογένης πρὸς ἀποθανόντα μαχόμενος ἐν Ἐλευσῖνι.

Πρόξενος ὡς κατεῖδε. δ'. 5. Μενέξενος ὁ ἀποθανὼν ἐν Σικελίᾳ.

Δικαιογένης τρίτος. πρὸς ὃν ἡδη Λῦσις ὁ Φιλόδημος ὡς ε'. 2. Δικαιογένης δεύτερος. πρὸς ὃν ἡδη Τέσσαρες ἀδελφιδοῦς. πρὸς ὃν ἡδη ἕτερος. Δημοστράτη ἡ Πολυάρατου. πρὸς ὃν ἡδη Κηφισόδοτος ὁ Μενεξένου. πρὸς ὃν ἡδη ἕτερος.

χρήματα, ἃ ἔλαβε, ταῦτα εἰ μὲν μή φασι Δικαιογένην τὸν ἡμέτερον θεῖον ζῶντα κεκτῆσθαι, ᾗ ἀποθνήσκοντα ἡμῖν δεῦναι, ἀποδειξάτωσαν· εἰ δὲ ᾗ ἐκεῖνον καταλιπεῖν, ᾗ ἡμᾶς κεκομίσθαι, μαρτυρησάτω τις αὐτοῖς· ὅτι μὲν
3 γὰρ Δικαιογένης ὡμολόγει παραδώσειν ἡμῖν, ὧν κατέλιπεν ὁ Μενεξένε, τὰ δύο μέρη, ἡμεῖς μάρτυρας παρεξόμεθα· καὶ ὅτι Λεωχάρης ἐνεγγυήσατο αὐτὸν ταῦτα ποιήσειν· ᾗ γὰρ δικαζόμεθα διὰ τοῦτο, ᾗ ταῦτα ἀντωμόσαμεν· ᾗ μοι ἀνάγνωθι τὴν ἀντωμοσίαν.

ΑΝΤΩΜΟΣΙΑ.

1 δ'. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες, περὶ τούτου ἔμελλον ἀπολογήσασθαι μόνον Λεωχάρης ἢ Δικαιογένης, ἦρκει ἄν
2 μοι τὰ εἰρημένα· ἐπειδὴ δὲ παρεσκευασμένοι εἰσὶν ἐξ ἀρχῆς περὶ τοῦ κλήρου λέγειν, βέλομαι ὑμᾶς ᾗ παρ' ἐμοῦ τὰ παρ' ἐμοῦ πραχθέντα πυθέσθαι· ἵνα εἰδότες τἀληθῆ, ὅ, τι ἂν δοκῇ ὑμῖν, ψηφίσησθε, ἀλλὰ μὴ ἐξηπατημένοι.
3 Μενεξένῳ γὰρ, τῷ ἡμετέρῳ πάππῳ, ἐγένετο υἱὸς μὲν εἷς, Δικαιογένης· θυγατέρες δὲ τέτταρες· ὧν ἔλαβε μίαν μὲν Πολυάρατος, ὁ πατὴρ ὁ ἐμός· ἄλλην δὲ Δη-
4 μοκλῆς ὁ Φρεάρριος· τὴν δὲ Κηφισοφῶν ὁ Παιανιεύς· ἡ δὲ Θεοπόμπῳ ἐγήματο τῷ Κηφισοδότου πατρί· ᾗ ὁ μὲν Δικαιογένης, τριήραρχος ἐκπλεύσας τῆς παράλου, ἐτελεύ-
5 τησε μαχόμενος ἐν Κνίδῳ· ἀποθανόντος δ' αὐτοῦ ἄπαιδος, διαθήκην ἀπέφηνε Πρόξενος πατήρ· ᾗ πιστεύσαντες οἱ ἡμέτεροι πατέρες ἐνείμαντο τὸν κλῆρον· ᾗ ἐπὶ μὲν τῷ τρίτῳ μέρει τοῦ κλήρου Δικαιογένης ὅδε τῷ Μενεξένου Δι-
6 καιογένει, ἡμετέρῳ δὲ θείῳ, υἱὸς ἐγένετο ποιητός· τῶν δὲ λοιπῶν ἑκάστη τὸ μέρος ἐπεδικάσατο τῶν Μενεξένου

(2) Α ἔλαβεν] Δικαιογένης ὁ τρίτος δηλονότι· (3) μαρτυρησάτω τις αὐτοῖς] ὅτι ἡμεῖς κεκομίσμεθα ταῦτα.

(4) Τριήραρχος τῆς Παράλου] ἦτις ἡ ἱερὰ ναῦς τῶν Ἀθηναίων· αὕτη γε ᾗ ἡ Σαλαμινία.

θυγατέρων· ὧν ἐγὼ τοὺς τότε παρόντας ὑμῖν μάρτυρας παρέξομαι.

ε'. Ἐπειδὴ δὲ ἐνείμαντο τὸν κλῆρον, ὀμόσαντες μὴ 1
παραβήσεσθαι τὰ ὡμολογημένα, ἐπέκτητο ἕκαστος δώδεκα ἔτη, ἃ ἔλαχε· ᾗ ἐν τοσούτῳ χρόνῳ ἐσῶν δικῶν, ἐ- 2
θεὶς αὐτῶν ἠξίωσε τὰ πεπραγμένα εἰπεῖν ἀδίκως πεπράχθαι· πρὶν δυστυχησάσης τῆς πόλεως, ᾗ σάσεως γενομένης κἀγῶνος, ἐτοσὶ πεισθεὶς ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου, ᾧπερ ᾗ τἆλλα ἐπείθετο, ἡμφισβήτει ἡμῖν ἅπαντος τοῦ κλήρου, φάσκων ἐφ' ὅλῃ ποιηθῆναι υἱὸς ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου· ἡμεῖς μὲν ἓν μαίνεσθαι αὐτὸν ἡγούμεθα τῇ 3
λήξει, ἐκ ἂν ποτε οἰόμενοι τὸν αὐτὸν ἄνδρα, τοτὲ μὲν φάσκοντα ἐπὶ τῷ τρίτῳ μέρει ποιηθῆναι, τοτὲ δ' ἐφ' ἅπαντι τῷ κλήρῳ, δόξαι τἀληθὲς λέγειν ὑμῖν· εἰς δὲ τὸ 4
δικαστήριον εἰσελθόντες, ᾗ πολλῷ πλείω ᾗ δικαιότερα λέγοντες, ἠδικήθημεν, ἐκ ὑπὸ τῶν δικαστῶν, ἀλλ' ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου ᾗ τῶν ἐκείνου φίλων· οἳ διὰ τὰς τῆς πόλεως συμφορὰς ἐξουσίαν σφίσιν αὐτοῖς ἡγοῦντο εἶναι κεκτῆσθαι τἀλλότρια, ᾗ τὰ ψευδῆ ἀλλήλοις μαρτυρεῖν· ὑπὸ δὲ τῶν τὰ τοιαῦτα ποιούντων ἐξηπατήθησαν οἱ δικα- 5
σαὶ· ᾗ ἡμεῖς μὲν καταψευδομαρτυρηθέντες ἀπωλέσαμεν τὰ ὄντα· καὶ γὰρ ὁ πατὴρ ὁ πολλῷ χρόνῳ ὕστερον μετὰ 6
τὴν δίκην ἐτελεύτησε, πρὶν ἐπεξελθεῖν, οἷς ἐπεσκήψατο τῶν μαρτύρων. Δικαιογένης δὲ, ὡς ἡμᾶς, ὡς ἐβούλετο 7
ἀγωνισάμενος, τῇ αὐτῇ ἡμέρᾳ ἐξήλασε μὲν τὴν Κηφισοφῶντος τοῦ Παιανιέως θυγατέρα ἐκ τοῦ μέρους, ἀδελφιδῆν οὖσαν Δικαιογένους τοῦ καταλιπόντος τὰ χρήματα· ἀφει- 8

(7) Ὡς ἡμᾶς ὡς ἐβούλεχετο ἀγωνισάμενος] ἔοικεν ἐκλαβεῖν τὸ, ἀγωνισάμενος ἀντὶ τοῦ, καταγωνισάμενος· ἵν' ᾗ κατὰ συνθήκην κτωσί· ὡς ἡμᾶς καταγωνισάμενος, ὡς ἐβούλετο· ᾗ ἐννοητέον τὸ, ἐξήλασεν· οἷον, ὡς ἐξήλασεν ἡμᾶς, ἀγωνισάμενος ὡς ἐβούλετο· ᾗ τὸ, ὡς ἀντὶ του, πρὸς· οἷον, ἀγωνισάμενος πρὸς ἡμᾶς, ὡς ἐβούλετο· ἀδόκιμον οὖν. (7) ἐκ τοῦ μέρους] τοῦ

λετο δὲ τὴν Δημοκλέους γενομένην γυναῖκα, ἃ Δικαιογένης, ἀδελφὸς ὢν, ἔδωκεν, ἀφείλετο καὶ τὴν Κηφισοδότου
9 μητέρα, καὶ αὐτὸν τοῦτον, ἅπαντα· καὶ γὰρ τούτων τε ἅμα καὶ ἐπίτροπος καὶ κύριος καὶ ἀντίδικος ἦν, καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οἰκειότητος, ἐλέου παρ' αὐτοῦ ἔτυχον· ἀλλ' ὀρφανοὶ καὶ πένητες καὶ ἔρημοι γενόμενοι, πάντων καὶ τῶν καθ' ἡμέραν ἐπιτηδείων ἦσαν ἐνδεεῖς.

1 ς'. Οὕτως αὐτοὺς Δικαιογένης ἐτοσὶ, ἐγγυτάτω ὢν γένους, ἐπετρόπευεν· ὅσγε, ἃ μὲν ὁ πατὴρ αὐτοῖς Θεό-
2 πομπος κατέλιπε, τοῖς τούτων ἐχθροῖς παρέδωκεν· ἃ δὲ ὁ πρὸς μητρὸς θεῖος, καὶ ὁ πάππος αὐτοῖς ἔδωκεν, αὐτὸς ἀφείλετο πρὸ δίκης· καὶ, ὃ πάντων δεινότατον, τὴν οἰκίαν αὐτῶν τὴν πατρῴαν, παίδων ὄντων τούτων, πριάμενος. καὶ κατασκάψας τὸν κῆπον, ἐποιήσατο πρὸς τῇ αὐτοῦ οἰκίᾳ τῇ ἐν ἄστει· καὶ λαμβάνων μίσθωσιν ὀγδοήκοντα μνᾶς ἐκ τῶν Δικαιογένους τοῦ ἡμετέρου θείου χρημάτων, τὸν ἐκείνου ἀδελφιδοῦν Κηφισόδοτον τῷ ἑαυτοῦ ἀδελφῷ Ἁρμο-
3 δίῳ συνέπεμψεν εἰς Κόρινθον ἀντακόλουθον· εἰς τοῦτο ὕβρεως καὶ μιαρίας ἀφίκετο· καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ὀνειδίζει καὶ ἐγκαλεῖ αὐτῷ, ὅτι ἐμβάδας καὶ τριβώνια φορεῖ, ἀλλ' ἐξ ἀδικῶν, ὅτι ἀφελόμενος αὐτὸν τὰ ὄντα πέ-
4 γνητα πεποίηκεν· ἀλλὰ μὴν περὶ τούτων τοσαῦτά μοι εἰρήσθω· πάλιν δ' ἐπάνειμι ὅθεν ἀπέλιπον.

1 ζ'. Μενέξενος γὰρ ὁ Κηφισοφῶντος υἱὸς, ἀνεψιὸς ὢν Κηφισοδότῳ τούτῳ καὶ ἐμοὶ, καὶ προσῆκον αὐτῷ τοῦ κλήρου μέρος, ὅσονπερ ἐμοὶ, ἐπεξῄει τοῖς καταμαρτυρήσασιν ἡμῶν καὶ ἐκείνου τὰ ψευδῆ· καὶ Λύκωνα, ὅνπερ εἰσήγαγε
2 πρῶτον εἰς τὸ δικαστήριον, τοῦτον εἶλεν· ὃς ἐμαρτύρησε

ἐπιβάλλοντος αὐτῇ ἐκ τοῦ κλήρου· (8) ἃ Δικαιογένης] ἃ, ἀντὶ τοῦ, ἧ Ρ'εἴσκης ἔγραψεν ἄνευ ἀναγκης· (8) τούτων τε ἅμα] ὁ, Τὲ, καὶ πάνυ κύριος ἐνταυθοῖ· ἄμεινον δὲ γράφειν, Γέ.

Δικαιογένην ποιηθῆναι, τὸν νῦν ὄντα, ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου υἱὸν ἐπὶ παντὶ τῷ κλήρῳ· μαρτυρήσας δὲ ταῦτα, ἐάλω ψευδομαρτυριῶν· ἐπειδὴ δὲ Δικαιογένης, ὦ ἄνδρες, 3
ἐκέτι ὑμᾶς δύναται ἐξαπατᾶν, πείθει Μενέξενον τὸν ὑπὲρ ἡμῶν τε καὶ ὑπὲρ αὐτοῦ πράττοντα, ἃ ἐγὼ αἰσχυνόμενος ἀναγκάζομαι διὰ τὴν ἐκείνου πονηρίαν λέγειν, τί ποιῆσαι, νομισάμενον αὐτὸν μέρος ἐκ τοῦ κλήρου ὅ, τι ἐγί- 4
γνετο, ἡμᾶς μὲν, ὑπὲρ ὧν ἔπραττε, προδοῦναι, τοὺς δὲ μήπω ἐαλωκότας τῶν μαρτύρων ἀφεῖναι· καὶ ἡμεῖς μὲν ταῦτα ἀπὸ τῶν φίλων καὶ τῶν ἐχθρῶν παθόντες, εἴχομεν ἡσυχίαν· τούτων δ' ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΙΑ.

η'. Ὁ μὲν τοίνυν Μενέξενος παθὼν ἄξια τῶν ἑαυτοῦ 1
τρόπων, ἠπατήθη ὑπὸ τοῦ Δικαιογένους· ἀφεὶς γὰρ τοὺς μάρτυρας, καὶ ἡμᾶς προδοὺς, ὧν ἕνεκα ταῦτ' ἔπραξεν, ἐκ ἐνομίσατο· ἀδικηθεὶς δὲ ὑπὸ Δικαιογένους, μεθ' ἡμῶν 2
πάλιν ἔπραττεν· ἡμεῖς δὲ καθηγούμενοι ἐκέτι προσήκειν Δικαιογένει ἔχειν τῶν ἐκ τοῦ κλήρου μέρος οὐδὲν, ἐπειδὴ οἱ μάρτυρες ἐάλωσαν, ἀμφισβητοῦμεν αὐτῷ ἅπαντος τοῦ οἴκου κατ' ἀγχιστείαν· καὶ ὅτι ἡμεῖς τε ὀρθῶς ἐγνώκαμεν, 3
καὶ οὐδὲν ἔτι προσήκει Δικαιογένει τοῦ κλήρου, ῥᾳδίως διδάξω· δύο γὰρ διαθῆκαι ἐφάνησαν· ἡ μὲν, πάλαι πολλῷ, ἡ δ' ὕστερον· καὶ κατὰ μὲν τὴν παλαιὰν, ἣν ἀπέφηνε Πρόξενος, ὁ Δικαιογένους τούτου πατὴρ, ἐν τῷ τρίτῳ μέρει τοῦ κλήρου ἐγίγνετο τῷ θείῳ τῷ ἡμετέρῳ υἱὸς ποιητός· κατὰ δὲ τὴν ὕστερον ἣν ἀπέφηνε Δικαιογένης, ἐπὶ παντὶ τῷ οἴ-

(3) Ὑμᾶς ὅτως ἔτρεψε Ρ'εἴσκης ἀντὶ τοῦ, ἡμᾶς· (3) τί ποιῆσαι] συνάρτησον πρὸς τὸ, πείθει, ἀνατέρω· οἷον, τί φημι πείθει αὐτὸν ποιῆσαι; (4) ὅτι ἐγίγνετο] τὸ ἑαυτοῦ μέρος, ἢ ὅτι αὐτοῖς συμπεφώνητο.

(1) Ὧν ἕνεκα] οὐκ ἐνομίσατο ταῦτα τὰ ἀγαθὰ, ὧν ἕνεκα ταῦτα τὰ κακὰ ἔπραξε κατ' ἡμῶν. (2) καθηγούμενοι] ἴσως, καθάπαξ ἡγούμεθα, ὡς εἰκάζει καὶ Ρ'εἴσκης. (2) οἱ μάρτυρες ἐάλωσαν] ὁ Λύκων, ἀνατέρω· ζ', 1.

4 κω· ταύταιν δὲ ταῖν διαθήκαιν, ἣν μὲν Πρόξενος ἀπέφηνε, Δικαιογένης ἔπεισε τὲς δικασὰς ὡς ἐκ ἀληθὴς εἴη· ἣν δὲ Δικαιογένης ἀπέφηνεν, οἱ μαρτυρήσαντες αὐτοὶ τὸν θεῖον τὸν ἡμέτερον διαθέσθαι, ἐάλωσαν ψευδομαρτυριῶν.

1 θ'. Ἀμφοῖν μὲν ἓν ταῖν διαθήκαιν ἀκύροιν γενομέναιν, καὶ ἑτέρας μηδεμιᾶς ὁμολογεμένης εἶναι, κατὰ δόσιν μὲν ἐδενὶ πρεσῆκε τᾷ κλήρᾳ· κατ' ἀγχιστείαν δὲ, ταῖς Δικαιογένες τᾷ ἀποθανόντος ἀδελφαῖς, ὧν εἰσιν αἱ ἡμέ-
2 τεραι γυναῖκες· διὰ δὲ ταῦτα ἔδοξέ τε ἡμῖν λαχεῖν τᾷ κλήρᾳ κατ' ἀγχιστείαν, καὶ ἐλάχομεν τὸ μέρος ἕκαστος·
3 μελλόντων δ' ἡμῶν ἀντόμνυσθαι, διεμαρτύρησε Λεωχάρης ἔτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ἡμῖν· ἐπισκηψαμένων δ' ἡμῶν, ἡ μὲν λῆξις τᾷ κλήρᾳ διεγράφη, ἡ δὲ τῶν
4 ψευδομαρτυριῶν δίκη εἰσῆει· ἐν δὲ τῷ δικασηρίῳ πάντα μὲν ἡμῶν εἰπόντων, ἅπερ νυνὶ, πολλὰ δὲ Λεωχάρες ἀντιπολογησαμένε, ἔγνωσαν τὰ ψευδῆ μαρτυρῆσαι Λεωχά-
5 ρην οἱ δικασαί· ἐπειδὴ δὲ τᾶτο φανερὸν ἐγένετο ἐξαιρεθεισῶν τῶν ψήφων, ἃ μὲν τῶν δικασῶν καὶ ἡμῶν ἐδεήθη Λεωχάρης, ἢ ὅσα ἡμῖν ἐξεγένετο διαπράξαθαι τότε,
6 ἐκ οἶδ' ὅ, τι δεῖ λέγειν· ἃ δὲ ὡμολογήθη ἡμῖν, ταῦτα ἡκύσατε· συγχωρέντων ἡμῶν τῷ ἄρχοντι μὴ συναριθμεῖν, ἀλλὰ συγχέαι τὰς ψήφως, ἀφίσατο μὲν Δικαιογένης τοῖν δυοῖν μεροῖν τοῦ κλήρᾳ ταῖς Δικαιογένες ἀδελφαῖς, καὶ ὡμολόγει ἀναμφισβήτητα δώσειν ἡμῖν ταῦτα τὰ μέρη·
7 καὶ ταῦτα ἐγγυᾶτο αὐτῷ Λεωχάρης ἔτος, καὶ ὡμολόγει

(4) ψευδοδομαρτυριῶν] ἔτως ἔγραψα ἀντὶ τᾶ, ψευδομαρτυριῶντες· εἰ δὲ μὴ, γραφέθω· ψευδομαρτυρᾶντες.

(1) Ὧν εἰσιν αἱ ἡμέτεραι γυναῖκες] θυγατέρες δηλονότι· δοκᾶσι γὰρ οἱ νῦν ἐπιδικαζόμενοι ἁοὶ τὰ Πολυκράτες τὰς ἑαυτῶν ἀνεψιὰς (εἴτ' ἓν πρωτεξαδέλφας πρὸς μητρὸς) ἔχειν γυναῖκας. (6) συναριθμεῖν] δοκεῖ δὲ μᾶλλον γραπτέον εἶναι, διαριθμεῖν, ὅ ἐστι χωρὶς διαμερεῖν, διακρινεῖν, ὅσον εἰκάσαι ἐκ τᾶ συγχέαι· ὅ ἐστι πρὶν διακρῖναι τὰς ψήφως, ὡμολόγησε ταῦτα τὰ ἐξῆς.

ποιήσειν, οὐ μόνον ἀλλὰ καὶ Μνησιπτόλεμος ὁ Πλωτιεύς· καὶ τέτε ὑμῖν τὲς μάρτυρας παρέξομαι. ΜΑΡΤΥΡΕΣ.

ι. Ἡμεῖς τοίνυν ταῦτα παθόντες ὑπὸ Λεωχάρες, καὶ 1
ἐγγενόμενον ἡμῖν, αὐτὸν, ἐπειδὴ εἴλομεν ψευδομαρτυριῶν, ἀτιμῶσαι, ἐκ ἐβελήθημεν, ἀλλ' ἐξήκεσε τὰ ἡμέτερα ἡμῖν νομισαμένοις ἀπολλάχθαι· τοιᾶτοι δὲ γενόμε- 2
νοι περὶ Λεωχάρην καὶ Δικαιογένην, ἐξηπατήθημεν ὑπ' αὐτῶν, ὦ ἄνδρες· ὅτε γὰρ Δικαιογένης τὰ δύο μέρη ἡμῖν τοῦ κλήρᾳ παρέδωκεν, ὁμολογήσας ἐπὶ τᾷ δικασηρίου, ἔτε Λεωχάρης ὁμολογεῖ ἐγγυήσαθαι αὐτὸν τότε. καίτοι εἰ μὴ ἐναντίον μὲν τῶν δικασῶν, πεντακοσίων ὄν- 3
των, ἐναντίον δὲ τῶν περιεστηκότων, ἐνεγγυᾶτο, ἐκ οἶδ' ὅ, τι ἂν ἐποίησεν, ὡς μὲν τοίνυν περιφανῶς ψεύδονται, μάρτυρας ὑμῖν παρεχόμεθα τὲς παρόντας, ὅτε Δικαιογένης μὲν ἀφίσατο τοῖν δυοῖν μεροῖν τᾷ κλήρᾳ, καὶ ὡμολόγει ἀναμφισβήτητα παραδώσειν ταῖς Δικαιογένες ἀδελφαῖς, Λεωχάρης δὲ ἐνεγγυᾶτο αὐτὸν ἃ ὡμολόγησε καὶ ποιήσειν· δεόμεθα δὲ καὶ ὑμῶν, ὦ ἄνδρες, εἴ τις ἐτύγ- 4
χανε παρὼν τότε, ἀναμνησθῆναι, εἰ λέγομεν ἀληθῆ, καὶ βοηθῆσαι ἡμῖν.

ια. Ἔπει, ὦ ἄνδρες, εἰ Δικαιογένης ἀληθῆ λέγει, 1
τί ἡμεῖς ὠφελέμεθα νικήσαντες; ἢ τί ἔτος ἐζημιώθη ἡττηθεὶς; εἰ γὰρ ἀπέσῃ μόνον, ὥς φησι, τοῖν δυοῖν μεροιν τᾷ κλήρᾳ, ἀναμφισβήτητον δὲ μὴ ὡμολόγει παραδώσειν, τί ἐζημιοῦτο ἀφισάμενος ὧν τιμὴν εἶχεν; οὐδὲ γὰρ 2
πρὶν ἡττηθῆναι τὴν δίκην, εἶχεν, ὧν ἡμεῖς δικαζόμεθα, ἀλλ' οἱ παρὰ τέτε πριάμενοι καὶ θέμενοι, οἷς ἔδει αὐτὸν ἀποδόντα τὴν τιμὴν, ἡμῖν τὰ μέρη ἀποδῶναι· διὰ ταῦτα 3
γὰρ καὶ τὲς ἐγγυητὰς παρ' αὐτᾶ ἐλάβομεν, ἃ πιστεύοντες αὐτῷ, ἃ ὡμολόγησε ποιήσειν· πλὴν γὰρ δυοῖν οἰκιδίοιν

ἔξω τείχους, ἢ ἐν πεδίῳ ἑξήκοντα πλέθρων, οὐδὲν κεκο-
4 μίσμεθα· ἀλλ' οἱ παρὰ τούτου θέμενοι ἢ πριάμενοι, ἡμεῖς
δ' ἐκ ἐξάγομεν· δεδίαμεν γὰρ μὴ ὄφλωμεν δίκας. ἢ γὰρ
Μικκίωνα, κελεύοντος Δικαιογένους, καὶ φάσκοντος μὴ
βεβαιώσειν, ἐξάγοντες ἐκ τοῦ βαλανείου, ὤφλομεν τετται-
5 ράκοντα μνᾶς, διὰ Δικαιογένην, ὦ ἄνδρες· ἡγούμενοι
γὰρ ἐκ ἂν αὐτὸν βεβαιώσειν οὐδὲν ὧν ἡμῖν ἀπέσχη ἐν τῷ
δικαστηρίῳ, διϊσχυριζόμεθα πρὸς Μικκίωνα ἐναντίον τῶν
δικαστῶν, ἐθέλοντες ὁτιοῦν πάσχειν, εἰ βεβαιώσειεν αὐτῷ
Δικαιογένης τὸ βαλανεῖον, ἐκ ἂν ποτε οἰόμενοι αὐτὸν
ἐναντία οἷς ὡμολόγησε πρᾶξαι· ἐ δι' ἄλλ' οὐδέν, ἢ διὰ
6 τοὺς ἐγγυητάς, ὅτι καθεισήκεισαν ἡμῖν· ἀποσὰς δὲ Δι-
καιογένης ταῦτα τὰ μέρη, ὧν ἢ νῦν ὁμολογεῖ ἀφεσάναι
ἡμῖν, ἐβεβαίωσε Μικκίωνι τὸ βαλανεῖον· ἢ ἐγὼ μὲν ὁ
7 ἄθλιος, ἐχ ὅπως τι ἐκ τοῦ κλήρου εἰληφὼς, ἀλλὰ προσα-
πολωλεκὼς τετταράκοντα μνᾶς, ὠπηειν ἰβρισμένος ὑπὸ
τοῦ Δικαιογένους· ἢ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΙΑ.

1 ιβ'. Ταῦτα μὲν πεπόνθαμεν ὑπὸ Δικαιογένους, ὦ ἄν-
δρες· ὁ δ' ἐγγυησάμενος αὐτὸν Λεωχάρης, ἢ τῶν πάν-
των ἡμῖν κακῶν αἴτιος, ὃ φησιν ἐγγυήσασθαι, ἃ καταμαρ-
τυρεῖται αὐτοῦ· ὅτι ἐν τῷ γραμματείῳ τῷ ἐπὶ τοῦ δικαστη-
2 ρίου γραφέντι ἐκ ἔνεσι ταῦτα· ἡμεῖς δὲ, ὦ ἄνδρες, τότ'
ἐπὶ τοῦ βήματος σπεύδοντες, τὰ μὲν ἐγράψαμεν, τῶν δὲ
μάρτυρας ἐποιησάμεθα· ἔστοι δὲ, ἃ μὲν αὐτοῖς συμφέρει
τῶν ὁμολογηθέντων, ταῦτα κύρια φασὶν εἶναι, εἰ ἢ μὴ
γέγραπται· ἃ δ' ἐ συμφέρει, ἐ κύρια, εἰ μὴ γέγραπ-
3 ται· ἐγὼ δ', ὦ ἄνδρες, ἐ θαυμάζω, ὅτι ἔξαρνοί εἰσι τὰ
ὡμολογημένα· οὐδὲ γὰρ τὰ γραφέντα ἐθέλουσι ποιεῖν·
ἡμεῖς δ' ὡς ἐλέγομεν ἀληθῆ, ἢ ἄλλο τι τεκμήριον πα-
4 ρεξόμεθα· Πρωταρχίδῃ γὰρ Ποταμίῳ ἔδωκε Δικαιογέ-

νης τὴν ἀδελφὴν τὴν ἑαυτοῦ ἐπὶ τετταράκοντα μναῖς· ἀντὶ
δὲ τῆς προικὸς τὴν οἰκίαν αὐτῷ τὴν ἐν Κεραμεικῷ παρέ-
δωκε· ταύτῃ δὲ τῇ γυναικὶ, ἣν ὁ Πρωταρχίδης ἔχει, 5
προσήκει τοῦ κλήρου μέρος, ὅσονπερ τῇ μητρὶ τῇ ἐμῇ· ἐπεὶ 6
δ' ἦν ἀπέσχη Δικαιογένης ταῖς γυναιξὶ τοῖν δυοῖν μεροῖν
τοῦ κλήρου, ἠξίου ὁ Λεωχάρης τὸν Πρωταρχίδην παραδι-
δόναι αὐτῷ τὴν συνοικίαν, ἣν εἶχεν ἀντὶ τῆς προικὸς,
ὡς ὄντι ἐγγυητῇ αὐτῷ, τὸ δὲ μέρος ὑπὲρ τῆς γυναικὸς
τοῦ κλήρου παῤ αὐτοῦ κομίζεσθαι· παραλαβὼν δὲ τὴν συ-
νοικίαν, τὸ μέρος ἐ παρέδωκε· καὶ τούτων ὑμῖν μάρτυρα
τὸν Πρωταρχίδην παρέξομαι. ΜΑΡΤΥΣ.

ιγ'. Περὶ δὲ ἐπισκευῆς τοῦ βαλανείου ἢ οἰκοδομίας ἢ πρό- 1
τερον εἴρηκε Δικαιογένης, ἢ νῦν ἴσως ἐρεῖ· ὡς ὁμολογή-
σαντες αὐτῷ ἀποδώσειν τὰ ἀναλωμένα, ἐκ ἀπεδώκαμεν· ἢ 2
ὅτι διὰ τοῦτο ἐ δύναται ἐπαλλάσσειν τοὺς χρήσας, ἐδὲ ἡμῖν
παραδοῦναι, ἃ δεῖ αὐτόν· ἡμεῖς δὲ, ὦ ἄνδρες, ἐπὶ τοῦ 3
δικαστηρίου, ὅτε ἠναγκάζομεν αὐτὸν ἀφίεσθαι τούτων, ἀντὶ
τῶν λειτουργιῶν ἢ τῶν εἰς τὰ οἰκοδομήματα ἀναλωμένων,
ἀφεῖμεν αὐτῷ τὰς καρπὰς, ἕτω τῶν δικαστῶν γιγνωσκόν-
των· ὕστερον δ' ἐκ ἀναγκαζόμενοι, ἀλλ' ἑκόντες ἔδομεν 4
αὐτῷ τὴν ἐν ἄστει οἰκίαν ἐξαιρεθέντες, πρὸς τῷ τρίτῳ
μέρει τοῦ κλήρου ἔχειν ἀντὶ τῶν ἐπεσκευασμένων, ἣν ἔτος
ἀντὶ πεντακισχιλίων δραχμῶν παρέδωκε Φιλονείκῳ· πα- 5
ρέδωκε δὲ ἐ διὰ τὴν τοῦ Δικαιογένους χρηστότητα, ὦ ἄν-
δρες, ἀλλ' ἐπιδεικνύμενοι, ὅτι ἐ περὶ πλείονος χρήματα
ποιέμεθα τῶν οἰκείων, ἐδ' ἂν πάνυ πονηροὶ ὦσι· ἢ γὰρ 6
πρότερον ὅτ' ἐφ' ἡμῖν ἐγένετο Δικαιογένην τιμωρήσασθαι,

(4) Ἐξαιρεθέντες] ἐξελόντες γραπτέον, ἢ ἐξαίρετον ποιήσαντες· (5) παρέδωκε] εἰμὴ λείπει καὶ ἕτερα πολλὰ γραπτέον· παρεδώκαμεν, ἢ ἁπλῶς ἔδομεν.

καὶ ἀφελέσθαι ἃ εἶχεν, οὐκ ἐβεβλήθημεν τῶν τότε κτήσα-
7 σθαι οὐδέν· ἀλλὰ τὰ ἡμέτερα μόνον νομίσασθαι ἐξήρκει
ἡμῖν· ἔτος δ' ὅτ' ἐκράτησεν ἡμῶν, ἀπεσύλησεν ἃ ἐδύ-
νατο, καὶ ὡς ἐχθρὸς, ἀλλ' οὐ προσήκοντας ἀπόλλυσι.

1 ιδ'. Τεκμήριον δὲ καὶ τῶν ἡμετέρων τρόπων καὶ τῆς τό-
τε ἀδικίας μέγα παρεξόμεθα· μελλόσης γὰρ τῆς πρὸς
Δεωχάρην δίκης εἰσιέναι, ὦ ἄνδρες, ἐν τῷ Μαιμακτη-
ριῶνι μηνὶ, ἠξίουν Λεωχάρης καὶ Δικαιογένης δίαιταν ἡμᾶς
2 ἐπιτροπεύειν, τὴν δίκην ἀναβαλλομένους· καὶ ἡμεῖς, ὥσπερ
μικρὰ ἀδικούμενοι, συνεχωρήσαμεν, καὶ ἐπετρέψαμεν διαι-
τηταῖς τέσσαρσιν· ὧν τοὺς μὲν δύο ἡμεῖς ἠγάγομεν, τοὺς
δὲ δύο ἐκεῖνοι· καὶ ἐναντίον τούτων ὡμολογήσαμεν ἐμμέ-
νειν· οἷς ἔτοι γνοῖεν· καὶ ὠμόσαμεν· καὶ οἱ διαιτηταὶ ἔφα-
σαν, εἰ μὲν ἀνώμοτοι δύναιντ' ἂν ἡμᾶς διαλλάξαι, ἔτω
3 ποιήσειν· εἰ δὲ μὴ, καὶ αὐτοὶ ὀμόσαντες ἀποφανεῖσθαι ἃ
δίκαια ἡγοῖντο εἶναι· ἀναπρίναντες δὲ ἡμᾶς πολλάκις, καὶ
πυθόμενοι τὰ πραχθέντα οἱ διαιτηταὶ, οἱ μὲν δύο, οὓς
ἐγὼ πρόβαλον, Διότιμος καὶ Μελάνωπος, ἤθελον καὶ ἀνώ-
μοτοι καὶ ὀμόσαντες ἀποφήνασθαι, ἃ ἐγίνωσκον ἀληθέστατα
4 ἐκ τῶν λεγομένων· οὓς δὲ Λεωχάρης προβάλετο, οὐκ
ἔφασαν ἀποφανεῖσθαι, καίτοι Διοπείθης, ὁ ἕτερος τῶν
διαιτητῶν, Λεωχάρει μὲν ἦν τότῳ κηδεστὴς, ἐμοὶ δ' ἐχθρὸς
5 καὶ ἀντίδικος ἐξ ἑτέρων συμβολαίων· Δημάρατος δὲ ὁ μετ'
αὐτοῦ, Μνησιπολέμῳ τῷ ἐγγυησαμένῳ Δικαιογένει με-
τὰ Λεωχάρους, ἦν ἀδελφός· ἔτοι μέντοι οὐκ ἠθέλησαν
ἀποφήνασθαι, ὁρκώσαντες ἡμᾶς ἧμὴν ἐμμένειν οἷς ἂν
αὐτοὶ γνοῖεν· καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

(1) Δίαιταν ἡμᾶς ἐπιτροπεύειν] γραπτέον μᾶλλον, διαιτηταῖς ἡμᾶς ἐπι-
τρέπειν· ὡς καὶ ἐκ τῶν ἑπομένων εἰκάσαι ἔστι, καὶ ἡ φράσις εἴθισται παρὰ πᾶσι·
(4) οὐκ ἔφασαν ἀποφανεῖσθαι] ἀνώμοτοι δηλονότι.

ΜΑΡΤΥΡΕΣ.

ιέ. Οὔκουν δεινὸν εἰ δεήσεται ὑμῶν, ὦ ἄνδρες, Λεω- 1
χάρης ἀποψηφίσασθαι ἃ Διοπείθης κηδεστὴς ὢν αὐτῷ κα-
τεψηφίσατο; ἢ ὑμῖν πῶς καλὸν ἀπογνῶναι Λεωχάρει
ἄγε δὴ οἱ προσήκοντες αὐτῷ ἔγνωσαν; δέομαι ὧν ὑμῶν 2
καταψηφίσασθαι Λεωχάρους, εἴπερ ἀδίκων οὐκ ἐπιθυμῶ-
μεν· Δικαιογένην γὰρ, ὦ ἄνδρες, ἔτ' ἐλεεῖν ἐξὸν δίκαιοι,
κακῶς πράττοντα καὶ πενόμενον, ἔτ' εὖ ποιεῖν ὡς ἀγαθόν
τι εἰργασμένον τὴν πόλιν· ἑτέρα γὰρ αὐτῶν τότῳ 3
ὑπάρχει, ὡς ἐγὼ ἀποφαίνω, ὦ ἄνδρες. ἅμα δὲ καὶ πλέ-
σιον καὶ πονηρότατον αὐτὸν ἀνθρώπων ἀποδείξω καὶ εἰς τὴν
πόλιν καὶ εἰς τοὺς προσήκοντας, καὶ εἰς τοὺς φίλους. Οὗτος 4
δὲ παραλαβὼν τὸν κλῆρον παρ' ἡμῶν, φέροντα μισθωσιν
τῷ ἐνιαυτῷ ὀγδοήκοντα μνᾶς, καρπωσάμενος αὐτὸν ἕκα
ἔτη, ἔτε ἀργύριον ὡμολόγει κεκτῆσθαι, ἔτε ὅποι ἀνή-
λωσεν ἔχοι ἂν ἐπιδεῖξαι, ὦ ἄνδρες· ἄξιον δὲ καὶ ὑμῖν
λογίσασθαι. οὗτος γὰρ τῇ μὲν φυλῇ εἰς Διονύσια χο- 5
ρηγήσας, τέταρτος ἐγένετο, τραγῳδοῖς δὲ καὶ πυρρίχι-
σαῖς ὕστατος. ταύτας δὲ μόνας ἀναγκασθεὶς λειτουργίας
λειτουργῆσαι, ἀπὸ τοσαύτης προσόδου ἔτω καλῶς ἐχο-
ρήγησεν. ἀλλὰ μὴν τριηράρχων τοσούτων καταστάντων,
ἔτ' αὐτὸς ἐτριηράρχησεν, ἔθ' ἑτέρῳ συμβέβληκεν ἐν
τοῖς τοιούτοις καιροῖς, ἀλλ' ἕτεροι μὲν οὐσίαν κεκτημένοι
ἐλάττω, ἢ ἔτος μίσθωσιν λαμβάνει, τριηραρχοῦσι. καί 6
τοι, ὦ ἄνδρες, οὐχ ὁ πατὴρ αὐτῷ τὴν πολλὴν οὐσίαν κα-
τέλιπεν, ἀλλ' ὑμεῖς ἔδοτε τῇ ψήφῳ. ὥστε εἰ καὶ μὴ πο-
λίτης ἦν, διάγε τοῦτο δίκαιος ἦν τὴν πόλιν εὖ ποιεῖν.
Εἰσφορῶν τοίνυν τοσούτων γεγενημένων πᾶσι τοῖς πολί- 7

(1) Οὔκουν] ἔτως ἔγραψα ἀντὶ τοῦ, οὐκοῦν· εἰ δὲ μὴ, περιαιρετέον τὸ ἐ-
ρωτηματικόν· (3) ἀποφαίνω] ἄμεινον κατὰ Γ'ειτονα, ἀποφαίνω· ὁμοίως καὶ
ἀντὶ τοῦ, ἅμα δὲ· ἄμεινον γράφειν, ἅμα γάρ· ὡς καὶ κατωτέρω μικρὸν τοῦ,
ἔτος δὲ, τρεπτέον ἂν εἴη εἰς τὸ, ἔτος γάρ· (4) καρπωσάμενος αὐτὸν] αὐ-

ταις εἰς τὸν πόλεμον ϗ τὴν σωτηρίαν τῆς πόλεως, Δι-
8 καιογένης οὐκ ἔσιν ἥντινα εἰσενήνοχε. πλὴν ὅτε Λέχαιον
ἐάλω, κληθεὶς ὑπὸ ἑτέρᾳ ἐπέδωκεν ἐν τῷ δήμῳ τριακο-
σίας δραχμὰς, ἔλαττον ἢ Κλεώνυμος ὁ Κρής· ϗ τοῦτο
ἐπέδωκεν, οὐκ εἰσήνεγκεν, ἀλλ' ἐπ' αἰχίσῳ ἐπιγράμμα-
9 τι ἐξ ἑτέρᾳ αὐτοῦ τὄνομα ἔμπροσθεν τῶν ἐπωνύμων. ὅτε
δ' ἔδει εἰς σωτηρίαν τῆς πόλεως, ὑποχόμενος τῷ δήμῳ
εἰσοίσειν χρήματα ἐθελοντὴς, οὐκ εἰσήνεγκε. καίτοι πῶς
ἄξιον θαυμάζειν, ὦ ἄνδρες, εἰ ἐμὲ ἐξηπάτησεν ἕνα ὄντα,
ὃς ὑμᾶς ἅπαντας ἅμα συνειλεγμένους ἐν τῇ ἐκκλη-
σίᾳ, τοιαῦτα ἐποίησε; ϗ τούτων ὑμῖν μάρτυρας παρέ-
ξομαι. ΜΑΡΤΥΡΕΣ.

1 ις'. Εἰς μὲν τὴν πόλιν ὅτω ϗ τοσαῦτα λελειτούργη-
κε Δικαιογένης ἀπὸ τοσούτων χρημάτων. περὶ δὲ τοὺς
προσήκοντας τοιοῦτός ἐσιν, οἷον ὁρᾶτε. ὥσε τὲς μὲν ἡμῶν
ἀφείλετο τὴν οὐσίαν, ὅτι μεῖζον ἐδυνήθη, τὲς δὲ περιεώ-
ρα εἰς τὲς μισθωτὲς ἰόντας δι' ἔνδειαν τῶν ἐπιτηδείων.
2 τὴν δὲ μητέρα τὴν αὐτοῦ καθημένην ἐν τῷ τῆς Εἰληθυίας
ἱερῷ πάντες ἑώρων ϗ τούτῳ ἐγκαλοῦσαν, ἃ ἐγὼ αἰσχύνο-
3 μαι λέγειν, ὅτος δὲ ποιῶν οὐκ ἠχύνετο. τῶν δ' ἐπιτη-
δείων, Μέλανα μὲν τὸν Αἰγύπτιον, ᾧ ἐκ μειρακίου φί-
λος ἦν, ὅπερ ἔλαβε παρ' αὐτοῦ ἀργύριον, ἀποσερήσας,
ἔγθισός ἐσι· τῶν δὲ ἄλλων αὐτοῦ φίλων οἱ μὲν ἐκ ἀπέλα-
βον, ἃ ἐδάνεισαν, οἱ δ' ἐξηπατήθησαν, ϗ οὐκ ἔλαβον,
ἃ ὑπέρχετο αὐτοῖς, εἰ ἐπιδικάσαιτο τοῦ κλήρου, δώσειν.

τὸν, ἀντὶ τοῦ, αὐτῶν, ἔγραψε Ῥείσκης· (8) Λέχαιον ἐάλω] ἔσι δὲ τὸ Λέ-
χαιον, ὡς Ἀρποκρατίων, ἐπίνειον τῶν Κορινθίων καθάφασι Στράβων ἐν ὀγ-
δόῃ τῶν γεωγραφουμένων· (8) οὐκ εἰσήνεγκε] ἀναπληρωτέον δοκεῖ μοι ταῦθ'
ὅτως· ϗ τοῦτο, (ὅ) ἐπέδωκεν, οὐκ εἰσήνεγκεν (ἐπ' ἄλλῳ τινὶ τέλει) ἀλλ'
(ἢ) ἐπ' αἰσχίσῳ ἐπιγράμματι (ἐντιθέντι) αὐτοῦ τὄνομα ἔμπροσθεν τῶν ἐπωνύ-
μων. Ἐπωνύμων δὲ ἀντὶ τοῦ, ὁμωνύμων διώρθωσε Ῥείσκης· καλῶς· εἰσὶ δ'
Ἐπώνυμοι δέκα ἀνδριάντες, ἀφ' ὧν ἔσχον αἱ Φυλαὶ τὰ ὀνόματα, ἐν τόπῳ
τινὶ ἱδρυμένοι, ἔνθα τοιαῦτα γράμματεῖα προσεπήγνυεν δημόσια.

ιζ'. Καίτοι, ὦ ἄνδρες, οἱ ἡμέτεροι πρόγονοι οἱ ταῦ- 1
τα κτησάμενοι, ϗ καταλιπόντες, πάσας μὲν χορηγίας
ἐχορήγησαν, εἰσήνεγκαν δὲ εἰς τὸν πόλεμον χρήματα
πολλὰ ὑμῖν, ϗ τριηραρχοῦντες ἑδένα χρόνον ἔλιπον· ϗ
τούτων μαρτύρια ἐν τοῖς ἱεροῖς ἀναθήματα ἐκεῖνοι ἐκ τῶν
περιόντων, μνημεῖα τῆς αὐτῶν ἀρετῆς, ἀνέθεσαν. τοῦτο 2
μὲν, ἐν Διονύσῳ τρίποδας, ὃς χορηγοῦντες ϗ νικῶντες
ἔλαβον· τοῦτο δ', ἐν Πυθίῳ· ἔτι δ' ἐν ἀκροπόλει, ὰς
ἀπαρχὰς τῶν ὄντων ἀναθέντες, πολλοῖς, ὡς ἀπὸ ἰδίας
κτήσεως, ἀγάλμασι χαλκοῖς ϗ λιθίνοις κεκοσμήκασι
τὸ ἱερόν. αὐτοὶ δ' ὑπὲρ τῆς πατρίδος πολεμοῦντες ἀπέ-
θανον. Δικαιογένης δὲ, ὁ Μενεξένου, τοῦ ἐμοῦ πάππου, 3
πατὴρ, στρατηγῶν ὅτε ἡ ἐν Ἐλευσῖνι μάχη ἐγένετο.
Μενέξενος δ' ὁ ἐκείνου υἱὸς, φυλαρχῶν τῆς Οἰνσίας ἐν
Σπαρτώλῳ· Δικαιογένης δὲ ὁ Μενεξένου, τριηραρχῶν
τῆς παράλου ἐν Κνίδῳ.

ιή. Τὸν μὲν τέτου οἶκον σὺ, ὦ Δικαιόγενες, παρα- 1
λαβὼν, κακῶς ϗ αἰσχρῶς διολώλεκας· ϗ ἐξαργυρισά-
μενος, πενίαν ὀδύρῃ. πῶ ἀνάλωσας; ὅτε γὰρ εἰς τὴν
πόλιν, ὅτε εἰς τὲς φίλους φανερὸς εἶ δαπανηθεὶς οὐδέν.
οὐ μὴν οὐδὲ καθιπποτρόφηκας· οὐ γὰρ πώποτε ἐκτήσω 2
ἵππον πλείονος ἄξιον ἢ τριῶν μνῶν. ὅτε κατεζευγοτρό-
φηκας· ἐπεὶ οὐδὲ ζεῦγος ἐκτήσω ὁρικὸν οὐδεπώποτε ἐπὶ
τοσούτοις ἀγροῖς ϗ κτήμασιν. ἀλλ' οὐδ' ἐκ τῶν πολεμίων 3
ἐλύσω οὐδένα. ἀλλ' οὐδὲ τὰ ἀναθήματα, ἃ Μενέξενος
τριῶν ταλάντων ποιησάμενος, ἀπέθανε πρὶν ἀναθεῖναι,
εἰς τὴν ἀκρόπολιν κεκόμικας, ἀλλ' ἐν τοῖς λιθουργείοις
ἔτι κυλινδεῖται. καὶ αὐτὸς μὲν ἀξίως κεκτῆσθαι, ἃ σοι 4

(2) Ἃς ἀπαρχὰς] τὸ, ἃς, δυοῖν θάτερον, ἢ τρεπτέον εἰς τὸ, τὰς, ἢ
γᾶν εἰς τὸ, ὡς· ἢ ἐξαλειπτέον· ἵνα ᾖ, ἔτι δὲ ἐν ἀκροπόλει κεκοσμήκασι
τὸ ἱερὸν πολλοῖς ἀγάλμασιν, ἀναθέντες τὰς ἀπαρχὰς τῶν ὄντων.

οὐδὲν προσῆκε χρήματα, τοῖς δὲ θεοῖς οὐκ ἀπέδωκας, ἃ
5 ἐκείνων ἐγίγνετο ἀγάλματα. διὰ τί ἂν ἀξιώσεις σε τοὺς
δικασὰς ἀποψηφίσασθαι, ὦ Δικαιόγενες; πότερον, ὅτι
πολλὰς λειτουργίας λελειτούργηκας τῇ πόλει; ἢ πολλὰ
χρήματα δαπανήσας, σεμνοτέραν τὴν πόλιν τούτοις ἐποίη-
σας; ἢ ὡς τριηραρχῶν πολλὰ κακὰ τοὺς πολεμίους εἰρ-
γάσω, ἢ εἰσφορὰς δεομένῃ τῇ πατρίδι εἰς τὸν πόλεμον
6 εἰσενεγκών, μεγάλα ὠφέληκας; ἀλλ' οὐδέν σοι τούτων
πέπρακται. ἀλλ' ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐκ ἐστρά-
τευσαι, τοσούτῳ καὶ τοιούτῳ γενομένῳ πολέμῳ, εἰς ὃν Ὀ-
λύνθιοι μὲν καὶ νησιῶται ὑπὲρ τῆσδε τῆς γῆς ἀποθνήσ-
7 κουσι μαχόμενοι τοῖς πολεμίοις. σὺ δὲ, ὦ Δικαιόγενες,
πολίτης ὢν, οὐκ ἐστράτευσαι. ἀλλ' ἴσως διὰ τοὺς προγό-
νους ἀξιώσειέ μοι πλέον ἔχειν, ὅτι τύραννον ἀπέκτειναν.
8 ἐγὼ δ' ἐκείνους μὲν ἐπαινῶ. σοὶ δὲ οὐδὲν ἡγοῦμαι τῆς
ἐκείνων ἀρετῆς μετεῖναι. πρῶτον μὲν εἶλε ἀντὶ τῆς ἐκεί-
νων δόξης τὴν ἡμετέραν οὐσίαν κτήσασθαι· καὶ ἐβουλήθης
9 μᾶλλον Δικαιογένους καλεῖσθαι υἱὸς ἢ Ἁρμοδίου. Ὑπερι-
δὼν μὲν τὴν ἐν Πρυτανείῳ σίτησιν, καταφρονήσας δὲ
προεδριῶν καὶ ἀτελειῶν, αἳ τοῖς ἐξ ἐκείνων γεγονόσι δέ-
δονται. ἔτι δὲ ὁ Ἀριστογείτων ἐκεῖνος καὶ Ἁρμόδιος οὐ διὰ
τὸ γένος ἐτιμήθησαν, ἀλλὰ διὰ τὴν ἀνδραγαθίαν, ἧς
σοι οὐδὲν μέτεστιν, ὦ Δικαιόγενες.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΠΕΡΙ ΤΟΥ

ΦΙΛΟΚΤΗΜΟΝΟΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Εὐκτήμονος υἱὸς Φιλοκτήμων τὸν τῆς ἑτέρας τῶν ἀδελφῶν
καὶ Φανοστράτου υἱὸν Χαιρέστρατον ποιησάμενος κατὰ διαθήκας

τὰς δοθείσας παρὰ Χαιρέα, τῷ τῆς ἑτέρας ἀδελφῆς ἀνδρὶ,
ἐτελεύτησε ζῶντος ἔτι τοῦ πατρός· ὕστερον δὲ κἀκείνου ἀπο-
θανόντος, ἔλαχεν ὁ Χαιρέστρατος τοῦ κλήρου κατὰ τὸν νόμον.
διαμαρτυρήσαντος δὲ Ἀνδροκλέους μὴ εἶναι ἐπίδικον, ὄντος
Ἀντιδώρου γνησίου παιδὸς Εὐκτήμονι, οἱ περὶ Χαιρέστρατον
ἐπεσκήψαντο τῇ διαμαρτυρίᾳ, ὡς τοῦτον καὶ τὴν ἀδελφὴν αὐ-
τοῦ νόθους γεγονέναι φάσκοντες. τὸν δὲ νόμον διαγορεύειν,
νόθῳ καὶ νόθῃ μὴ εἶναι ἀγχιστείαν. Ἡ σύστασις σοχασμός. ἄδη-
λον γὰρ, εἰ ἐποίησε Φιλοκτήμων Χαιρέστρατον υἱὸν ἑαυτῷ·
καὶ πάλιν ἄδηλον, εἰ γνήσιοί εἰσιν οἱ περὶ Ἀντίδωρον.

ά. Ὅτι μὲν, ὦ ἄνδρες, πάντων οἰκειότατα χρῶ- 1
μαι Φανοστράτῳ τε καὶ Χαιρεστράτῳ τούτῳ, τοὺς πολλοὺς οἶ-
μαι ὑμῶν εἰδέναι· τοῖς δὲ μὴ εἰδόσιν ἱκανὸν ἐρῶ τεκμή-
ριον. ὅτε γὰρ εἰς Σικελίαν ἐξέπλει τριηραρχῶν Μενέ- 2
στρατος, διὰ τὸ πρότερον αὐτὸς ἐκπεπλευκέναι, προή-
δειν πάντας τοὺς ἐσομένους κινδύνους. ὅμως δὲ δεομένων 3
τούτων καὶ συνεξέπλευσα καὶ συνεδυσύχησα, καὶ ἐάλωμεν
εἰς τοὺς πολεμίους. ἄτοπον δὲ εἰ ἐκεῖνα μὲν, προδήλων
ὄντων τῶν κινδύνων, ὅμως, διὰ τὸ χρῆσθαι τούτοις, καὶ
φίλους νομίζειν, ὑπέμενον· νῦν δὲ μὴ ἐπειρώμην συνει- 4

Ἡ σειρὰ τοῦ γένους.

Εὐκτήμων Κηφισιεύς.

Φιλοκτήμων· οὗ ὁ κλῆρος ἐν τῷ ἀγῶνι.	Ἐργαμένης.	Ἡγέμων.	Θυγάτηρ γυνὴ Χαιρέου. (θ'. 7.)	Θυγάτηρ γυνὴ Φανοστράτου.
				Χαιρέστρατος.

(2) Ὅτε εἰς Σικελίαν ἐξέπλει] δῆλον ἐκ τῶν ἑπομένων, ὅτι ἐπὶ τοῦ Πε-
λοποννησιακοῦ πολέμου· (2) Μενέστρατος] ἴσως Φανόστρατος· ἢ ἦγεν πατὴρ ἢ
ἀδελφὸς ἦν αὐτοῦ Φανοστράτου.

πεῖν ἐξ ὧν ὑμεῖς τε τὰ εὔορκα ψηφιεῖσθε, καὶ τούτοις τὰ δίκαια γενήσεται. δέομαι δ' ὑμῶν συγγνώμην τε ἔχειν, καὶ μετ' εὐνοίας ἀκροάσασθαι. ὁ γὰρ ἀγὼν οὐ μικρὸς αὐτοῖς, ἀλλὰ περὶ τῶν μεγίστων.

1 β'. Φιλοκτήμων γὰρ ὁ Κηφισιεὺς φίλος ἦν Χαιρεστράτῳ τούτῳ· δοὺς δὲ τὰ ἑαυτοῦ, καὶ υἱὸν αὐτὸν ποιησάμε-
2 νος, ἐτελεύτησε. λαχόντος δὲ τοῦ Χαιρεστράτου, κατὰ τὸν νόμον, τοῦ κλήρου, ἐξὸν ἀμφισβητῆσαι Ἀθηναίων τῷ βουλομένῳ, καὶ εὐθυδικίᾳ εἰσελθόντα εἰς ὑμᾶς, εἰ φαίνοιτο δικαιότερα λέγων, ἔχειν τὸν κλῆρον, διεμαρτύρησεν Ἀνδροκλῆς ἑτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀποξερῶν τοῦτον τῆς ἀμφισβητήσεως, καὶ ὑμᾶς τοῦ κυρίους
3 γίνεσθαι, ὁντινα δεῖ κληρονόμον καταξήσασθαι τῶν Φιλοκτήμονος· καὶ ἐν μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι οἴεται ἀδελφοὺς κατασήσειν ἐκείνῳ τοὺς οὐδὲν προσήκοντας, καὶ τὸν κλῆρον ἀνεπίδικον ἕξειν αὐτός· καὶ τῆς ἀδελφῆς τῆς ἐκείνου κύ-
4 ριος γενήσεσθαι, καὶ τὴν διαθήκην ἄκυρον ποιήσειν. Πολλῶν δὲ καὶ δεινῶν ὄντων, ἃ διαμεμαρτύρηκεν Ἀνδροκλῆς, ταῦτ' αὐτῷ πρῶτον ἐπιδείξω ὑμῖν ὡς διέθετο, καὶ ἐποιήσατο υἱὸν τοτονὶ Χαιρέστρατον. ἐπειδὴ γὰρ τῷ Φιλοκτήμονι ἐκ μὲν τῆς γυναικὸς, ἣ συνῴκει, οὐκ ἦν παιδίον οὐδὲν, πολέμου δ' ὄντος ἐκινδύνευε, καὶ ἱππεὺς στρατευόμενος, καὶ τριήραρχος πολλάκις ἐκπλέων, ἔδοξεν αὐτῷ διαθέσθαι τὰ αὑτοῦ, μὴ ἔρημον καταλίπῃ τὸν οἶκον, εἴ τι
5 πάθοι. τῷ μὲν οὖν ἀδελφῷ αὐτῷ, ὥπερ ἐγενέσθην, ἄμφω ἄπαιδε ἐτελευτησάτην. ταῖν δὲ ἀδελφαῖν τῇ μὲν ἑτέρᾳ, ᾗ ὁ Χαιρέας συνῴκει, οὐκ ἦν ἄρρεν παιδίον, οὐδὲ
6 ἐγένετο, πολλὰ ἔτη συνοικούσῃ. ἐκ δὲ τῆς ἑτέρας, ᾗ συνῴκει Φανόστρατος ἑτοσὶ, ἦσαν υἱὼ δύο. τούτων τὸν πρεσβύτερον τοτονὶ Χαιρέστρατον ἐποιήσατο υἱόν· καὶ ἔγραψεν ἔτως ἐν διαθήκῃ, εἰ μὴ γένοιτο αὐτῷ παιδίον ἐκ τῆς

γυναικὸς, τοῦτον κληρονομεῖν τῶν ἑαυτοῦ. καὶ τὴν διαθήκην κατέθετο παρὰ τῷ κηδεστῇ Χαιρέᾳ, τῷ τὴν ἑτέραν αὐτοῦ ἀδελφὴν ἔχοντι. καὶ ὑμῖν ἥτε διαθήκη αὕτη ἀναγνωσθήσεται, καὶ οἱ παραγενόμενοι μαρτυρήσουσι. καί μοι ἀνάγνωθι. ΔΙΑΘΗΚΗ.

Ὡς μὲν διέθετο, καὶ ἐφ' οἷς ἐποιήσατο υἱὸν τοῦτον, 7
ἀκηκόατε· ὡς δ' ἐξὸν αὐτῷ ταῦτ' ἔπραξεν (ὅθεν δικαιότατα ἡγοῦμαι τὰ τοιαῦτ' εἶναι μανθάνειν) τοῦτον ὑμῖν αὐτὸν παρέξομαι τὸν νόμον. καί μοι ἀνάγνωθι. ΝΟΜΟΣ.

γ'. Οὑτοσὶ ὁ νόμος, ὦ ἄνδρες, κοινὸς ἅπασι κεῖται, 1
ἐξεῖναι τὰ ἑαυτοῦ διαθέσθαι, ἐὰν μὴ παῖδες ὦσι γνήσιοι ἄρρενες, ἐὰν μὴ ἄρα μανεὶς, ἢ ὑπὸ γήρως, ἢ δι' ἄλ- 2
λό τι τῶν ἐκ τῶν νόμων παρανοῶν διαθῆται. ὅτι δ' οὐδενὶ τούτων ἔνοχος ἦν Φιλοκτήμων, βραχέα εἰπὼν δηλώσω ὑμῖν. ὅσις γὰρ καὶ ἕως ἔζη τοιοῦτον πολίτην ἑαυτὸν πα- 3
ρεῖχεν, ὥσε, διὰ τὸ ὑφ' ὑμῶν τιμᾶσθαι, ἄρχειν ἀξιοῦσθαι, καὶ ἐτελεύτησε μαχόμενος τοῖς πολεμίοις· πῶς ἄν τις τοῦτον τολμήσειεν εἰπεῖν ὡς ἐκ εὖ ἐφρόνει; ὅτι μὲν 4
οὖν διέθετο καὶ ἐποιήσατο εὖ φρονῶν, ἐξὸν αὐτῷ, ἀποδέδεικται ὑμῖν. ὥσε κατὰ μὲν τοῦτο ψευδῆ μεμαρτυρηκὼς Ἀνδροκλῆς ἀποδέδεικται. ἐπειδὴ δὲ προσδιεμεμαρτύρηκεν ὡς υἱὸν εἶναι γνήσιον Εὐκτήμονος τοῦτον, καὶ ταῦτ' ἀποδείξω ψευδῆ ὄντα. Εὐκτήμονι γὰρ, ὦ ἄνδρες, τῷ 5
Φιλοκτήμονος πατρὶ, τοὺς μὲν ὄντως γενομένους παῖδας Φιλοκτήμονα καὶ Ἐργαμένην καὶ Ἡγέμονα, καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα αὐτῶν, ἣν ἔγημεν ὁ Εὐκτήμων, Μιξιάδου Κηφισιέως θυγατέρα, πάντες οἱ προσήκοντες ἴσασι, καὶ οἱ φράτορες, καὶ τῶν δημοτῶν οἱ πολλοί· καὶ μαρτυρήσουσιν ὑμῖν· ὅτι δ' ἐδ' ἄλλην τινὰ ἔγημε γυναῖ- 6
κα, ἐξ ἧς τινος οἶδε αὐτῷ ἐγένοντο, οὐδεὶς τὸ παράπαν

οἶδεν, οὐδ' ἤκουσε πώποτε ζῶντος Εὐκτήμονος. καίτοι τούτους εἰκὸς πιστοτάτους εἶναι νομίζειν μάρτυρας. τοὺς γὰρ οἰκείους εἰδέναι προσήκει τὰ τοιαῦτα. καίμοι τούτους κάλει πρῶτον, καὶ τὰς μαρτυρίας ἀνάγνωθι. ΜΑΡΤΥΡΕΣ.

δ'. Ἔτι τοίνυν καὶ τοὺς ἀντιδίκους ἐπιδείξω ἔργῳ ὑμῖν ταῦτα μεμαρτυρηκότας. ὅτε γὰρ αἱ ἀνακρίσεις ἦσαν πρὸς τῷ ἄρχοντι, καὶ ἔτοι παρακατέβαλον, ὡς ὑπὲρ γνησίων τῶνδ' Εὐκτήμονος ὄντων, ἐρωτώμενοι ὑφ' ἡμῶν, τίς εἴη αὐτῶν μήτηρ, καὶ ὅτε θυγάτηρ, οὐκ εἶχον ἀποδεῖξαι, διαμαρτυρομένων ἡμῶν, καὶ τοῦ ἄρχοντος κελεύοντος ἀποκρίνασθαι κατὰ τὸν νόμον, ὦ ἄνδρες. ἀμφισβητεῖν μὲν ὡς ὑπὲρ γνησίων καὶ διαμαρτυρεῖν, μητέρα δὲ, ἥτις ἦν, μὴ ἔχειν ἀποδεῖξαι, μηδὲ προσήκοντα αὐτοῖς μηδένα. ἀλλὰ τότε μὲν Λημνίαν σκηψάμενοι ταύτην ἀναβολὴν ἐποιήσαντο. τὸ δ' ὕστερον ἥκοντες εἰς τὴν ἀνάκρισιν, πρὶν καί τινα ἐρέσθαι, εὐθὺς ἔλεγον, ὅτι Καλλίππη μήτηρ αὕτη εἴη, Πισοξένου θυγάτηρ· ὡς ἐξαρκέσον, εἰ ὄνομα μόνον ποήσαιντο τὸν Πισόξενον. ἐρομένων δ' ἡμῶν ὅστις εἴη, καὶ εἰ ζῇ ἢ μὴ, ἐν Σικελίᾳ ἔφασαν ἀποθανεῖν στρατευσάμενον, καταλιπόντα ταύτην τὴν θυγατέρα παρὰ τῷ Εὐκτήμονι· ἐξ ἐπιτροπευομένης δὲ τούτῳ γενέσθαι. πρᾶγμα πράττοντες ἀναιδείᾳ ὑπερβάλλον, καὶ οὐδὲ γενόμενον, ὡς ἐγὼ ὑμῖν ἀποφανῶ ἐκ τούτων πρώτων, ὧν αὐτοὶ ἀπεκρίναντο.

ε'. Τῇ μὲν γὰρ στρατιᾷ, ἀφ' ἧς ἐξέπλευσεν εἰς Σικε-

(1) Καὶ ἔτοι παρακατέβαλον] οἱ περὶ τὸν Ἀδροκλέα καὶ τὸν νέον Εὐκτήμονα καὶ λεγόμενον κληρονόμον παρακατέβαλον, ἐπλησίασαν πρὸς τὸν ἄρχοντα· δοκεῖ δὲ ὅτι ἡ μήτηρ τοῦ κληρονόμου εἶχεν ἐνταῦθα καὶ ἕτερον υἱόν· ἴδε ζ'. 7. (2) αὐτοῖς] τοῖς λεγομένοις παιδίοις Εὐκτήμονος· (4) ἐξ ἐπιτροπευομένης δὲ τούτῳ] τούτῳ τῷ δύο παῖδε ἐγεννήθησαν τῷ Εὐκτήμονι ἐκ τῆς Καλλίππης τῆς θυγατρὸς Πισοξένου, ἣν ἐπετρόπευεν.

λίαν, ἤδη ἐτῶν δύο καὶ πεντήκοντα ἔτη, ἀπὸ Ἀριμνήστου ἄρχοντος· τῷ δὲ πρεσβυτέρῳ τούτων, ὃν φασιν ἐκ τῆς Καλλίππης καὶ τοῦ Εὐκτήμονος εἶναι, ἔπω ὑπὲρ εἴκοσιν ἔτη. [ἀπὸ Ἀριμνήστου ἄρχοντος] Ἀφελόντα ἓν ταῦτα ἀπὸ τῶν ἐν Σικελίᾳ, ὑπολείπεται πλείω ἢ τριάκοντα ἔτη. ὥστε ἔτ' ἐπιτροπεύεσθαι προσήκει τὴν Καλλίππην ἔτι, τριακοντούτιν γε οὖσαν, ὅτε ἀνέκδοτον καὶ ἄπαιδα εἶναι. ἀλλὰ πάνυ πάλαι συνοικεῖν, ἢ ἐγγυηθεῖσαν κατὰ νόμον, ἢ ἐπιδικασθεῖσαν. ἔτι δὲ καὶ γινώσκεσθαι αὐτὴν ὑπὸ τῶν Εὐκτήμονος οἰκείων ἀναγκαῖον ἦν, καὶ ὑπὸ τῶν οἰκετῶν, εἴπερ γε συνῴκησεν ἐκείνῳ, ἢ διητήθη τοσοῦτον χρόνον ἐν τῇ οἰκίᾳ. τὰ γὰρ τοιαῦτα οὐκ εἰς τὴν ἀνάκρισιν μόνον δεῖ ποριζεσθαι ὀνόματα, ἀλλὰ τῇ ἀληθείᾳ γεγονότα φαίνεσθαι, καὶ ὑπὸ τῶν προσηκόντων καταμαρτυρεῖσθαι. Ἀποδεῖξαι τοίνυν ἡμῶν κελευόντων, ὅσις οἶδε τῶν Εὐκτήμονος οἰκείων ἢ συνοικήσασαν ἐκείνῳ τινὰ Καλλίππην, ἢ ἐπιτροπευομένην, καὶ παρὰ τῶν ὄντων θεραπόντων τὸν ἔλεγχον ποιεῖσθαι· ἢ, εἴτις τῶν παρ' αὐτοῖς οἰκετῶν φάσκει ταῦτα εἰδέναι, ἡμῖν παραδοῦναι, ὅτε λαβεῖν ἠθέλησαν. Καίμοι λάβε τήν τ' ἀπόκρισιν αὐτῶν, καὶ τὰς ἡμετέρας μαρτυρίας καὶ προκλήσεις.

ΑΠΟΚΡΙΣΙΣ, καὶ ΜΑΡΤΥΡΙΑ, καὶ ΠΡΟΚΛΗΣΙΣ.

ς'. Οὗτοι μὲν τοίνυν τοιοῦτο πρᾶγμα ἔφυγον. ἐγὼ δ' ὑμῖν ἐπιδείξω καὶ ὅθεν εἰσὶ, καὶ οἵτινες αὐτοὺς γνησίους διεμαρτύρησαν εἶναι, καὶ κληρονόμους ζητοῦσι καταστῆσαι τῶν Εὐκτήμονος. ἴσως μέν ἐστιν ἀφειδὲς Φανοστράτῳ, ὦ ἄνδρες, τὰς Εὐκτήμονος συμφορὰς φανερὰς καθεστάναι· ὀλίγα δ' ἀναγκαῖον ῥηθῆναι, ἵν' ὑμεῖς τὴν ἀλήθειαν εἰδότες, ῥᾷον τὰ δίκαια ψηφίσησθε. Εὐκτήμων μὲν γὰρ ἐβίω ἔτη ἓξ καὶ ἐννενήκοντα. τότε δὲ τοῦ χρόνου τὸν μὲν πλεῖστον ἐδόκει εἶναι εὐδαίμων· καὶ γὰρ οὐσία ἦν οὐκ ὀλί-

γη αὐτῷ, ᾗ παῖδες, ᾗ γυνή, ᾗ τἆλλα ἐπιεικῶς εὐτύ-
4 χει·) ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο ἡ μικρά,
ἣ ἐκείνῃ πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο· ᾗ χρήματα πολ-
λὰ διώλεσε, ᾗ αὐτὸν τοῖς οἰκειοτάτοις εἰς διαφορὰν κα-
5 τέστησεν· ὅθεν δὲ ᾗ ὅπως ταῦτ' ἐγένετο, ὡς ἂν δύνω-
μαι διὰ βραχυτάτων δηλώσω.

1 ζ'. Ἀπελευθέρα ἦν αὐτῷ, ὦ ἄνδρες ἡ ἐναυκλήρει
συνοικίαν ἐν Πειραιεῖ αὐτῷ, ᾗ παιδίσκας ἔτρεφε. τέτων
μίαν ἐκτήσατο, ᾗ ὄνομα ἦν Ἀλκή, ἣν ᾗ ὑμῶν οἶμαι
πολλὰς εἰδέναι. αὕτη δὲ ἡ Ἀλκὴ ὠνηθεῖσα, πολλὰ μὲν
ἔτη καθῆσο ἐν οἰκήματι, ἤδη δὲ πρεσβυτέρα ὖσα, ἀπὸ
μὲν τῆ οἰκήματος ἀνίσταται, διαιτωμένη δὲ αὐτῇ ἐν τῇ
συνοικίᾳ συνῆν ἄνθρωπος ἀπελεύθερος, Δίων ὄνομα αὐ-
2 τῷ, ἐξ ἧ ἔφη ἐκείνη τέτες γεγονέναι· καὶ ἔθρεψεν αὐ-
τὲς ὁ Δίων, ὡς ὄντας ἑαυτῆ. χρόνῳ δὲ ὕσερον ὁ μὲν
Δίων ζημίαν εἰργασμένος, ᾗ δείσας ὑπὲρ αὐτῆ, ὑπε-
3 χώρησεν εἰς Σικυῶνα· τὴν δ' ἄνθρωπον ταύτην, τὴν Ἀλ-
κὴν, καθίσησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμει-
κῷ συνοικίας, τῆς παρὰ τὴν πυλίδα, ἧ ὁ οἶνος ὤνιος.
κατοικισθεῖσα δ' ἐνταυθοῖ πολλῶν ᾗ κακῶν ἦρξεν, ὦ
4 ἄνδρες· φοιτῶν γὰρ ὁ Εὐκτήμων ἐπὶ τὸ ἐνοίκιον ἑκάσοτε,
5 τὰ πολλὰ διέτριβεν ἐν τῇ συνοικίᾳ· ἐνίοτε δὲ ᾗ ἐσιτεῖ-
το μετὰ τῆς ἀνθρώπε, καταλιπὼν ᾗ τὴν γυναῖκα ᾗ τὲς
6 παῖδας, ᾗ τὴν οἰκίαν, ἣν ᾤκει· χαλεπῶς δὲ φερέσης
τῆς γυναικὸς, ᾗ τῶν ᾗέων, ἐχ ὅπως ἐπαύσατο, ἀλλὰ
τελευτῶν παντελῶς διητᾶτο ἐκεῖ· ᾗ ἔτω διετέθη εἴθ'
ὑπὸ νόσε, εἴθ' ὑπ' ἄλλε τινὸς, ὥσε ἐπείθη ὑπ' αὐτῆς

(1) Ἐναυκλήρει συνοικίαν] ναύκληρος ὁ μεμισθωμένος συλλέγειν τὰ ἐνοίκια· ἴδε Ἁρποκρατίωνα· (1) ἐν οἰκήματι] ἐν πορνείῳ· (2) ζημίαν εἰργασμένος] ἢ καταδικασθεὶς περί τινος, ἢ κακὸν ποιήσας τινί· ἀσυνήθης δ' ἡ φράσις· (4) ἐπὶ τὸ ἐνοίκιον] ὡς δῆθεν συλλέξων τὸ ἐνοίκιον.

τὸν πρεσβύτερον τοῖν παίδοιν εἰσαγαγεῖν εἰς τὲς φράτορας ἐπὶ τῷ αὐτῆ ὀνόματι.

ή. Ἐπειδὴ δὲ ὅδ' ὅτως αὐτῷ Φιλοκτήμων συνεχώρει, 1
ἔθ' οἱ φράτορες συνεδέξαντο, ἀλλ' ἀπηνέχθη τὸ κύριον,
ὀργιζόμενος ὁ Εὐκτήμων τῷ ᾗεῖ, ᾗ ἐπηρεάζειν βελόμε-
νος, ἐγγυᾶται γυναῖκα Δημοκράτες τῆ Ἀφιδναίε ἀδελ-
φὴν, ὡς ἐκ ταύτης παῖδας ἀποφανῶν ᾗ εἰσποιήσων εἰς
τὸν οἶκον, εἰ μὴ συγχωρείη τῆτον [ἐᾶν] εἰσαχθῆναι·
εἰδότες δ' οἱ ἀναγκαῖοι, ὅτι ἐξ ἐκείνε μὲν ἐκ ἂν ἔτι γέ- 2
νοιντο παῖδες, ταύτην τὴν ᾗλικίαν ἔχοντος, φανήσοιντο
δ' ἄλλῳ τινὶ τρόπῳ, ᾗ ἐκ τέτων ἔσοιντο ἔτι μείζως διαφοραὶ, ἔπειθον, ὦ ἄνδρες, τὸν Φιλοκτήμονα ἐᾶσαι εἰσαγαγεῖν τῆτον τὸν παῖδα ἐφ' οἷς ἐζήτει ὁ Εὐκτήμων, χωρίον ἐνδόντα. Καὶ ὁ Φιλοκτήμων αἰσχυνόμενος μὲν ἐπὶ 3
τῇ τῆ πατρὸς ἀνοίᾳ, ἀπορῶν δ' ὅ,τι χρήσαιτο τῷ παρόντι κακῷ, ἐκ ἀντέλεγεν ἐδέν· ὁμολογηθέντων δὲ 4
τέτων, ᾗ εἰσαχθέντος τῆ παιδὸς ἐπὶ τέτοις, ἀπηλλάγη τῆς γυναικὸς ὁ Εὐκτήμων, ᾗ ἐπεδείξατο, ὅτι ἐ παίδων ἕνεκα ἐγάμει, ἀλλ' ἵνα τῆτον εἰσαγάγοι· τί γὰρ 5
ἔδει αὐτὸν γαμεῖν, ὦ ἄνδρες, εἴπερ οἵδε ἦσαν ἐξ ἀσῆ ᾗ γυναικὸς ἀσῆς, ὡς σὺ μεμαρτύρηκας; τὶς γὰρ ἂν γνησίως ὄντας οἷός τε ἦν κωλύσαι εἰσαγαγεῖν; ἦδιά τι ἐπὶ 6
ξήτοῖς αὐτὸν εἰσήγαγε, τῆ νόμῳ κελεύοντος ἅπαντας τὲς γνησίως, ἰσομοίρες εἶναι τῶν πατρώων; ἢ διά τι τὸν μὲν πρεσβύτερον τοῖν παίδοιν ἐπὶ ξήτοῖς εἰσήγαγε, τῆ δὲ νεωτέρᾳ, ἤδη γεγονότος, ἐδὲ λόγον ἐποιεῖτο ζῶντος Φιλοκτήμονος, ἔτε πρὸς αὐτὸν ἐκεῖνον, ἔτε πρὸς τὲς οἰκείως; οὓς σὺ νῦν διαῤῥήδην μεμαρτύρηκας γνησίως 7

(1) Ἀπηνέχθη τὸ κύριον] τὸ βιβλίον ἐν ᾧ τὰ ὀνόματα τῶν κύρων ἐγγράφοντο· ἔστι τὸ ληξιαρχικόν.

εἶναι, ᾗ κληρονόμες τῶν Εὐκτήμονος; ταῦτα τοίνυν ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑ.

1 Θ'. Μετὰ ταῦτα τοίνυν ὁ Φιλοκτήμων τριηραρχῶν περὶ Χῖον ἀποθνήσκει ὑπὸ τῶν πολεμίων. ὁ δ' Εὐκτήμων ὕστερον χρόνῳ πρὸς τὰς δικασὰς εἶπεν, ὅτι βέλοιτο τὰ πρὸς τὸν υἱὸν οἱ πεπραγμένα γράψας καταθέσθαι· ᾗ ὁ μὲν Φανόστρατος ἐκπλεῖν ἔμελλε τριηραρχῶν μετὰ Τιμοθέου, ᾗ ἡ ναῦς αὐτῷ ἐξώρμει Μυνιχίᾳ, ᾗ ὁ κηδε-
2 στὴς Χαιρέας παρὼν συναπέστελλεν αὐτόν. ὁ δ' Εὐκτήμων παραλαβών τινας ἦκεν ἔ ἐξώρμει ἡ ναῦς· ᾗ γράψας διαθήκην, ἐφ' οἷς εἰσήγαγε τὸν παῖδα, κατατίθεται μετὰ τούτων παρὰ Πυθοδώρῳ Κηφισιεῖ προσήκοντι αὐτῷ.
3 Καὶ ὅτι μὲν, ὦ ἄνδρες, οὐχ ὡς περὶ γνησίων διέπραττεν Εὐκτήμων, ὁ Ἀνδροκλῆς μεμαρτύρηκε, ᾗ αὐτὸ τὸ ἱκανόν· τοῖς γὰρ φύσει υἱέσιν αὐτῷ ἐδεὶς ἐδὲν ἐν διαθήκῃ γράφει δόσιν ἐδεμίαν, διότι ὁ νόμος αὐτὸς ἀποδίδωσι τῷ υἱεῖ τὰ τοῦ πατρὸς, ᾗ ἐδὲ διαθέσθαι ἐᾷ, ὅτῳ
4 ἂν ὦσι παῖδες γνήσιοι. κειμένου δὲ τοῦ γραμματείου χεδὸν δυ' ἔτη, ᾗ τοῦ Χαιρέου τετελευτηκότος, ὑποπεπτωκότες ἤδη τῇ ἀνθρώπῳ, ᾗ ὁρῶντες ἀπολλύμενον τὸν οἶκον, ᾗ τὸ γῆρας ᾗ τὴν ἄνοιαν τοῦ Εὐτήμονος, ὅτι εἴη
5 αὐτοῖς ἱκανὴ ἀφορμὴ, συνεπιτίθενται. καὶ πρῶτον μὲν πείθουσι τὸν Εὐκτήμονα τὴν μὲν διαθήκην ἀνελεῖν, ὡς ἀ χρησίμην ἔσαν τοῖς παισί· τῆς γὰρ φανερᾶς οὐσίας ἐδένα κύριον ἔσεσθαι, τελευτήσαντος Εὐκτήμονος, ἄλλον, ἢ τὰς θυγατέρας, ᾗ τοὺς ἐκ τούτων γεγονότας.
6 εἰ δὲ ἀποδόμενός τι τῶν ὄντων, ἀργύριον καταλίποι,

(3) Καὶ αὐτὸ τὸ ἱκανὸν] ἀσαφὲς τὸ χωρίον· ὅθεν ὁ μέντις, ᾗ αὐτὸ τοῦτο ἱκανὸν, βάλεται γράφειν· ὁ δὲ, ᾗ αὐτὸ τὸ καινόν· τοῦτέστιν ἡ καινότης τοῦ πράγματος· ὁ δὲ νοῦς ἀπαιτεῖ μᾶλλον, ᾗ αὐτὸ τὸ ἔθος· (4) ὑποπεπτωκότες] οἱ περὶ τὸν Ἀνδροκλέα· (5) τοῖς παισὶ] τοῖς υἱέσι.

τοῦτο βεβαίως ἔξειν αὐτός. ἀκούσας δ' ὁ Εὐκτήμων, εὐθὺς ἀπῄτει τὸν Πυθόδωρον τὸ γραμματεῖον, ᾗ προεκαλέσατο εἰς ἐμφανῶν κατάστασιν· καταστάντος δὲ ἐκείνου πρὸς τὸν ἄρχοντα, ἔλεγεν, ὅτι βέλοιτ' ἀνελέσθαι τὴν διαθήκην. ἐπειδὴ δ' ὁ Πυθόδωρος ἐκείνῳ μὲν ᾗ τῷ Φανοστράτῳ παρόντι ὡμολόγει ἀναιρεῖν, τοῦ δὲ Χαιρέου τοῦ συγκαταθεμένου θυγάτηρ ἦν μία, ἧς ἐπειδὰν κύριος καταστῇ, τότε ἠξίου ἀνελεῖν, ᾗ ὁ ἄρχων ἔτως ἐγίνωσκε, διομολογησάμενος ὁ Εὐκτήμων, ἐναντίον τοῦ ἄρχοντος ᾗ τῶν παρέδρων, ᾗ ποιησάμενος πολλὰς μάρτυρας ὡς ἐκέτ' αὐτῷ κέοιτο ἡ διαθήκη, ᾤχετο ἀπιών. καὶ ἐν 8
πάνυ ὀλίγῳ χρόνῳ, ἅπερ ἕνεκα ἔτοι λῦσαι αὐτὸν ἔπεισαν, ἀποδίδονται ἀγρὸν μὲν Ἀθμονοῖ, πέντε ᾗ ἑβδομήκοντα μνῶν, Ἀντιφάνει. τὸ δ' ἐν Σηραγγείῳ βαλα- 9
νεῖον, τριχιλίων, Ἀριστολόχῳ· οἰκίαν δὲ ἐν ἄστει, τεττάρων ᾗ τεσσαράκοντα μνῶν ὑποκειμένην, ἀπέλυσε τῷ ἱεροφάντῃ. ἔτι δὲ αἶγας ἀπέδοτο σὺν τῷ αἰπόλῳ, τριῶν 10
ᾗ δέκα μνῶν, ᾗ ζεύγη δύο ὀρικά· τὸ μὲν, ὀκτὼ μνῶν. τὸ δὲ, πεντήκοντα ᾗ πεντακοσίων δραχμῶν. ᾗ δημιουργὸς, ὅσοι ἦσαν αὐτῷ. σύμπαντα δὲ πλείονος ἢ τριῶν 11
ταλάντων· ἃ ἐπράθη διὰ ταχέων πάνυ τελευτήσαντος Φιλοκτήμονος. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, καθ' ἕκαστον 12
ὑμῖν τῶν εἰρημένων, πρῶτον καλῶ τὰς μάρτυρας.

ι. Ταῦτα μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε. περὶ δὲ τῶν 1
ὑπολοίπων εὐθὺς ἐπεβούλευον· ᾗ πάντων δεινότατον πρᾶγμα κατεσκεύασαν, ᾧ ἄξιόν ἐστι προσέχειν τὸν νοῦν. ὁρῶν- 2

(6) εἰς ἐμφανῶν κατάστασιν] σκοτεινόν· ὧδε Δημοσθένην ἐν τῷ πρὸς Νικόστρατον, ε'. 3. οὕτω δὲ ᾗ Διονύσιος Ἀλ. ἐν βίῳ Γαΐᾳ· (σελ. 13) προσκαλεῖται τὸν ἔχοντα τἀφανῆ χρήματα εἰς ἐμφανῆ κατάστασιν· (6) καταστάντος δὲ ἐκείνου] τοῦ Πυθοδώρου πρὸς τὸν ἄρχοντα, ἔλεγεν ὁ Εὐκτήμων· (7) κύριος] ἢ ἀνὴρ, ἢ πατὴρ, ἢ ἀδελφός· ἦν γὰρ ἡ θυγάτηρ ἀπροσάτευτος ἔτι· (9) ὑποκειμένην] ὑποθήκην οὖσαν· (12) καλῶ τὰς μάρτυρας] ἔτω δὲ μετὰ τοῦτο· Μάρτυρες.

τες γὰρ τὸν Εὐκτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως, καὶ ἐδὲ τῆς κλίνης ἀνίσασθαι δυνάμενον, ἐσκόπεν ὅπως
3 τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία. καὶ τί ποιοῦσιν; ἀπογράφεσι τῷ παίδε τούτῳ πρὸς τὸν ἄρχοντα, ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος ἥβσι τοῖς τετελευτηκόσιν, ἐπιγράψαντες σφᾶς αὐτὲς ἐπιτρόπες, καὶ μισθὸν ἐκέλευον τὸν ἄρχοντα τὲς οἴκες ὡς ὀρφανῶν ὄντων, ὅπως
4 ἐπὶ τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ, ἀποτιμήματα καταξαθείη· καὶ ὅροι τεθεῖεν, καὶ ζῶντος ἔτι τοῦ Εὐκτήμονος μισθωταὶ δι' αὐτοῦ γενόμενοι
5 τὰς προσόδες λαμβάνοιεν. καὶ ἐπειδὴ πρῶτον τὰ δικαςήρια ἐπληρώθη, ὁ μὲν ἄρχων προεκήρυττεν, οἱ δ' ἐμισθοῦντο. παραγενόμενοι δέ τινες ἐξαγγέλλεσι τοῖς οἰκείοις τὴν ἐπιβελήν· καὶ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα
6 τοῖς δικαξαῖς. καὶ ἕτως ἀπεχειροτόνησαν οἱ δικαξαὶ μὴ
7 μισθοῦν τὲς οἴκες. εἰ δ' ἔλαθεν, ἀπολώλει ἂν ἅπασα ἡ οὐσία· καί μοι κάλει τὲς παραγενομένες μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

1 ιά. Πρὶν μὲν τοίνυν τέτες γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβελεῦσαι Εὐκτήμονι, ἕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ ἡέως Φιλοκτήμονος, ὥσε ἅματε τὰ μέγισα ὑμῖν λειτργεῖν ἀμφοτέρες, τῶν τε ἀρχαίων μηδὲν πραθῆναι, τῶν τε προσόδων περιποιεῖν,
2 ὥσε ἀεί τι προσκτᾶσθαι. ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, ἕτω διετέθη ἡ οὐσία, ὥσε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα εἶναι λοιπὰ, καὶ τὰς προσόδες ἁπάσας ἠφανίσθαι.
3 καὶ οὐδὲ ταῦτα ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ' ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης, ὥσ' ἐκείνε κειμένε ἔνδον, τὲς μὲν οἰκέτας ἐφύλαττον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε ταῖν θυγατέροιν, μήτε τῇ γυναικὶ αὐτοῦ, μήτε τῶν οἰκείων μηδε-

νί. τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀν- 4
θρώπε εἰς τὴν ὁμότοιχον οἰκίαν, ἣν ὤκει μεμισθωμένος εἰς τέτων, Ἀντίδωρος ἐκεῖνος. καὶ οὐδ' ἐπειδὴ ἑτέρων 5
πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνὴ οὐδὲ τότε ἦφιεν εἰσιέναι· ἀλλ' ἀπέκλεισαν τὴν θύραν, φάσκοντες ἐ προσήκειν αὐταῖς ἅπτειν Εὐκτήμονα. καὶ οὐδ' εἰσελθεῖν ἐδύναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίε δυσμάς. εἰσελ- 6
θοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, (ὡς ἔφασαν οἱ οἰκέται) τὰ δ' ἐκ τῆς οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τέτων. αἱ μὲν οὖν γυναῖκες, οἷον 7
εἰκὸς, περὶ τὸν τετελευτηκότα ἦσαν· ἕτοι δὲ τοῖς ἀκολεθήσασι παραχρῆμα ἐπεδείκνυσαν τὰ ἔνδον ὡς εἶχε· καὶ τὲς οἰκέτας τρῶτον ἠρώτων ἐναντίον τέτων, ὅποι τετραμμένα εἴη τὰ χρήματα. λεγόντων δὲ ἐκείνων, ὅτι 8
ἕτοι ἐξενηνοχότες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ ἀξιόντων παραχρῆμα τῶνδε φορᾶν κατὰ τὸν νόμον, καὶ τὲς οἰκέτας ἐξετέντων τὲς ἐκφορήσαντας, ἐκ ἠθέλησαν τῶν δικαίων οὐδὲν ποιῆσαι. καὶ ὅτι ἀληθῆ λέγω, λάβε ταυτί, καὶ ἀνάγνωθι.

ιβ'. Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκ- 1
φορήσαντες, τοσαύτης δ' οὐσίας πεπραμένης τὴν τιμὴν ἔχοντες, ἔτι δὲ τὰς προσόδας τὰς ἐν ἐκείνῳ τῷ χρόνῳ γενομένας διαφορήσαντες, οἴονται καὶ τοῦ λοιποῦ κύριοι γενήσεσθαι· καὶ εἰς τοῦτο ἀναιδείας ἥκεσιν, ὥσ' εὐθυδικίᾳ μὲν οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ διεμαρτύρθν ὡς ἐπὶ γνησίοις, ἅμα μὲν τὰ ψευδῆ, ἅμα δὲ τὰ ἐναντία, οἷς αὐτοὶ ἔπραξαν. οἵτινες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγρα- 2
ψαν αὐτὲς, ὡς ὄντας, τὸν μὲν, Φιλοκτήμονος, τὸν δ' Ἐργαμένες· νῦν δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. καίτοι οὐδ' εἰ γνήσιοι ἦσαν, εἰσποίητοι δὲ, ὡς ἕτοι 3

(3) Καίτοι οὐδ' εἰ γνήσιοι ἦσαν] ἄμεινόν μοι δοκεῖ γράφειν· καίτοι οὐδ'

ἔφασαν, ὐδ' ἕτω προσῆκεν αὐτὲς Εὐκτήμονος εἶναι· ὁ γὰρ νόμος ὐκ ἐᾷ ἐπανιέναι, ἐὰν μὴ ὑὸν καταλίπῃ γνήσιον. ὥσε ϗ ἐξ ὧν αὐτοὶ ἔπραξαν, ἀνάγκη τὴν μαρτυρίαν ψευδῆ εἶναι· ϗ εἰ μὲν τότε διεπράξαντο μισθωθῆναι τὲς οἴκους, ὐκ ἂν ἔτι ἦν τοῖσδε ἀμφισβητῆσαι. νῦν δὲ ἀποχειροτονησάντων τῶν δικαςῶν, ὡς ὐδὲν αὐτοῖς προσῆκεν, ὐδὲ ἀμφισβητῆσαι τετολμήκασιν. ἀλλὰ, πρὲς ὑπερβολὴν ἀναιςχυντίας προσμεμαρτυρήκασι τέτες εἶναι κληρονόμες, ἓς ὑμεῖς ἀπεχειροτονήσατε. Ἔτι δὲ ϗ τῆ μάρτυρος αὐτῆ σκέψαθε τὴν τόλμαν ϗ ἀναίδειαν, ὅσις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος, ὡς ὔσης ἐπικλήρε, ϗ αὐτῆ τῆ κλήρε τῆ Εὐκτήμονος πέμπτε μέρες ὡς ἐπιδίκε ὄντος. μεμαρτύρηκε δ' Εὐκτήμονος ὑὸν εἶναι γνήσιον. καίτοι πῶς ἔτος ὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; οὐ γὰρ δήπε, γνησίε ὄντος ὑέος Εὐκτήμονι, ἐπίκληρος ἂν εἴη ἡ θυγάτηρ αὐτῆ, ὐδὲ ὁ κλῆρος ἐπίδικος· ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ιγ'. Τἐναντίον τοίνυν συμβέβηκεν, ἢ ὡς ὁ νόμος γέγραπται· ἐκεῖ μὲν γάρ ἐςι, νόθῳ μηδὲ νόθῃ εἶναι ἀγχιςείαν μήθ' ἱερῶν μήθ' ὁσίων, ἀπ' Εὐκλείδε ἄρχοντος. Ἀνδροκλείδης δὲ ϗ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας, ϗ τὲς ἐκ τέτων γεγονότας, τόντε Εὐκτήμονος οἶκον ϗ τὸν Φιλοκτήμονος ἔχειν· ϗ ἡ διαφθείρασα τὴν Εὐκτήμονος γνώμην, ϗ πολλῶν ἐγκρατὴς γενομένη, ἕτως ὑβρίζει σφόδρα πιςεύσα τέτοις, ὥσε ὐ μόνον τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ ϗ τῆς πόλεως ἁπάσης. ἀκέσαντες δὲ ἓν μόνον σημεῖον, ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. καίμοι λάβε τὸν τόνον τοῦτον τὸν νόμον. ΝΟΜΟΣ.

ιδ'. Ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς ἕτω σεμνὰ ϗ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλῦ ποιέμενοι ϗ πρὸς ταῦτα ϗ πρὸς τὲς ἄλλες θεὲς εὐσεβεῖν. ἡ δὲ τέτων μήτηρ, ἕτως ὁμολογεμένη ἕσα δέλη, ϗ ἅπαντα τὸν χρόνον αἰσχρῶς βιῶσα, ἦν ὐδὲ παρελθεῖν εἴσω τῦ ἱερῦ ἔδει, ὐδ' ἰδεῖν τῶν ἔνδον ὐδὲν, ὅσης τῆς θυσίας ταύταις ταῖς θεαῖς, ἐτόλμησε συμπέμψαι τὴν πομπὴν, ϗ εἰσελθεῖν εἰς τὸ ἱερὸν, ϗ ἰδεῖν, ἃ ὐκ ἐξὸν αὐτῆ. ὡς δὲ ἀληθῆ λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε, ἃ ἐψηφίσατο ἡ βελὴ περὶ αὐτῆς· λάβε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

ιέ. Ἐνθυμεῖσθαι τοίνυν χρὴ, ὦ ἄνδρες, πότερον δεῖ τὸν ἐκ ταύτης τῶν Φιλοκτήμονος εἶναι κληρονόμον, ϗ ἐπὶ τὰ μνήματα ἰέναι χεόμενον ϗ ἐναγιῖντα, ἢ τὸν ἐκ τῆς ἀδελφῆς τῦτον, ὃν ὑὸν αὐτὸς ἐποιήσατο; καὶ πότερον δεῖ τὴν ἀδελφὴν Φιλοκτήμονος, ἢ Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τέτοις γενέσθαι, ἢ ἐκδῦναι ὅτῳ βάλωνται, ἢ ἐᾶν καταγηράσκειν, ἢ γνησίαν ἕσαν ὑφ' ὑμῶν ἐπιδικασθεῖσαν συνοικεῖν, ὅτῳ ἂν ὑμῖν δοκῇ; ἡ γὰρ ψῆ-

εἰ γνήσιοι ἦσαν (οἱ Εὐκτήμονος) ὐκ εἰσποίητοι δὲ, ὡς ὅτοι ϗ τλ. ἢ διαλυτέον τὴν συνθήκην μᾶλλον ὠδί· καίτοι ὐδ' ἕτω προσῆκεν αὐτὲς Εὐκτήμονος εἶναι, ϗ εἰ ἦσαν γνήσιοι μὲν, εἰσποίητοι δὲ, ὡς ὅτοι ἔφασαν εἶναι αὐτὰς ϗ γνησίας ϗ εἰσποιητὰς· ὁ γὰρ νόμος ὐκ ἐᾷ (τινὰ) ἐπανιέναι ἐὰν μὴ ὑὸν (ὁ ἐπανιὼν) γνήσιον καταλίπῃ. (β) τῆς θυγατρὸς τῆς Εὐκτήμονος] ἣν ἔσχεν Χαιρέας εἰς γυναῖκα· ἴδε κατωτέρω· ις', 5. ἐπίτροπος γὰρ ἦν ϗ συγγενὴς· ἴδε κἂν τῷ λεξικῷ ἐπανιέναι.

(1) Πρὸς ταῦτα] τὰ θεὰ δηλονότι, Δήμητραν ϗ Περσεφόνην, περιεχομένας ἐν τῷ ἀναγνωσθέντι νόμῳ· ἕτω Reiskius νοήσας, ἔγραψεν, ταύτα, ἀντὶ τῦ, ταῦτα, ὡς ϗ ἐκ τῶν ἑπομένων συνάγεται.

(1) Τὸν ἐκ τῆς ἀδελφῆς τέτον] τὸν Χαιρέστρατον. (α) Ἐπὶ τέτοις γενέσθαι] ἐπὶ τῇ ἐξυπίᾳ αὐτῶν ὥστε ἐκδῦναι αὐτὴν ὅτῳ (ἀνδρὶ ἀναξίῳ ἑαυτῆς) βάλωνται· ἢ ἐᾶν (αὐτὴν ἄγαμον ἄλως) καταγηράσκειν· ἢ τὸ δεύτερον,

φός ἐσι περὶ τέτων νυνί· τετὶ γὰρ αὐτοῖς ἡ διαμαρτυρία
4 δύναται, ἵν' ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τέτων· οὗτοι
δὲ, κἂν νῦν διαμάρτωσι τῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος
ἐπίδικος εἶναι, ἀντιγραψάμενοι, δὶς περὶ τῶν αὐτῶν
ἀγωνίζωνται. καί τοι εἰ μὲν διέθετο Φιλοκτήμων, μὴ
ἐξὸν αὐτῷ, τῦτ' αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς ἐ κύριος
5 ἦν τῦδε ποιήσαθαι. εἰ δ' ἔξεσι μὲν διαθέσθαι, ἀμφισ-
βητεῖ δὲ, ὡς ἐ δόντος, ἐδὲ διαθεμένε, μὴ διαμαρτυ-
6 ρίᾳ κωλύειν, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι. νῦν δὲ πῶς ἄν
τις περιφανέσερον ἐξελεγχθείη τὰ ψευδῆ μεμαρτυρηκὼς,
ἢ εἴ τις αὐτὸν ἔροιτο. Ἀνδρόκλεις, πῶς οἶθα Φιλοκτή-
μων, ὅτι ἔτε διέθετο, ἔτε ὑὸν Χαιρέσρατον ἐποιήσατο;
7 οἷς μὲν γάρ τις παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρ-
τυρεῖν· οἷς δὲ μὴ παρεγένετο, ἀλλ' ἤκεσέ τινος, ἀκοὴν
8 μαρτυρεῖν. σὺ δ' ἐ παραγενόμενος, διαῤῥήδην μεμαρτύ-
ρηκας ὡς ἐ διέθετο Φιλοκτήμων, ἀλλ' ἅπαις ἐτελεύτησε.

1 ις'. Καίτοι πῶς οἰόν τε εἰδέναι, ὦ ἄνδρες; ὅμοιον
γὰρ, ὥσπερ εἰ φαίη εἰδέναι, ᾧ μὴ παραγενόμενος, ὅσα
ὑμεῖς πάντες πράττετε. ἐ γὰρ δὴ τῦτό γε ἐρεῖ, (καίπερ
ἀναίσχυντος ὤν) ὡς ἅπασι παρεγένετο, ᾧ πάντ' οἶδεν,
2 ὅσα Φιλοκτήμων ἐν τῷ βίῳ διεπράξατο. πάντων γὰρ
αὐτὸν ἐκεῖνος ἔχθισον ἐνόμιζε, διά τε τὴν ἄλλην πονη-
ρίαν, ᾧ διότι τῶν συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς
ἐκείνης τέτῳ ᾧ τοῖς ἄλλοις συνεπιβελεύσας τοῖς τῦ Εὐκ-
τήμονος χρήμασι, τοιαῦτα διεπράξατο, οἷά περ ὑμῖν ἀ-
3 πέδειξα. πάντων δὲ μάλισα ἀγανακτῆσαι ἐσὶν ἄξιον,

γνησίαν ἅσαν ᾧ τλ. (3) Τοῖς δὲ μὲν] τοῖς περὶ τὸν φιλοκτήμονα. (4) Οὗτοι δὲ] οἱ ἐναντίοι οἱ περὶ τὴν Ἀλκην. (5) Κύριος ἦν τῦτο ποιήσαθαι] ἄμεινον, τόνδε· ἵνα ᾖ, κύριος ἦν τῦ τόνδε (τὸν Χαιρέσρατον ὑὸν) ποιήσασθαι. (6) Πῶς οἶθα Φιλοκτήμων, ὅτι.] πῶς οἶδα, ὅτι ὁ Φιλοκτήμων. (7) Ἀκοὴν μαρτυρεῖν] τῦτο μόνον, ὅτι ἤκεσεν, ἵν' ᾖ ἀμφίβολον ἔτι· ἀλλ' ἀχ ὡς ἰδών.

ὅταν ἔτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι τῷ τῦδε
πάππῳ· εἰ γὰρ, ὡς ἔτοι λέγεσι, τῷ μὲν Φιλοκτήμονι
μὴ ἐξὴν διαθέσθαι, τῦ δ' Εὐκτήμονος ἐσὶν ὁ κλῆρος, πό-
τερον δικαιότερον τῶν Εὐκτήμονος κληρονομεῖν τὰς ἐκείνε
θυγατέρας, ὁμολογεμένας ἔσας γνησίας, ᾧ ἡμᾶς τὸς
ἐκ τέτων γεγονότας, ἢ τὸς ἐδὲν προσήκοντας; οἳ ἐ 4
μόνον ἐξ ἡμῶν ἐλέγχονται, ἀλλὰ ᾧ ἐξ ὧν αὐτοὶ οἱ ἐπί-
τροποι διαπεπραγμένοι εἰσί. τῦτο γὰρ ὑμῶν δέομαι ᾧ 5
ἱκετεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες, ὅπερ ὀλίγῳ πρό-
τερον ἀπέδειξα ὑμῖν· ὅτι ὁ Λ'νδροκλῆς ἑτοσὶ φησὶ μὲν
εἶναι ἐπίτροπος αὐτῶν, ὡς ὄντων γνησίων Εὐκτήμονος,
εἵληχε δ' αὐτοῖς ἐφ' ἑαυτῷ τῦ Εὐκτήμονος κλήρε· καὶ
ταῦτα μεμαρτύρηται ὑμῖν.

ιζ'. Καί τοι πῶς ἐ δεινὸν, ὦ ἄνδρες, πρὸς θεῶν Ο- 1
λυμπίων, εἰ μὲν οἱ παῖδες εἰσὶ γνήσιοι, τὸν ἐπίτροπον
ἑαυτῷ λαγχάνειν τῦ Εὐκτήμονος κλήρε, ᾧ τῆς θυγα-
τρὸς αὐτῦ, ὡς ἔσης ἐπιδίκε· εἰ δὲ μή εἰσι γνήσιοι, νῦν
διαμεμαρτυρηκέναι ὡς εἰσὶ γνήσιοι; ταῦτα γὰρ αὐτὰ 2
ἑαυτοῖς ἐναντία εἰσίν· ὥσ' ἐ μόνον ὑφ' ἡμῶν ἐλέγχεται
τὰ ψευδῆ διαμεμαρτυρηκὼς, ἀλλὰ ᾧ ἐξ ὧν αὐτὸς πραττ-
τει· ᾧ τέτῳ μὲν ἐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι τὸν
κλῆρον, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι. οὗτος δ' ἅπαντας ἀπο- 3
σερεῖ τῆς ἀμφισβητήσεως· ᾧ διαῤῥήδην μαρτυρήσας τὲς
παῖδας γνησίας εἶναι, οἴεται ἐξαρκέσειν ὑμῖν παρεκβά-
σεις· ἐὰν δὲ τῦτο μὲν μὴ ἐγχειρήσῃ ἐπιδεικνύναι, ἢ κα-
τὰ μικρόν τι ἐπιμνηθῇ, ἡμῖν δὲ λοιδορήσηται μεγάλῃ
τῇ φωνῇ, ᾧ λέγῃ, ὡς εἰσὶν οἵδε μὲν πλέσιοι, αὐτὸς
δὲ πένης, διὰ δὴ ταῦτα δόξειν τὰς παῖδας εἶναι γνησίας.

(2) Καὶ τέτῳ μὲν ἐδεὶς διαμαρτυρεῖ] τέτῳ τῷ Χαιρεσράτῳ. (3) Παρεκβάσεις] ποιεῖν, λέγειν, συνείρειν, ᾗ τοιῦτο ἀλλείπειν δοκεῖ. (3) Διὰ δὴ ταῦτα] ἔτρεψα τὸ, Δὲ, εἰς τὸ, Δή· ἵν' ἔχῃ ἐξαρτᾶσθαι τὸ, δόξειν, ἀνα-

4 τῆς δὲ τέτων οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω
ἀναλίσκεται, ἢ εἰς αὐτὸς τέτες· καὶ Φανόστρατος μὲν τε-
τριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτεργίας ἁπάσας
5 λελειτέργηκε, καὶ τὰς πλείστας νίκας νενίκηκεν. οὗτοσὶ
δὲ Χαιρέστρατος τηλικῦτος ὢν τετριηράρχηκε, κεχορή-
γηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· καὶ
τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας ἐν τοῖς τρια-
6 κοσίοις. καὶ τέως μὲν δύο ὄντες, νῦν δὲ καὶ ὁ νεώτερος
ἑτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τὲς τριακοσίες
ἐγγέγραπται, καὶ εἰσφέρει τὰς εἰσφοράς· ὥσ' ἐ φθονεῖ-
σθαι εἰσὶν ἄξιοι, ἀλλὰ πολὺ μᾶλλον, νὴ τὸν Δία καὶ τὸν
7 Λ'πόλλω, ἔτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. τῦ
γὰρ Φιλοκτήμονος κλήρε, ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν
αὐτὸν ταμιεύσει, τὰ προσαττόμενα λειτεργῶν, ὥσπερ
καὶ νῦν, καὶ ἔτι μᾶλλον· ἐὰν δ' ἕτοι λάβωσι, διαφορήσαν-
τες, ἑτέροις ἐπιβελεύσεσι.

1 ιή. Δέομαι ἓν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆ-
τε, τῇ διαμαρτυρίᾳ τὸν νῦν προσέχειν, περὶ ἧς τὴν ψῆ-
2 φον οἴσετε. καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπο-
λογίαν ποιεῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν· γέ-
3 γραπται ὡς ἐκ ἔδωκεν, ἐδὲ διέθετο Φιλοκτήμων. τῦτο
ἐπιδέδεικται ψεῦδος ὄν· καὶ γὰρ ὁ δὺς καὶ ὁ διαθέμενος,
καὶ μαρτυρῦσιν οἱ παραγενόμενοι· τί ἔτι; τελευτήσαι ἅπαι-
4 δα Φιλοκτήμονα. πῶς ἓν ἂν αἴσιμός τις τὸν ἑαυτῦ ἀδελ-

θεν ἀπὸ τῦ, εἴρεται. (4) Τὰς πλείστας νίκας] ἐν ταῖς φιλοτιμίαις καὶ χορη-
γίαις. (5) Λαμπάδι.] ἴδε Α'ρριανὸν ἱστ. Α'λεξ. βιβλ. Β'. ε', 10. καὶ κδ'.
10. καὶ Γ'. ιε', 15. ἐμῇ ἐκδόσει. (6) Ὁ νεώτερος] ὑὸς Φαινεστράτε· περὶ
δὲ τῶν τριακοσίων τῶν πλουσιωτάτων ἴδε Δημοσθένην ἐν Λεξικῷ. (6) Οὗτοι]
οἱ περὶ τὸν Α'νδροκλέα. (7) Ὅδε] Χαιρέστρατος.

(2) Αὐτὸν κελεύετε] τὸν Α'νδροκλέα. (3) Ὁ δὺς καὶ ὁ διαθέμενος] δέ-
δεικται ὁ Φιλοκτήμων· ὅ ἐστιν, ἐπιδέδεικται παρ' ἡμῶν, ὅτι ὁ Φιλοκτή-
μων ἔδωκε τὰ ἑαυτῦ Χαιρεστράτῳ· ἢ ἀποδοτέον εἰς τὸ μαρτυρῆσι καὶ τῦτο,
(3) Τ' ἔτι;] γέγραπται ἐν τῇ Α'νδροκλέες μαρτυρίᾳ; (4) Πῶς ἓν ἂν αἴ-

φιδῦν ὃν ποιησάμενος κατέλιπεν; ᾧ ὁμοίως ὁ νόμος τὴν
κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐξ αὐτῦ γινομένοις; καὶ
διαῤῥήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖ-
δες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς οὐσίας,
καὶ κληρονομεῖν ὁμοίως ἀμφοτέρες. ὡς ἓν εἰσὶ γνήσιοι οἱ 5
παῖδες οἵδε, τῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν
ἕκαστος· ὃ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, γνήσιός ἐστιν,
ἀλλ' ὃς ἀληθῆ λέγει, τὲς συγγενεῖς παρεχόμενος, τὲς
εἰδότας συνοικῦσαν τῷ Εὐκτήμονι, τὲς δημότας καὶ τὲς
φράτορας, εἴτι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς
Εὐκτήμονα λειτεργήσαντα. ἔτι δὲ πῦ τέθαπται, ἐν 6
ποίοις μνήμασι· τὶς οἶδε τὰ νομιζόμενα ποιῦντα Εὐκτή-
μονα· πᾶδ' ἔτι ὄντες οἱ παῖδες ἐναγίζσι καὶ χέονται· καὶ
τὶς οἶδε ταῦτα τῶν πολιτῶν, ἢ τῶν οἰκετῶν Εὐκτήμονος·
ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, καὶ ὁ λοιδορία καὶ ἐὰν
περὶ αὐτῦ τῦτο κελεύητε ἐπιδεικνύναι, ὥσπερ καὶ διεμαρ-
τύρησεν, ὑμεῖς τε τὴν ψῆφον ὁσίαν κατὰ τὲς νόμες θή-
σεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται.

σιμος] ἔμοιγε δοκεῖ γραπτέον εἶναι, αἰσιμώτερον· ἢ μᾶλλον αἰσίμως. (4) Ὁ-
μοίως] ὅτως αἰσίμως ἐποιήσατο αὐτὸν υἱόν, ὥστε ὁ νόμος δίδωσιν αὐτῷ τὴν
κληρονομίαν, ὡς καὶ τοῖς φύσει παισί.. (4) Ἑκάτερον] ὅτε εἰσποίητος καὶ ὁ
μετὰ τῦτον γεννηθεὶς γνήσιος. (5) Οἱ παῖδες οἵδε] οἱ ἐκ τῆς Α'λκης ἐρχό-
μενοι ἤδη εἰς τὸν κλῆρον. (5) Ὑμῶν ἕκαστος] δεικνύετε ἑαυτύς· ὡς ἐν
τοῖς ἑξῆς. (5) Τὲς συγγενεῖς μάρτυρας παρεχόμενος. (6) Πῦ τέθαπται]
ἡ μήτηρ· νοεῖ δὲ τὴν Καλλίππην (ἀνωτέρω δ', 3.), ἃ τὴν Α'λκὴν λέγει.
(6) Περὶ αὐτῦ τῦτο] ὅτως ἔγραψα ἀντὶ τῦ, περὶ αὐτῦ τῦτο, ἵνα ᾖ, ἐὰν
κελεύητε τῦτο (τῷ Α'νδροκλεῖ) ἐπιδεικνύναι περὶ τῦτο, ὥσπερ καὶ διεμαρτύ-
ρησε (ἀντὶ τῦ ὅπερ διεμαρτύρησεν.)

4 τῆς δὲ τέτων ἐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω
ἀναλίσκεται, ἢ εἰς αὐτὲς τέτες· ϗ Φανόστρατος μὲν τε-
τριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτεργίας ἁπάσας
5 λελειτέργηκε, ϗ τὰς πλείστας νίκας νενίκηκεν. οὗτοσὶ
δὲ Χαιρέστρατος τηλικῦτος ὢν τετριηράρχηκε, κεχορή-
γηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· ϗ
τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας ἐν τοῖς τρια-
6 κοσίοις. καὶ τέως μὲν δύο ὄντες, νῦν δὲ ϗ ὁ νεώτερος
ἐτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τὲς τριακοσίους
ἐγγέγραπται, ϗ εἰσφέρει τὰς εἰσφοράς· ὥσ' ἐ φθονεῖ-
σθαι εἰσὶν ἄξιοι, ἀλλὰ πολὺ μᾶλλον, νὴ τὸν Δία ϗ τὸν
7 Λ'πόλλω, ἔτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. τῦ
γὰρ Φιλοκτήμονος κλήρε, ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν
αὐτὸν ταμιεύσει, τὰ προσαττόμενα λειτεργῶν, ὥσπερ
ϗ νῦν, ϗ ἔτι μᾶλλον· ἐὰν δ' ἕτοι λάβωσι, διαφορήσαν-
τες, ἑτέροις ἐπιβελεύσεσι.

1 ιή. Δέομαι ἓν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆ-
τε, τῇ διαμαρτυρίᾳ τὸν νῦν προσέχειν, περὶ ἧς τὴν ψῆ-
2 φον οἴσετε. καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπο-
λογίαν ποιεῖσθαι, ὥσπερ ϗ ἡμεῖς κατηγορήσαμεν· γέ-
3 γραπται ὡς ἐκ ἔδωκεν, ἐδὲ διέθετο Φιλοκτήμων. τῦτο
ἐπιδέδεικται ψεῦδος ὄν· ϗ γὰρ ὁ δὺς ϗ ὁ διαθέμενος,
ϗ μαρτυρῦσιν οἱ παραγενόμενοι· τί ἔτι; τελευτήσαι ἄπαι-
4 δα Φιλοκτήμονα. πῶς ἓν ἄν αἴσιμός τις τὸν ἑαυτῦ ἀδελ-

θεν ἀπὸ τῦ, εἴρεται. (4) Τὰς πλείστας νίκας] ἐν ταῖς φιλοτιμίαις ϗ χορη-
γίαις. (5) Λαμπάδι.] ἴδε Α'ρριανὸν ἱστ. Α'λεξ. βιβλ. Β'. ε', 10. ϗ κδ'.
10. ϗ Γ'. ιε', 15. ἐμῇ ἐκδόσει. (6) Ο' νεώτερος] ὑὸς Φαινεστράτυ· περὶ
δὲ τῶν τριακοσίων τῶν πλυσιωτάτων ἴδε Δημοσθένην ἐν Λεξικῷ. (6) Οὗτοι]
οἱ περὶ τὸν Α'νδροκλέα. (7) Ο'δε] Χαιρέστρατος.

(2) Αὐτὸν κελεύετε] τὸν Α'νδροκλέα. (3) Ο' δὺς ϗ ὁ διαθέμενος] δέ-
δειχται ὁ Φιλοκτήμων· ὅ ἐστιν, ἐπιδέδεικται παρ' ἡμῶν, ὅτι ὁ Φιλοκτή-
μων ἔδωκε τὰ ἑαυτῦ Χαιρεστράτῳ· ἢ ἀποδοτέον εἰς τὸ μαρτυρῆσαι ϗ τῦτο,
(3) Τ' ἔτι;] γέγραπται ἐν τῇ Α'νδροκλέυς μαρτυρίᾳ; (4) Πῶς ἓν ἄν αἴ-

φιδὲν ἡὸν ποιησάμενος κατέλιπεν; ᾧ ὁμοίως ὁ νόμος τὴν
κληρονομίαν ἀποδίδωσι ϗ τοῖς ἐξ αὐτῦ γινομένοις; καὶ
διαῤῥήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖ-
δες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς ἐσίας,
ϗ κληρονομεῖν ὁμοίως ἀμφοτέρυς. ὡς ἓν εἰσὶ γνήσιοι οἱ 5
παῖδες οἵδε, τῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν
ἕκαστος· ὃ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, γνήσιός ἐστιν,
ἀλλ' ὃς ἀληθῆ λέγει, τὺς συγγενεῖς παρεχόμενος, τὺς
εἰδότας συνοικῦσαν τῷ Εὐκτήμονι, τὺς δημότας ϗ τὺς
φράτορας, εἴτι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς
Εὐκτήμονα λειτεργήσαντα. ἔτι δὲ πῦ τέθαπται, ἐν 6
ποίοις μνήμασι· τὶς οἶδε τὰ νομιζόμενα ποιῦντα Εὐκτή-
μονα· πῦ δ' ἔτι ὄντες οἱ παῖδες ἐναγίζυσι ϗ χέονται· ϗ
τὶς οἶδε ταῦτα τῶν πολιτῶν, ἢ τῶν οἰκετῶν Εὐκτήμονος·
ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, ϗ ὁ λοιδορία ϗ ἐὰν
περὶ αὐτῦ τύτῳ κελεύητε ἐπιδεικνύναι, ὥσπερ ϗ διεμαρ-
τύρησεν, ὑμεῖς τε τὴν ψῆφον ὁσίαν κατὰ τὺς νόμυς θή-
σεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται.

σιμος] ἔμοιγε δοκεῖ γραπτέον εἶναι, αἰσιμώτερον· ἢ μᾶλλον αἰσίμως. (4) Ο'-
μοίως] ὅτως αἴσιμος ἐποίησατο αὐτὸν ἡὸν, ὥστε ὁ νόμος δίδωσιν αὐτῷ τὴν
κληρονομίαν, ὡς ϗ τοῖς φύσει παισί.. (4) Ε'κάτερον] ὅτε εἰσποίητος ϗ ὁ
μετὰ τῦτον γεννηθεὶς γνήσιος. (5) Οἱ παῖδες οἵδε] οἱ ἐκ τῆς Α'λκης ἐρχό-
μενοι ἤδη εἰς τὸν κλῆρον. (5) Ὑμῶν ἕκαστος] δεικνύετε ἑαυτύς· ὡς ἐν
τοῖς ἑξῆς. (5) Τὺς συγγενεῖς μάρτυρας παρεχόμενος. (6) Πῦ τέθαπται]
ἡ μήτηρ· νοεῖ δὲ τὴν Καλλίππην (ἀνωτέρω δ', 3.), ὃ τὴν Α'λκὴν λέγει.
(6) Περὶ αὐτῦ τύτῳ] ὅτως ἔγραψα ἀντὶ τῦ, περὶ αὐτῦ τύτυ, ἵνα ᾖ, ἐὰν
κελεύητε τύτῳ (τῷ Α'νδροκλεῖ) ἐπιδεικνύναι περὶ τύτυ, ὥσπερ ϗ διεμαρτύ-
ρησε (ἀντὶ τῦ ὅπερ διεμαρτύρησεν.)

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΥΠΕΡ ΤΟΥ

ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων, ἀδελφοὶ γεγόνασι· τούτων ὁ μὲν Μνήσων ἄπαις ἐτελεύτησεν· ὁ δὲ Θράσυλλος, παῖδα καταλιπὼν Ἀπολλόδωρον· μόνος δ' Εὔπολις καταλειφθεὶς, πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν· ὅθεν Ἀρχίδαμος, πάππος τοῦ λέγοντος τὸν λόγον, τῇ τοῦ Ἀπολλοδώρου μητρὶ συνοικῶν, μετὰ τὸν τοῦ Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολλόδωρον ὡς ὀρφανὸν ἐλεῶν, πολλὰ τὸν Εὔπολιν ἀπήτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκησε. τούτων μεμνημένος Ἀπολλόδωρος, εἰσήσαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θράσυλλον τοῦτον, υἱὸν ὄντα τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ Ἀρχιδάμου, τοῦ δὲ Θρασύλλου ἤδη μὲν εἰς τοὺς γενήτας καὶ φράτορας ἐγγεγραμμένου, ὅπω δ' εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐδὲν ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ θείου Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον· λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον εἰς τοὺς φράτορας καὶ γενήτας κατὰ γνώμην τοῦ Ἀπολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν ποίησιν· καὶ ἡ μὲν ὑπόθεσις αὕτη. Ἡ δὲ στάσις στοχασμός· διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν λόγον οἰκονομῶν, τὴν ἐλευθερίαν (ἴσως, ἔχθραν διεξέρχεται,) ἐξέρχεται τὴν Ἀπολλοδώρου πρὸς Εὔπολιν· ὅπερ μέγα σημεῖον γίγνεται τοῦ μὴ θέλειν αὐτὸν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρονομηθῆναι.

ά. Ὤμην μὲν, ὦ ἄνδρες, προσήκειν ἐπὶ τοὺς τοιούτους ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο, καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν, εἰς τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα ἐνέγραψεν, ἅπανθ', ὅσα προσῆκεν, αὐτὸς ποιήσας· ἀλλ' εἴ τις τελευτήσειν μέλλων, διέθετο, εἴτι πάθοι, τὴν οὐσίαν ἑτέρῳ· καὶ ταύτην γράμμασι κατέθετο παρά τισι σημηνάμενος. ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος, φανερὰς κατέλιπε τὰς αὑτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος, ἀδήλους ἐποίησε. διὸ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς, ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς ποιηθέντας. ἔοικε δ' οὐδὲν πρᾶγμα τοῦτο εἶναι. καὶ γὰρ ὅτως αὐτῶν φανερῶς πεπραγμένων, ὅμως ὑπὲρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος ἥκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων πρὸς

1

2

3

4

Ἡ σειρὰ τοῦ γένους αὐτῆ.

ἀδελφοὶ τρεῖς.



Ἡ ὃν πρώτη θυγάτηρ τοῦ Εὐπόλιδος ἀμφισβητεῖ πρὸς Θράσυλλον τὸν τοῦ Ἀρχιδάμου περὶ τῶν τοῦ Ἀπολλοδώρου. (2) γράμμασι] ἄμεινον ἦν, ἐν γράμμασιν· ὡς καὶ κατωτέρω μικρὸν, ἐν διαθήκαις σημηνάμενος, ἀδήλους (τὰς βουλήσεις) ἐποίησε. (4) Οὐδὲν πρᾶγμα] οὐκ οἶδ' ὅπως ἀσυνάρτητόν ἐστι τὸ χωρίον, καὶ σκοτεινόν. τὸ γὰρ, πρᾶγμα, ἐνταῦθα ἀντὶ τοῦ, ὀρθὸν, κύριον, ἀναγκαῖον, ἐκληφθὲν, εὐοδοῦται· οἷον, ἀλλ' ἔοικεν οὐδὲν κύριον τοῦτο (παρὰ τοῖς ἀντιδικαζομένοις) εἶναι· καὶ γὰρ ὅτως αὐτῶν· καὶ τλ. ὁ δὲ Γ' εἰσκης ἐθέλει τρέπειν τὸ, τοῦτο, εἰς τὸ, ταῦτα, πρὸς ὃ ἐναφέροιτο τὸ, αὐτῶν, ἑπομένως· ἀλλ' ἡ ἀπορία ἐστὶν εἰς τὸ, πρᾶγμα, ἔμοιγε, ὁ δὲ ἀριθμὸς

5 ἐμὲ ἀμφισβητήσοντες. ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ τὰς εὐθυδικίας, κἂν μάρτυρας προβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον,
6 ὡς ποιησαμένου με υἱὸν Ἀπολλοδώρου κατὰ τοὺς νόμους· ἐπειδὴ δ' ὁ διαφεύγει τὰ δίκαια μὴ ὁ κατὰ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον, καὶ παρ' ὑμῖν αὐτοῖς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν ἡμῖν αἰτίαν περὶ
7 τοῦ μὴ βέλεσθαι δοῦναι δίκην τοιαύτην ἐπιφέρωσιν. ἀποδείξω δὲ ὡς ὁ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν κλῆρον Ἀπολλόδωρος ὁ καταλέλοιπε, πολλὰ καὶ δεινὰ ὑπὸ τούτου ἀδικηθείς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως, ὄντα ἀ-
8 δελφιδοῦν, καὶ μέγα εὐεργετημένος ὑφ' ἡμῶν. δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως, εὔνοιά τέ μοι παραγενέσθαι, κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτὸς ἰόντας ἐξελέγ-
9 χω, βοηθεῖν μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν κἀγὼ δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ γενόμενα διδάσκων ὑμᾶς.

1 β'. Εὔπολις γάρ, ὦ ἄνδρες, καὶ Θράσυλλος, καὶ Μνήσων, ἀδελφοὶ ἦσαν ὁμομήτριοι καὶ ὁμοπάτριοι· τούτοις οὐσίαν ὁ πατὴρ κατέλιπε πολλήν, ὥστε καὶ λειτουργεῖν ἔκαστον ἀξιοῦσθαι παρ' ὑμῖν· ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνείμαντο πρὸς ἀλλήλους· τούτων δύο τελευτησάντων περὶ τὸν αὐτὸν χρόνον, ὁ μὲν Μνήσων ἐνθάδε, ἄγαμος καὶ ἄπαις· ὁ δὲ Θρά-
συλλος, τῶν ἐν Σικελίᾳ καταλεγεὶς, τριηραρχῶν, κατα-

τῶν ἀντωνυμικῶν οὐδὲν πρὸς ἔπος. (6) Ἐπειδὴ δ' ὁ διαφεύγει (ὑμᾶς) τὰ δίκαια] ἐπειδὴ δὲ ὑμεῖς κρίνετε, ὅτι οὕτως ἔχει τὸ δίκαιον· ἢ ἐπειδὴ ἐστι τοῖς πᾶσι γνωσὸν, ὅτι οὕτω γινώσκεται τὸ πρᾶγμα δικαίως, καὶ ὑμεῖς ἀποδέχεσθε μᾶλλον τὰς εὐθυδικίας. (7) Ἐπὶ τοῖς ἐγγυτέτω γένους] δοκεῖ δέπως παρέλκουσα ἡ ἐπὶ· ἕτω ἂν ἐπὶ τῇ ἐξουσίᾳ τῶν ἐγγυτάτω γένους. (7) Ὑπὸ τούτου] τοῦ Εὐπόλιδος· ἄμεινον δὲ, ὑπὸ τούτων. (7) Ὑφ' ἡμῶν] τε ἐμοῦ πατρὸς καὶ μητρός. (8) Κἀγὼ] ὁ, Καὶ, παρέλκειν δοκεῖ· ἢ συνεννοητέον οὕτω· δέομαι βοηθεῖν μοι, καὶ ἐγὼ δὲ ὡς ἂν δύνωμαι καὶ τ.λ.

(1) Τελευτησάντων] γραπτέον, ἐτελεύτησαν· (1) τῶν ἐν Σικελίᾳ κα-

λιπὼν υἱὸν Ἀπολλόδωρον, τὸν ἐμὲ νῦν ποιησάμενον. Εὔ- 2
πολις μὲν οὖν μόνος αὐτῶν λειφθεὶς, ὀλίγα ἀπολαῦσαι τῶν χρημάτων ἠξίωσεν, ἀλλὰ τὸν μὲν Μνήσωνος κλῆρον, οὗ καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς αὐτὸν περιεποίησε, φάσκων αὐτῷ δεῖναι τὸν ἀδελφὸν, αὐτὸν δ' ἐκεῖνον ἕτω διώκησεν ἐπιτροπεύων, ὥστε τριῶν αὐτῷ τα-
λάντων δίκην ὀφείλειν. Ἀρχέδαμος γὰρ ὁ πάππος ὁ ἐμὸς, 3
ἐξ οὗ τὴν μητέρα ἔσχεν τῷ Ἀπολλοδώρῳ, τίθην δὲ ἐμοὶ, ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν, παῖδα ὄντ', ὡς ἑαυτῷ, καὶ τὴν μητέρα κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο, καὶ εἰσέπραξε τὸ ἡμικλήριον, ὧν Μνήσων κατέλιπεν. ὅσά τε ἐκ τῆς ἐπιτρο- 4
πῆς ἀπεισέρησε, δίκας δύο ἑλών, καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὐτῷ πᾶσαν· καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ Ἀπολλόδωρος ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλήλους. ὁ δὲ πάππος οὑμὸς καὶ Ἀπολλόδωρος φιλικῶς, 5
ὥσπερ προσῆκε· τοῖς δ' ἔργοις ἄντις τεκμήραιτο μάλιστα, ὅτι ὧν Ἀπολλόδωρος πέπονθεν εὖ, ἀντευποιεῖν ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας· συμφορᾷ γὰρ τῷ πάππῳ χρησα- 6
μένου, καὶ ληφθέντος εἰς τοὺς πολεμίους, καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ ὁμηρεῦσαι ὑπὲρ αὐτοῦ ἠθέλησεν, ἕως ἐξ εὐπορήσειεν ἐκεῖνος τἀργύριον· ἐξ εὐπόρου τε ἀπορωτέρῳ γεγενημένῳ, συνδιώκει τὰ ἐκείνου, μεταδιδοὺς ὧν εἶχεν· εἰς Κόρινθόν τε στρατεύεσθαι μέλλων, εἴτι πάθοι διέθετο 7
τὴν οὐσίαν, καὶ ἔδωκε τῇ ἐκείνου μὲν θυγατρὶ, ἐμῇ δὲ μητρὶ, αὐτοῦ δὲ ἀδελφῇ δίδοὺς αὐτὴν Λαμπατιδῇ τῷ νῦν ἱεροφάντῃ γεγενημένῳ· τοιοῦτος ἦν ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ 8

ταλεγεὶς] ἐν τῷ καταλόγῳ ὧν τῶν εἰς Σικελίαν στρατευσάντων. (2) αὐτὸν δὲ ἐκεῖνον] τὸν Ἀπολλόδωρον. (3) ἐξ οὗ τὴν μητέρα ἔσχεν] ἔσχεν αὐτὴ τῷ, ἔχων, ἔγραψα· εἰ δὲ μὴ, τρεπτέον τὸ, ἐξ οὗ, εἰς τὸ, ὁ· οἷον, ὁ τὴν μητέρα ἔχων. (4) ἀπεσέρησε] τὸν Ἀπολλόδωρον Εὔπολις. (4) δίκας δύο ἑλών] Ἀπολλόδωρος Εὔπολιν, τὴν τῆς ἐπιτροπῆς καὶ τὰ ἡμικλήρια.

ἀρχῆς αὐτὸν σώσαντας· ὡς δ' ἀληθῆ λέγω, ᾗ δίκας εἶλεν Εὔπολιν δύο, τὴν μέν, ἐπιτροπῆς, τὴν δὲ, ἡμικληρίᾳ, τῷ πάππῳ συνηγωνισμένῳ ᾗ λέγοντος, τά τε χρήματα ἐκομίσατο δι' ἡμᾶς, ᾗ ταύτας τὰς χάριτας ἡμῖν ἀν-
9 ταπέδωκε· τέτων πρῶτον βέλομαι παραχέσθαι τὲς μάρτυρας· ᾗ μοι κάλει δεῦρο αὐτές. ΜΑΡΤΥΡΕΣ.

1 γ'. Αἱ μὲν ἓν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται ᾗ τηλικαῦται τὸ μέγεθός εἰσιν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχθραι περὶ τοσέτων χρημάτων ἦσαν, ἃς ἐχ οἰόντ' εἰπεῖν ὡς διελύσαντο, ᾗ φίλοι ἐγένοντο· μεγάλα γὰρ τεκμήρια αὐτῶν ἐσιν.
2 Εὔπολις γὰρ, δυοῖν θυγατέρων ἐσῶν, ᾗ ἐκ τῶν αὐτῶν γεγονὼς, ᾗ χρήμαθ' ὁρῶν κεκτημένον, ἑδετέραν αὐτῷ
3 τέτων ἔδωκε· καίτοι δοκοῦσιν ἐπιγαμίαι ᾗ μὴ συγγενεῖς ἄνδρας, ἀλλὰ ᾗ τὲς τυχόντας ἀπαλλάττειν μεγάλης διαφορᾶς, ὅταν ἀ περὶ πλείσε ποιῶνται, ταῦτ' ἀλλήλοις ἐγ-
4 χειρίζωσιν· εἶτ' ἓν Εὔπολις γεγένηται αἴτιος, μὴ βελη-θεὶς, εἶτ' Ἀπολόδωρος, λαβεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι διέμειναν, τὸ ἔργον δεδήλωκε· ᾗ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανὲς εἶναι νομίζω, ᾗ τὲς εἰρημένες λό-
5 γες· οἶδα γὰρ, ὅτι ᾗ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύσιν, ὅτι ἐγένοντο ἀντίδικοι· τό, τε γὰρ μέγεθος τῶν δικῶν, ᾗ διότι πολὺ αὐτὸν Ἀρχέδαμος εἶλεν, ἐπιφάνειάν τινα
6 ἐποίησεν· ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς, ᾗ κύριον τῶν αὑτῷ κατέσησε, ᾗ εἰς τὲς γενητὰς ᾗ εἰς τὲς φράτορας ἐνέγραψε, τέτοις ἤδη μοι τὸν νῶν προσέχετε, ὦ ἄνδρες.

(2) Ἐκ τῶν αὐτῶν γεγονὼς] προγόνων τῷ Ἀπολλοδώρῳ. (4) μὴ βουληθεὶς] ἐκδῶναι τὴν θυγατέρα Ἀπολλοδώρῳ. (5) πολὺ αὐτὸν εἶλε] κατὰ τὸ πλεῖσον μέρος τῶν ψήφων νενίκηκεν αὐτόν. (6) εἰς τὲς γενητὰς] ὁ Ἰσαῖός, φησιν Ἁρποκρατίων, ἐν τῷ τῷ Ἀπολλοδώρῳ κλήρῳ τὲς συγγενεῖς γενητὰς ὠνόμασε· ἀλλὰ σύγ' ἔπιθι τὰ ὑποσημειωθέντα μοι ἐν Δημοσθένει· Ἔφεσις πρὸς Εὐβελίδην· ε, 6. καίτοι πανταχῇ ἐν τῷ Δημοσθένει γράφεται διὰ δυοῖν Ν. γεννηταί, ἀλλαχῇ δὲ γενῆται.

δ'. Ἀπολλοδώρῳ γὰρ ἦν υἱὸς, ὃν ἐκεῖνος ᾗ ἤσκει ᾗ δι' 1
ἀπιμελείας εἶχεν, ὥσπερ ᾗ προσῆκον ἦν· ἕως μὲν ἓν ἐκεῖνος ἔζη, διάδοχον τῆς ἐσίας ἤλπιζεν αὐτὸν κατασήσειν τῆς ἑαυτῷ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τῷ ἐξελθόντος 2
ἐνιαυτῷ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς παροῦσιν ἀθυμήσας, ᾗ τὴν ἡλικίαν τὴν ἑαυτῷ καταμεμψάμενος, ἐκ ἐπελάθετο, ὑφ' ὧν ᾗ ἐξαρχῆς εὖ πεπονθὼς ἦν· ἀλλ' ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα, ἑαυτῷ δὲ ἀδελφὴν, ἣν περὶ πλείσε πάντων ἐποιεῖτο, λαβεῖν ἠξίωσέ με υἱὸν, καὶ ἔτυχεν· ἔτω δ' ἐπείθη ταῦτα ποιῆσαι διὰ ταχέων, ὥς' 3
εὐθέως με λαβὼν ᾤχετο ἔχων πρὸς αὐτὸν, ᾗ πάντα τὰ αὑτῷ διοικεῖν παρέδωκεν· ὡς αὐτὸς μὲν ἐδὲν ἂν ἔτι πρᾶξαι τέτων δυνηθεὶς, ἐμῷ δὲ ταῦτα πάντα οἵετε ἐσομένῳ ποιεῖν· ᾗ ἐπειδὴ Θαργήλια ἦν, ἤγαγέ με ἐπὶ τὲς βωμὲς εἰς τὲς 4
γενητάς τε ᾗ φράτορας· ἔσι δ' αὐτοῖς νόμος ὁ αὐτὸς, ἐάν τέτινα φύσει γεγονότα εἰσαγάγῃ τὶς, ἐάν τε ποιητὸν, ἐπιτιθέναι πίσιν κατὰ τῶν ἱερῶν, ἢ μὴν ἐξ ἀῤῥήτης εἰσάγειν, ᾗ γεγονότα ὀρθῶς, ᾗ τὸν ὑπάρχοντα φύσει ᾗ τὸν ποιητόν· ποιήσαντος δὲ τῷ εἰσάγοντος ταῦτα, μηδὲν ἧττον 5
διαψηφίζεσθαι ᾗ τὲς ἄλλες· κἂν δόξῃ, τότ' εἰς κοινὸν γραμματεῖον ἐγγράφειν, πρότερον δὲ μή· τοιαύτας ἀκριβείας ἔχει τὰ δίκαια τὰ παρ' αὐτοῖς. τῷ νόμῳ δὲ ἔτως 6
ἔχοντος, ᾗ τῶν φρατόρων τε ᾗ γενητῶν ἐκείνῳ ἐκ ἀπισέντων, ἐμέ τε ἐκ ἀγνοέντων, ὅτι ἦν ἐξ ἀδελφῆς αὐτῷ γεγονὼς, ἐγγράφσίμε εἰς τὸ κοινὸν γραμματεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνε τὴν πίσιν καθ' ἱερῶν. ᾗ ἔτω μὲν ὑπὸ ζῶντος ἐποιήθην, ᾗ εἰς τὸ κοινὸν 7
γραμματεῖον ἐνεγράφην, Θράσυλλος Ἀπολλοδώρε, ποιησαμένε με ἐκείνε τῆτον τὸν τρόπον, τῶν νόμων αὐτῷ δεδωκότων. ὡς δ' ἀληθῆ λέγω, λάβε μοι τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

1 ε'. Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς μεμαρτυρηκόσι πιστεύσειν, ἢ οἵτινες τῶν ὁμοίως προσηκόντων ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς ἐκεῖνος ταῦτα
2 ὀρθῶς κατὰ τοὺς νόμους ἔπραξε. κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο· ταύτην τε, ἣ νῦν ἀμφισβητεῖ ἢ Προνάπει συνοικεῖ, ἢ ἄλλην, ἣν ἔσχεν Αἰσχίνης ὁ Λυσιεύς, ἣ τετελεύτηκεν, ὑὸν, ἄνδρα ἤδη, καταλιποῦσα, Θρασύβουλον. ἔστι δὲ νόμος, ὃς, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἅπαις τελευτήσῃ ἢ μὴ διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως,
3 κἂν ἐξ ἑτέρας ἀδελφιδοῦς ἢ γεγονώς, ἰσομοιρεῖν τῶν
4 χρημάτων καθίστησι. ἢ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ παρ' αὐτοῖς τούτοις. ἔργῳ γὰρ ἔτοι φανερὸν τοῦτο πεποιήκασι. τοῦ γὰρ Εὐπόλιδος υἱέως ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος, τὰ ἡμίσεα Θρασύβουλος εἴληφεν, οὐσίας ἢ πεντεταλάντου καταλειφθείσης ῥᾳδίως.
5 πατρῴων μὲν οὖν ἢ ἀδελφοῦ χρημάτων τὸ ἴσον αὐτοῖς ὁ νόμος μεταχεῖν δίδωσιν· ἀνεψιοῦ δὲ, ἢ εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστὶν, οὐκ ἴσον, ἀλλὰ πρωτέροις τοῖς ἄρρεσι τῶν θηλειῶν τὴν ἀγχιστείαν πε-
6 ποίηκε. λέγει γάρ· Κρατεῖν δὲ τοὺς ἄρρενας ἢ τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ τούτων ὦσι· κἂν γένει ἀποτέρω τυγχά-
7 νωσιν ὄντες. ταύτῃ μὲν οὖν οὐδὲ μέρους λαχεῖν προσήκει, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν

(1) Καὶ οἵτινες] ἢ ἐκείνοις πρὸς τούτοις πιστεύσειν, οἵτινες ὁμοίως προσήκοντες ὄντες, ἔργοις — ἐμαρτύρησαν· ἄμεινον ἦν γράφειν· εἴτινες τῶν αὐτῷ προσηκόντων· ἐννοεῖ δὲ τοὺς κηδεστὰς, ὡς ἐν τοῖς ἑξῆς· (3) τήν τε ἀδελφὴν] (ἔτι ζῶσαν) ὁμοίως, κἂν ἐξ ἑτέρας (ἀποθανούσης) ἀδελφιδοῦς ἢ γεγονώς, ἰσομοίρους (τάττει) τῶν (τοῦ κλήρου) χρημάτων καθιστησι· (4) οὐδὲ παρ αὐτοῖς τούτοις] τοῖς περὶ τὸν Εὔπολιν· (4) ἢ πεντεταλάντου] ἐμφασιν ἐχει ὁ Καὶ, οἷον προσθετικὸς ὢν καὶ αὐξητικός· (5) ἀνεψιοῦ δὲ, καὶ εἴτις ἔξω ταύτης τῆς συγγενείας (τῆς ἀνεψιότητος) ἐστιν, (τῶν χρημάτων) οὐκ ἴσον (ὁ νόμος δίδωσι)· (6) ἐκ τούτων ὦσι] ἐξ ὧν ἢ αἱ θήλειαι· (7) ταύτῃ μὲν οὖν] τῇ τοῦ Εὐπόλιδος θυγατρὶ τῇ τῷ Προνάπει συνοικούσῃ.

ἐμὴν εἰσποίησιν. ἐκεῖνος τοίνυν ἔτε ἐξ ἀρχῆς ἠμφισβήτηκε πρὸς ἐμὲ ὠδὲν, ἔτε νῦν δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ' ὑπὲρ 8
ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν. εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. λάβε δὴ αὐτοὺς τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι· ἢ ἀνάγνωθι. ΝΟΜΟΣ.

ς'. Ἐνταῦθα μὲν ὁμοίως ἢ ἀδελφὴ ἢ ἀδελφιδοῦς 1
ἰσόμοιροι κατὰ τὸν νόμον εἰσί. λάβε δὴ ἢ τοῦτον, ἢ ἀνάγνωσκε αὐτοῖς. ΝΟΜΟΣ.

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες, μηδὲ 2
τοῦ πατρὸς γενομένου ἢ προσήκων μηδεὶς, τότε ἀπέδωκε τοῖς πρὸς μητρὸς, διορίσας οὓς δεῖ κρατεῖν. λάβε δὲ αὐτοῖς ἢ τοῦτον τὸν νόμον, ἢ ἀνάγνωθι. ΝΟΜΟΣ.

Ταῦτα τῶν νόμων κελευόντων, ὁ μὲν ἀνὴρ ὢν οὐδὲ 3
τοῦ μέρους εἴληχεν· ὁ δ' ὑπὲρ ταύτης τῆς γυναικὸς ἁπάντων. οὕτω τὴν ἀναίδειαν εὐδαιμίαν ζημίαν εἶναι νομίζουσι, ἢ ὑπὲρ τούτων τολμήσουσι· ἢ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου λητέον, ὅτι Θρασύβουλος ἐκποίητος εἰς τὸν Ἱππολοχίδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθὲς, ἐκείνῳ δ' οὐ προσῆκον. τί γὰρ ἧττον 4
αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; οὐ γὰρ κατὰ τὸν πατέρα, ἀλλὰ κατὰ τὴν μητέρα ἢ τῶν Ἀπολλοδώρου, τοῦ Εὐπόλιδος υἱέως, τὸ μέρος εἴληφε· ἢ τῶνδε ἐξῆν αὐτῷ κατὰ ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, εἴπερ τὰ πεπραγμένα μὴ κυρίως ἔχειν ἐνόμιζεν· ἀλλ' οὐκ ἔστιν ἀναίσχυντος· μητρὸς δ' οὐδεὶς 5

(2) Μηδὲ τοῦ πατρὸς γενομένου] ἀπογενομένου εἰκάζει τις δεῖν γράφεσθαι ὁ δὲ Ῥείσκης αὖθις, μηδὲ τῶν ἐκ τοῦ αὐτοῦ πατρὸς γενομένων· (3) ὁ μὲν ἀνὴρ ὢν] ὁ Θρασύβουλος· τοῦ μέρους δὲ ἀντὶ τοῦ, τὸ μέρος, ἔγραψεν ὁ Ῥείσκης· καίτοι ἐνοεῖτ' ἂν ἢ οὕτω· οὐδὲ τὸ ἑαυτῷ ἐπιβάλλον μέρος εἴληχε τοῦ κλήρου· (3) ὁ δὲ] Προνάπης, ὁ ἀνὴρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος· (3) εἰς τὸν Ἱππολοχίδου] οἶκον.

ἐσιν ἐκποίητος, ἀλλ' ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ μένῃ τις οἴκῳ, κἂν ἐκποιηθείη. διὸ τῶν Ἀπολλοδώρου χρημάτων ἐκ ἀπεξερήθη τὸ μέρος, ἀλλὰ μετειλήφει, τὸ ἡμικλήριον πρὸς ταύτην νειμάμενος. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

1 ζ'. Οὕτω μὲν οὐχ οἱ γενηταὶ μόνον ἀλλὰ φράτορες γεγόνασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος ἐκ ἀμφιβητῶν, ἔργῳ δεδήλωκεν, ὅτι τὰ πεπραγμένα Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει, καὶ κατὰ τοὺς 2 νόμους. οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων ἐκ ἐλάγχανε. γεγόνασι δὲ ὅμως καὶ ἄλλοι μάρτυρες αὐτῷ. πρὶν γὰρ ἐμὲ ἥκειν ἐκ τῆς Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος, ὅτι πεποιημένος εἴη με υἱόν· καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτορας, καὶ παραδεδώκει τὴν οὐσίαν, καὶ διεκελεύεθ' ὅπως, ἄντι πάθῃ πρότερον, ἐγγράφωσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, Θρασύλλον Ἀπολλοδώρου· καὶ μὴ ὡς ἄλλως ποιήσωσι. κἀκεῖνοι 4 ταῦτα ἀκούσαντες, τούτων ἐν ἀρχαιρεσίᾳ κατηγορούντων, καὶ λεγόντων ὡς ἐκ ἐποιήσατό με υἱόν, καὶ ἐξ ὧν ἤδεσαν, ὀμόσαντες καθ' ἱερῶν, ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέλευε. τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ' αὐτοῖς· ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

1 η'. Ἐπὶ μὲν τοσούτων μαρτύρων, ὦ ἄνδρες, γέγονεν ἡ ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς τούτους ὅσης,

(2) Μάρτυρες αὐτῷ] τῷ πατρὶ μου Ἀπολλοδώρῳ· (3) ἐκ τῆς Πυθιάδος] ἐκ τῆς ἑορτῆς τῶν Πυθίων καὶ τῶν ἀγώνων· (3) ἄντι πάθῃ πρότερον] ὁ πατήρ μου πρὶν ἐμὲ ἐπανελθεῖν ἐκ τῆς Πυθιάδος· (4) καὶ ἐξ ὧν ἤδεσαν] οἱ Φράτορες· σύναψον δὲ τὸν Καὶ ὅτω· κἀκεῖνοι ταῦτα ἀκούσαντες, καὶ πρὸς τούτοις ἐξ ὧν ἤδεσαν.

(1) Αὐτῷ πρὸς τούτους] τῷ Ἀπολλοδώρῳ πρὸς τοὺς περὶ τὸν Εὔπολιν.

φιλίας δὲ πρὸς ἡμᾶς καὶ συγγενείας ἐ σμικρᾶς ὑπαρχέσης. ὡς δ' ὅδ' εἰ μηθέτερον τούτων ὑπῆρχε, μήτε ἔχθρα 2 πρὸς τούτους, μήτε φιλία πρὸς ἡμᾶς, ἐκ ἄν ποτε Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν κλῆρον τοῦτον κατέλιπεν, οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳδίως ἐπιδείξειν. πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ 3 ἐξερημώσωσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' ἔσαι τις καὶ ὁ ἐναγιῶν, καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς ποιήσων. διὸ καὶ ἄπαιδες τελευτήσωσιν, ἀλλ' ἓν ποιησάμενοι καταλείπουσι· καὶ οὐ μόνον ἰδίᾳ ταῦτα γινώσκουσιν, ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως οὕτω ταῦτ' ἔγνωκε. νόμῳ 5 γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ ἐξερημῶνται, προσάττει τὴν ἐπιμέλειαν. ἐκείνῳ δὲ πρόδηλον ἦν, ὅτι εἰ καταλείψει τὸν κλῆρον ἐπὶ τούτοις, ἔρημον ποιήσει τὸν οἶκον. διὰ τί; προορῶντι ταύτας τὰς ἀδελφὰς τὸν 6 μὲν Ἀπολλοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, υἱὸν δ' ἐκ εἰσποιούσας, ὄντων αὐταῖς παίδων· καὶ τοὺς μὲν ἄνδρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ κτήματα πέντε τάλαντα πεπρακότας, καὶ τὸ ἀργύριον διανειμαμένους, τὸν δὲ οἶκον αἰσχρῶς ὅτως καὶ δεινῶς ἐξηρημωμένον. ὃς δὴ ταῦτ' ἰδεῖ τὸν τούτων ἀδελφὸν πεπονθότα, 7 πῶς ἂν προσεδόκησεν αὐτὸς, εἰ καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν, ἀνεψιὸς ὤν, ἀλλ' ἐκ ἀδελφὸς αὐταῖς; ἐκ ἐνῆν ἐλπίσαι δήπουθεν. ἀλλὰ μήν, ὅτι 8 ἄπαιδα ἐκεῖνον περιεωράκασι, καὶ τὰ χρήματα ἔχουσι, καὶ

(6) προορᾶντι] τὸ μακροσκελὲς τῆς φράσεως ἐξεβιάσατο τὸν λόγον ἀποκινδυνεῦσαι εἰς σολοικισμόν· ἀποδοτέον ἀλλ' ἂν τὴν δοτικὴν κάτω εἰς τὸ, ἐκ ἦν (αὐτῷ) ἐλπίσαι, καίτοι συντετάρακται μεταξὺ ἡ συνέχεια· (6) πέντε τάλαντα] ἄμεινον γράφειν, πέντε ταλάντων· ἰσέον δὲ, ὅτι Ἀπολλόδωρον ἐνταῦθα ὁ τὸν Θρασύλλου φησὶν, ἀλλὰ τὸν Εὐπόλιδος· (7) τὸν τούτων ἀδελφὸν] τὸν Θρασύλλου, τὸν ἑαυτοῦ πατέρα· (7) ἀνεψιὸς] σημείωσαι τὴν σημασίαν· καθάπερ καὶ ἡ νῦν συνήθεια ἀντὶ τοῦ ἀδελφιδοῦς.

οἶκον ἐκ τῆ φανερῆ τριηραρχῆντα ἀνηρήκασι, κάλει μοι
καὶ τέτων τὰς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

1 .Θ'. Εἰ τοίνυν καὶ τοιῆτοι τὰς φύσεις περὶ ἀλλήλες εἰ-
σὶ, καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησάμενον
ὑπῆρχον αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλτιον ἂν
2 ἔπραξεν, ἢ ταῦτα βελευσάμενος, ἅπερ ἐποίησεν; ἢ νὴ
Δία παιδίον ἐποιήσατο λαβὼν παρά τε τῶν φίλων ὄντων,
καὶ τέτῳ τὴν οὐσίαν ἔδωκεν; ἀλλὰ καὶ τῆτ' ἦν ἄδηλον καὶ
τοῖς γεννήσασιν, εἴτε σπεδαῖον, εἴτε μηδενὸς ἄξιον ἔμελ-
3 λεν ἔσεσθαι διὰ τὴν ἡλικίαν. ἐμῆ δὲ πεῖραν εἰλήφει, δο-
κιμασίαν ἱκανὴν λαβών. ἔς τε γὰρ τὸν πατέρα καὶ τὴν μη-
τέρα οἷος ἦν ἀκριβῶς ᾔδει, τῶν τ' οἰκείων ἐπιμελῆ, καὶ
τὰ ἑμαυτῆ πράττειν ἐπισάμενον· ἐν ἀρχῆ τε, θεσμοθε-
τήσας, ὡς ἐγενόμην ἐκ ἄδικος ἐδὲ πλεονέκτης, ἡπίσα-
4 το σαφῶς. ὥς' ἐκ ἀγνοῶν, ἀλλὰ σαφῶς εἰδὼς, ἐποίει
με τῶν αὐτῆ κύριον. καὶ μὴν ἐδὲ ἀλλότριον, ἀλλ' ὄντα
ἀδελφιδῆν, ἐδ' αὖ μικρὰ πεπονθὼς, ἀλλὰ μεγάλα ἀ-
γαθὰ ὑφ' ἡμῶν· ἐδ' αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα ἀφιέναι
ἔμελλον, ὥσπερ ἔτοι τὰ κλήρε πεποιήκασιν, ἀλλὰ βε-
λησόμενον καὶ τριηραρχεῖν, καὶ πολεμεῖν, καὶ χορηγεῖν, καὶ
5 πάνθ' ὑμῖν τὰ προσαττόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος.
καίτοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φιλότι-
μος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιῆτος εἶναι, τίς ἀμ-
φισβητήσειε μὴ ἐκ ἀνδρὸς εὖ φρονῆντος εἶναι ταύτην τὴν
6 ποίησιν; ἐγὼ τοίνυν ἔντι τῶν ὑπ' ἐκείνε δοκιμασθέντων
ἤδη πεποίηκα· γεγυμνασιάρχηκα εἰς Προμήθεια τῆδε τῆ

(4) Ὃς τὰ ὄντα—ὥσπερ ἔτοι τὰ τῆ κλήρε] διέφθαρται· ἴσως δ' ἦν ἄμεινον γράφειν οὕτω· ὃς τὰ ὄντα ἐκ ἀφανήσειν ἔμελλον, ὥσπερ ἔτοι τὰ περὶ τὸν κλῆρον (τῆ Ἀπολλοδώρε) ἐποίησαν· (4) ὥσπερ ἐκεῖνος] ὁ ἐμὸς πατὴρ Θράσυλλος· (6) τῶν ὑπ' ἐκείνε δοκιμασθέντων] ἅπερ ἐκεῖνος ἐνόμιζε ἄξια ἐμοὶ εἶναι καὶ τῆ πόλει συμφέροντα.

ἑνιαυτῆ φιλοτίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τέτων τὰς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ί. Τὰ μὲν ἡμέτερα δίκαια, καθ' ἃ προσηκόντως ἔχειν 1
φαμὲν τὸν κλῆρον, ταῦτ' ἐστιν, ὦ ἄνδρες. δεόμεθα δ' ὑ-
μῶν βοηθεῖν ἡμῖν, καὶ ἕνεκα Ἀπολλοδώρε, καὶ ἕνεκα τῆ
ἐκείνε πατρός. ὁ γὰρ ἀχρήσας αὐτὸς εὑρήσετε πολίτας, 2
ἀλλ' ὡς οἷόν τ' εἰς τὰ ὑμέτερα προθυμοτάτης· ὁ μὲν
γὰρ πατὴρ αὐτῆ τάς τε ἄλλας ἁπάσας λειτεργίας λε-
λειτέργηκε, καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλε-
σεν· ἐκ ἐκ συμμορίας τὴν ναῦν ποιησάμενος, ὥσπερ οἱ 3
νῦν, ἀλλ' ἐκ τῶν αὐτῆ δαπανῶν· ἐδὲ δεύτερος αὐτὸς ὤν,
ἀλλὰ καταμόνας· ἐδὲ δύο ἔτη διαλιπὼν, ἀλλὰ συνε-
χῶς· ἐδ' ἀφοσιέμενος, ἀλλ' ὡς οἷόν τ' ἄρισα παρασκευα-
ζόμενος. ἀνθ' ὧν ὑμεῖς ἐκεῖνον ἐτιμᾶτε, μεμνημένοι τέ- 4
των τῶν ἔργων· καὶ τὸν μὲν αὐτῆ τῶν χρημάτων ἀποσε-
ρέμενον ἐσώσατε, τὲς ἔχοντας ἀποδῶναι τὰ ὄντ' αὐτῷ
καταναγκάσαντες. καὶ μὴν καὶ αὐτὸς Ἀπολλόδωρος ἐχ, 5
ὥσπερ Προνάπης, ἀπεγράψατο μὲν τίμημα μικρὸν, εἰς
ἱππάδα δὲ τελῶν, ἄρχειν ἠξίε τὰς ἀρχάς· ἐδὲ βίᾳ μὲν
ἐζήτει τὰ ἀλλότρια ἔχειν, ὑμᾶς δ' ᾤετο δεῖν μηδὲν ὠ-
φελεῖν· ἀλλὰ φανερὰ τὰ ὄντα κατασήσας ὑμῖν, ὅσα 6
προσάττοιτε, πάνθ' ὑπηρέτει φιλοτίμως. ἐδέν τ' ἀδι-
κῶν, ἐκ τῶν ἑαυτῆ φιλοτίμως ἐπειρᾶτο ζῆν· ἐς αὐτὸν 7

(2) Ὁ πατὴρ αὐτῆ] ὁ Θράσυλλος· (3) ἐκ συμμορίας] ἐπιθι ἅπερ ἐσημειωσάμην ἐν Δημοσθένει Ὀλυνθ. Β'. ί. 6. (3) ἐδὲ δεύτερος] ἐδὲ σύδυο εἰς μίαν ναῦν, ἀλλὰ μόνος· (3) διαλιπὼν] ἴτως ἔγραψα ἀντὶ τῆ καταλιπών· ἵνα σημαίνῃ τὸ μεταξὺ χρονικὸν διάσημα τῆς ἡσυχίας· (3) ἐδ' ἀφοσιέμενος] προσποιέμενος, παραιτέμενος· (4) τὸν μὲν αὐτῆ] Ἀπολλόδωρον, τὸν ἐμὸν πατέρα· (5) εἰς ἱππάδα δὲ τελῶν] εἰς, ἀντὶ τῆ, ὡς, ἐγραψα· ὁ δὲ νῦς· ἐκ ἔκρυψε τὰ ἑαυτῆ Ἀπολλόδωρος, ὥσπερ ὁ Προνάπης, ἵνα μικρόν τι συνεισφέρῃ τῇ πόλει, ἀλλ' εἰς τὸ φανερὸν κατασήσας τὴν ἑαυτῆ ἀοίαν συγκατετάχθη ἐν τοῖς ἱππεῦσι· ἦτις ἦν ἡ μέση τάξις τῶν πολι-

μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν, τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν· ἵνα ἐξαρκοίη πρὸς τὰς δαπάνας. κἀκ τούτων, τίνα λειτουργίαν οὐκ ἐξελειτούργησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί παραλέλοιπεν ὧν 8 προσῆκεν; ὅς γε καὶ παιδικῷ χορῷ χορηγῶν ἐνίκησεν. ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ τρίπους ἐκεῖνος ἔσηκε. καίτοι τί χρὴ τὸν μέτριον πολίτην; οὐκ εἰ μὲν ἕτεροι τὰ μὴ προσήκοντ' ἐβιάζοντο λαμβάνειν, τούτων μηδὲν 9 ποιεῖν, τὰ δ' ἑαυτῷ πειρᾶσθαι σώζειν; οὐδ' εἰ ἡ πόλις δεῖται χρημάτων, ἐν πρώτοις εἰσφέρειν, καὶ μηδὲν ἀπο- 10 κρύπτεσθαι τῶν ὄντων; ἐκεῖνος τοίνυν τοιοῦτος ἦν· ἀνθ' ὧν δικαίως ἂν αὐτῷ ταύτην τὴν χάριν ἀποδοίητε, τὴν ἐκείνου γνώμην περὶ τοῦ κλήρου κυρίαν εἶναι ποιήσαντες. 11 καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν, εὑρήσετε οὐ κακὸν οὐδὲ ἄχρηστον. ἐστράτευμαι ταῖς στρατείαις τῇ πόλει, τὰ προσαττόμενα ποιῶν. τοῦτο γὰρ τῶν τηλικούτων ἔργον ἐστί. καὶ ἐκείνων ὧν ἕνεκα καὶ ἡμῶν εἰκότως ἂν 12 ποιήσαισθε πρόνοιαν· ἄλλως τε καὶ τούτων μὲν, μὴ τριηραρχούντων, οἶκον πεντετάλαντον ἀνηρηκότων καὶ πεπρα- κότων, καὶ ἔρημον πεποιηκότων· ἡμῶν δὲ καὶ λελειτουργη- 13 κότων ἤδη καὶ λειτουργησόντων, ἂν ὑμεῖς ἐπικυρώσητε τὴν Ἀπολλοδώρου γνώμην, ἀποδόντες ἡμῖν τοῦτο τὸν κλῆ- 14 ρον. ἵνα δὲ μὴ δοκῶ διατρίβειν, περὶ ταῦτα ποιούμενος

τῶν· καὶ ὅτως ἠξίου λαμβάνειν καὶ τὰς ἀρχάς· (7) κἀκ τούτων] ὧν ἐφείσατο εἰς ἑαυτὸν δαπανῶν· (8) τί χρὴ] ποιεῖν τὸν μέτριον· (10) περὶ τοῦ κλήρου κυρίαν] προσέθηκα τὸ, κλήρου· ἦν γὰρ περὶ τοῦ κυρίαν· (11) ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν] τὸ πλῆρες ὅτω· καὶ ἐμὲ εὑρήσετε οὐ κακὸν οὐδ' ἄχρηστον (ἐν ἐκείνοις γεγενημένον,) ὅσα (χρὴ γενέσθαι) κατὰ τὴν ἐμὴν ἡλικίαν· ἐστράτευμαι (γὰρ ἐν ἁπάσαις) ταῖς στρατείαις τῇ πόλει· (11) ποιῶν] ὅτως ἔγραψα εἰς μετοχὴν ἀντὶ τοῦ, ποιῶ· ἔδει δὲ τολμῆσαι ἀναπληρῶσαι καὶ τἄλλα ἐν τῷ κειμένῳ· (12) καὶ ἐκείνων ὧν ἕνεκα καὶ ἡμῶν (ἕνεκα) εἰκότως ἂν ποιήσαισθε πρόνοιαν (ἡμῶν)· (12) ποιήσαισθε] ὅτως ἔγραψα ἀντὶ τοῦ, ποιήσησθε.

τοὺς λόγους, βέλομαι διὰ βραχέων ὑμᾶς ὑπομνήσας, ὅτω καταβαίνειν, τί ἑκάτερος ἡμῶν ἀξιοῖ, δηλώσας.

ιά. Ἐγὼ μὲν, ἀδελφῆς οὔσης τῆς ἡμετέρας μητρὸς 1 Ἀπολλοδώρῳ, φιλίας αὐτοῖς πολλῆς ὑπαρχούσης, ἔχθρας δ' ὑδεμιᾶς πώποτε γενομένης, ἀδελφιδοῦς ὢν, καὶ ποιηθεὶς ὑὸς ὑπ' ἐκείνου ζῶντος καὶ εὖ φρονοῦντος, καὶ εἰς τοὺς γενητὰς καὶ φράτορας ἐγγραφεὶς, ἔχειν τὰ δοθέντα, καὶ μὴ ἐπὶ τούτοις ἐξηρημῶσθαι τὸν οἶκον ἐκείνου. Προνάπης 2 δὲ τί ὑπὲρ τῆς ἀμφισβητούσης; ἔχειν μὲν τῇ τῆς γυναικὸς ἀδελφῇ τιμὴν τῇ ἡμικληρίᾳ πέντ' ἡμιτάλαντα, λαβεῖν δὲ καὶ τόνδε τὸν κλῆρον, ἑτέρων ταῖς ἀγχιστείαις προτέρων αὐτῇ τῆς γυναικὸς ὄντων, ἔτ' ἐκείνῳ παῖδα εἰσπεποιημένου, ἀλλὰ τὸν οἶκον ἐξηρημωκώς· οὐδὲ εἰς τοῦ- 3 τον ἂν εἰσποιήσας, ἀλλ' ὁμοίως ἂν καὶ τοῦτον ἐξερημώσας· καὶ ἔχθρας μὲν τηλικαύτης ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς δὲ ὑδεμιᾶς πώποτ' ὕστερον γενομένης. ταῦτα χρὴ 4 σκοπεῖν, ὦ ἄνδρες. κἀκεῖνο ἐνθυμεῖσθε, ὅτι ἐγὼ μὲν, ἀδελφιδοῦς αὐτῷ· ἡ δὲ, ἀνεψιὰ τοῦ τελευτήσαντος· καὶ ὅτι ἡ μὲν δύ' ἔχει κλήρους, ἐγὼ δὲ τοῦτον μόνον, εἰς ὃν περ εἰσεποιήθην· καὶ ὅτι αὕτη μὲν οὐκ εὔνους τῷ κατα- 5 λιπόντι τὸν κλῆρον, ἐγὼ δὲ καὶ ὁ ἐμὸς πάππος, εὐεργέται γεγόναμεν αὐτοῦ. ταῦτα πάντα σκεψάμενοι, καὶ δια-

(1) Ἔχειν τὰ δοθέντα] ἀξιῶ, καὶ μὴ ἐπὶ τούτοις (γενέσθαι ὥστε) ἐξηρημῶσθαι καὶ τλ. (2) Προνάπης δὲ] τί (ἀξιοῖ) ὑπὲρ τῆς ἀμφισβητούσης (αὐτῇ γυναικός;) (2) τῇ ἀδελφῇ] τῇ πρώτῃ Ἀπολλοδώρᾳ· (2) προτέρων τῆς γυναικὸς αὐτῇ ὄντων ταῖς ἀγχιστείαις] οἷον τῷ Θρασυβούλῳ τοῦ υἱοῦ τοῦ Αἰσχίνου· ὡς ἀνωτέρω (Ε'. 5.) δέδεικται· (2) ἔτ' ἐκείνῳ] τῷ ἀδελφῷ Ἀπολλοδώρῳ τῷ πρώτῳ (3) οὐδ' εἰς τοῦτον] τὸν οἶκον τοῦ δευτέρου Ἀπολλοδώρου· προσέθηκα δὲ τὸν, Εἰς. (4) κἀκεῖνο ἐνθυμεῖσθε] ἔτι δὲ κἀκεῖνο καὶ τλ. (4) ὅτι ἐγὼ μὲν, ἀδελφιδοῦς αὐτῷ] τῷ Ἀπολλοδώρου· ὅτως ἔγραψα. ἐγὼ μὲν ἀντὶ τοῦ, ἐκεῖνος μὲν, ἀδιανοήτως ἐξ εἰκασίας Ῥείσκιος. (4) δύο ἔχει κλήρους] τὸν μὲν παρὰ πατρός· τὸν δὲ, παρ' ἀδελφῆς· εἰ μή τις λέγοι τι, τὸν ἤδη ἀμφισβητούμενον, ὥστε εἶναι τοὺς δύο κλήρους τῶν δύο Ἀπολλοδώρων· τὸν μὲν, τοῦ ἀδελφοῦ· τὸν δὲ, τοῦ ἀνεψιοῦ, εἴτ' οὖν πρωτεξαδέλφου

λογιζόμενοι πρὸς ὑμᾶς αὐτὸς, τίθεσθε τὴν ψῆφον ἣ δι-
6 καιόν ἐσιν. ἐκ οἶδ' ὅ,τι δεῖ πλείω λέγειν. οἶμαι γὰρ ὑ-
μᾶς ἐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ
ΥΠΕΡ ΤΟΥ
ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Κίρωνος ἄπαιδος γνησίων τελευτήσαντος παίδων, ἀδελφι-
δῆς τις αὐτῷ κατὰ πατέρα ἀντιποιηθεὶς τῷ κλήρῳ, παρέλα-
βε τὴν ὐσίαν αὐτῷ παρὰ τῆς γυναικός· ᾗ μετὰ ταῦτα ὁ λέ-
γων τὸν λόγον γράφεται τὸν ἀδελφιδῆν, φάσκων θυγατρι-
δῆς εἶναι Κίρωνος· ᾗ ὅτι ἡ γυνὴ τῷ τετελευτηκότος ἐκῆσα
προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῷ, ἵνα μέρος δῆσα αὐτῷ
τὰ λοιπὰ κερδάνῃ. ᾗ ἡ μὲν ὑπόθεσις, αὕτη. Η' ςάσις δὲ
ςοχασμός. ζητεῖται γὰρ εἴτε θυγατριδῆς ἐσιν ἔτος τῷ Κίρω-
νος γνήσιος, εἴτε ἄ· ἐπιπλέκεται δ' αὐτῷ ᾗ ἡ κατὰ ποιό-
τητα ζήτησις. ὁ γὰρ ἀδελφιδῆς ἠγωνίζετο, λέγων, ὅτι
εἰ ᾗ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπει-
δὴ ἐτελεύτησεν ἐκείνη, ὁ δ' ὑὸς αὐτῆς ἀμφισβητεῖ νῦν,
προτιμητέος ἐσὶν ὁ κατὰ πατέρα ἀδελφιδῆς τῷ ἀπὸ θυγα-
τρὸς ἐγγόνῳ, κατὰ τὸν νόμον ἐκεῖνον τὸν κελεύοντα προτι-
μᾶσθαι τὸς ἀπὸ ἀῤῥένων τῶν ἀπὸ τῶν θηλειῶν, ἔτος γὰρ
τεχνικώτατα πάνυ σιωπήσας τῆτον τὸν νόμον, ἐκ τῆς τῶν
τεκόντων διαφορᾶς ἀγωνίζεται· δεικνὺς ὅτι ὅσον θυγάτηρ
ἀδελφῇ οἰκειοτέρα τοῖς τελευτῶσι, τοσῆτον ἔκγονος ἀδελ-
φιδῆ διαφέρει. ἔῤῥωται ᾗ ἐνταῦθα τῷ δικαίῳ, ᾗ ἀσθενεῖ τῷ
νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν
πάλιν ἐργάζεται δύναμιν.

ά. Ἐπὶ τοῖς τοιέτοις, ὦ ἄνδρες, ἀνάγκη ἐσὶ χαλε- 1
πῶς φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισ-
βητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ τῆ νόμου δίκαια τοῖς
σφετέροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν· ὅπερ ᾗ νῦν
ἔτοι ποιεῖν ἐγχειρῆσι· τοῦ γὰρ ἡμετέρε πάππε Κίρωνος 2
ἐκ ἄπαιδος τελευτήσαντος, ἀλλ' ἡμᾶς ἐκ τῆς θυγατρὸς
αὐτῆ γνησίας παῖδας αὐτῷ καταλελοιπότος, ἔτοί τε τῆ
κλήρου λαγχάνσιν, ὡς ἐγγυτάτω γένες ὄντες, ἡμᾶς
τε ὑβριζεσιν ὡς ἐκ ἐξ ἐκείνε θυγατρὸς ὄντας, οὔτε γε-
νομένης αὐτῷ πώποτε τὸ παράπαν· αἴτιον δὲ τῆ ταῦτα 3
ποιεῖν αὐτὲς ἐσὶν ἡ τέτων πλεονεξία, ᾗ τῆ πλήθος τῶν
χρημάτων, ὧν Κίρων μὲν καταλέλοιπεν, ἕτοι δ' ἔχσι
βιασάμενοι, ᾗ κρατῆσι. ᾗ τολμῶσιν ἅμα μὲν λέγειν
ὡς ὐδὲν καταλέλοιπεν ἐκεῖνος, ἅμα δὲ ποιεῖσθαι τῆ κλή-
ρε τὴν ἀμφισβήτησιν· τὴν μὲν ἓν κρίσιν ὐ δεῖ μοι νομίζειν 4
εἶναι ταύτην πρὸς τὸν εἰληχότα τῆ κλήρε τὴν δίκην, ἀλ-
λὰ πρὸς Διοκλέα τὸν Φλυέα, τὸν Ο'ρέσην ἐπικαλέμενον·
ἔτος γάρ ἐσιν ὁ τῆτον παρασκευάσας πράγμαθ' ἡμῖν πα- 5
ρέχειν, ἀποσερῶν τὰ χρήματα, ἃ Κίρων ὁ πάππος ἀποθνή-
σκων κατέλιπεν, ἡμῖν δὲ τέτε τὸς κινδύνες ἐπάγων, ἵνα
μηδὲν ἀποδῶ τέτων, ἐὰν ὑμεῖς ἐξαπατηθῆτε, πειθέν-
τες ὑπὸ τῶν τέτε λόγων· δεῖ δή, τέτων τοιαῦτα μηχα- 6
νωμένων, πάνθ' ὑμᾶς τὰ πεπραγμένα μαθεῖν· ἵνα μηδὲν
ἀγνοήσαντες τῶν γεγενημένων, ἀλλὰ σαφῶς εἰδότες πε-
ρὶ αὐτῶν, ἔτως ἐνέγκητε τὴν ψῆφον· εἴ τινι ἔν ᾗ ἄλλη 7

(3) Καὶ τὸ πλῆθος τῶν χρημάτων] προσέθηκα κατ' ἀρχὰς τὸν, Καὶ· δῆλος δ' ὁ λόγος· ὁμοίως δὲ ᾗ κατωτέρω μικρὸν τὸν, Μὲν, ἅμα μὲν, γράψας· (4) τὸν Φλυέα] ἔτως ἔγραψα εἰκασίᾳ ᾗ ἑτέρων ἀντὶ τῆ, Φιλέα· δῆμος γὰρ φυλῆ, ἢ ἄλλως πως, ὐδείπω εὕρηται· Φλύα δὲ, ἐξ ἧ Φλυεὺς, ᾗ Φλυῆθεν ᾗ παρ' Α'ρποκρατίων, εὕρηται· ἴδε ᾗ Θεκυδ. Τόμ. 9. σελ. 132. ἐμῇ ἐκδόσει.

δίκη προσέσχετε ἀκριβῶς τὸν νοῦν, δέομαι ὑμῶν κ' ταύτη
8 προσέχειν ὁμοίως, ὥσπερ κ' τὸ δίκαιόν ἐστι· πολλῶν δὲ δικῶν ἐν τῇ πόλει γενομένων, οὐδένες ἀναιδέστερον τούτων οὐδὲ καταφρονέστερον ἀντιποιησάμενοι φανήσονται τῶν ἀλλοτρίων.

1 β'. Εἴ μὲν ἦν χαλεπὸν, ὦ ἄνδρες, πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας ὑπὲρ τἀληθῆ μαρτυρόντας εἰς ἀγῶνας
2 καθίσασθαι περὶ τηλικούτων, παντάπασιν ἀπείρως ἔχοντα δικαστηρίων· ὑμὴν ἀλλὰ πολλὰς ἐλπίδας ἔχω κ' παρ' ὑμῶν τεύξεσθαι τῶν δικαίων, κ' μέχρι γε τοῦ τὰ δίκαια εἰπεῖν, κ' αὐτὸς ἀρκέντως ἐρεῖν, ἂν μή τι συμβῇ τοιοῦτον, ὃ νῦν ὑπ' ἐμοῦ
3 τυγχάνει προσδοκώμενον· δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' εὐνοίας τέ με ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι
4 τὰ δίκαια. Πρῶτον μὲν οὖν, ὡς ἦν μήτηρ ἡ ἐμὴ Κίρωνος θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν· τὰ μὲν πά-
5 λαι γεγενημένα, λόγον ἀκοῇ κ' μαρτύρων· τὰ δ' ὕστερα κ' μνημονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν, ἔτι δὲ
6 τεκμηρίοις, ἃ κρείττω τῶν μαρτυριῶν ἐστιν· ἐπεὶ δ' ἂν ταῦτα φανερὰ κατασήσω, τόθ' ὡς κ' κληρονομεῖν μᾶλλον ἡμῖν, ἢ τοῦτον προσήκει τῶν Κίρωνος χρημάτων· ὅθεν οὖν ἤρξαντο περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς κἀγὼ πειράσομαι διδάσκειν.

1 γ'. Ὁ γὰρ πάππος ὁ ἐμὸς, ὦ ἄνδρες, Κίρων ἔγημε τὴν ἐμὴν τήθην, ὄσαν ἀνεψιὰν, ἐξ ἀδελφῆς τῆς αὐτοῦ
2 μητρὸς αὐτὴν γεγενημένην· ἐκείνη μὲν οὖν συνοικήσασα ὀλὺν χρόνον τεκοῦσα αὐτῷ τὴν ἐμὴν μητέρα, μετὰ ἐνιαυτοὺς τριάκοντα τὸν βίον ἐτελεύτησεν· ὁ δὲ πάππος, μιᾶς ὕσης αὐτῷ θυγατρὸς, λαμβάνει πάλιν τὴν Διοκλέους

(4) Λόγων ἀκοῇ κ' μαρτύρων] μαρτυρίᾳ δηλονότι, ἢ πίστει· (6) μᾶλλον ἡμῖν, ἢ τοῦτον προσήκει] ἄμεινον, τοῦτῳ· εἰδὲ μὴ, τρεπτέον κ' τὸ, ἡμῖν εἰς τὸ, ἡμᾶς· ἀλλ' οὐκ ἀναγκαίως· λέγω δὲ ταῦτα, ἵνα κινήσω μᾶλλον τῶν νέων τὴν περιέργειαν.

ἀδελφήν, ἐξ ἧς αὐτῷ γιγνέσθην υἱεῖς δύο· κ' ἐκείνην τε 3
ἔτρεφε παρὰ τῇ γυναικὶ, κ' μετὰ τῶν ἐξ ἐκείνης παίδων· ἐκείνω τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν εἶχεν ἡλικίαν, ἐκδίδωσιν αὐτὴν Ναυσιμένει, Χολαργεῖ, σὺν ἱματίοις καὶ χρυσίοις πέντε κ' εἴκοσι μνᾶς ἐπιδές· κἀκεῖνος μὲν τρισὶν 4
ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμνων ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς ἡμετέρας μητρός· ὁ δὲ 5
πάππος, κομισάμενος αὐτὴν, κ' τὴν προῖκα ἐκ ἀπολαβὼν, ὅσην ἔδωκε, διὰ Ναυσιμένους ἀπορίαν τῶν πραγμάτων, πάλιν ἐκδίδωσι τῷ ἐμῷ πατρὶ, κ' χιλίας δραχμὰς προῖκ' ἐπιδίδωσι· ταυτὶ δὴ πάντα πρὸς τὰς αἰτίας, ἃς 6
νῦν οὗτοι λέγουσι· πῶς ἄν τις δείξειε γεγενημένας φανερῶς, ἐγὼ ζητῶν ἐξεῦρον· ἀνάγκη τὴν ἐμὴν μητέρα, εἴτε θυγάτηρ ἦν Κίρωνος, εἴτε μή· κ' εἰ παρ' ἐκείνῳ διητᾶτο, ἢ ὅ· κ' γάμος εἰ διττὸς ὑπὲρ ταύτης εἰσίασεν, ἢ μή· κ' προῖκα ἥντινα ἑκάτερος ἐπ' αὐτῇ τῶν γημάντων ἔλαβε, πάντα ταῦτα εἰδέναι τὰς οἰκέτας καὶ τὰς θεραπαίνας, ἃς ἐκεῖνος ἐκέκτητο· βουλόμενος οὖν, πρὸς τοῖς 8
ὑπάρχουσι μάρτυσιν, ἔλεγχον ἐκ βασάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλλον αὐτοῖς πιστεύητε, μὴ μέλλουσι δώσειν ἐλέγχους, ἀλλ' ἤδη δεδωκόσι, περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν ἐκδοῦναι τὰς θεραπαίνας καὶ τοὺς οἰκέτας περί τε τούτων κ' περὶ τῶν ἄλλων ἁπάντων, ὅσα τυγχάνουσι συνειδότες· οὗτος δ' ὁ νῦν ὑμᾶς ἀξιώσων τοῖς αὐτοῦ μάρτυ- 9

(6) ταυτὶ δὲ πάντα] ἡ συνθήκη οὕτω· κ' ταῦτα πάντα ἐγὼ ζητῶν ἐξεῦρον (ἀπολογούμενος) πρὸς τὰς αἰτίας, ἃς οὗτοι λέγουσι· πῶς (ἄμεινον ἦν λέγειν, ὅπως) ἄντις δείξειε γεγενημένας· ὁ δὲ Ρ'εἴσκης διορθοῖ οὕτω διὰ πολλῶν· οἷον, καίτοι πῶς ἂν μᾶλλον αὐτὰς ψευδεῖς πάσας δείξειε κ' μηδέπω γεγενημένας, ἢ ὡς ἐγὼ ἐπιδείξω νῦν φανερῶς, ὡς ἐγὼ ζητῶν ἐξεῦρον; ἀνάγκη γὰρ κ' τλ. (6) ἀνάγκη] ἐστιν ταῦτα πάντα εἰδέναι τὰς οἰκέτας· ἴδε κατωτέρω διὰ πολλῶν· (8) ἵνα μᾶλλον αὐτοῖς] τοῖς περὶ τὸν Διοκλῆν· ἀποδοτέον γὰρ τὸ, τούτοις, οὐκ ἀνωτέρω εἰς τὸ, περὶ αὐτῶν, ἀλλὰ κατωτέρω εἰς τὸ, τούτους· (9) οὗτος δὲ] ὁ Διοκλῆς.

σί πιστεύειν, ἔφυγε τὴν βάσανον· καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι μὴ θελήσας, τί ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν, ἢ δοκεῖν νυνὶ τὰ ψευδῆ μαρτυρεῖν, τότε τηλικοῦτον ἔλεγχον πεφευγότος; ἐγὼ μὲν οἶμαι ἐδὲν· ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λάβε μοι πρῶτον ταύτην τὴν μαρτυρίαν, καὶ ἀνάγνωθι. ΜΑΡΤΥΡΙΑ.

1 δ'. Ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβέσατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δῆλοι καὶ ἐλεύθεροι παραγένωνται, καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητεμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, ἕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν
2 γεγενημένων· εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ, ὅτι τῶν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς
3 οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες· ἔτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις πεπλασμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύ-
4 γων ἕτως ἀκριβεῖς ἐλέγχους; ἀλλ' οὐχ ἡμεῖς· ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τότους δὲ φεύγοντας ἕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λάβε δὴ αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας. ΜΑΡΤΥΡΙΑΙ.

1 ε'. Τίνας εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι τοὺς χρωμένους τῷ πάππῳ· μεμαρτυρήκασι τοίνυν ἀκοὴν ἕτοι· τίνας εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς ἀνάγκη;

(4) Ἀλλ' ἔχ ἕτως ἡμεῖς] ἀλλὰ πρότερον μὲν ἀποδείξομεν, ὅτι ἡμεῖς μὲν ἠξιώσαμεν ἐλθεῖν εἰς βασάνους τῶν οἰκετῶν ὑπὲρ τῶν μελλόντων μαρτυρηθήσεσθαι, ὅτοι δὲ ἔφυγον ταῦτα, ἕτως δ' ἔπειτα οἰησόμεθα καὶ τλ. ὁ μὲν νῦς, οἶμαι, ἕτως ἔχει· τὸ δὲ κείμενον πάντη συγκέχυται· μήτι δὲ γραπτέον μᾶλλον ἀποδείξαντες ἀντὶ τοῦ, ἀξιώσαντες; ἢ ἀναπληρωτέον ἕτω μεταξαλόντας· οἷον ἀποδείξαντες ἀξιῶσαι εἰς βασάνους ἐλθεῖν, τότους δὲ πεφευγέναι, ἕτως καὶ τλ.

(1) Μεμαρτυρήκασιν ἀκοήν·) οὐκ ἰδόντες ταῦτα, ἀλλ' ἀκούσαντες· (4) ἵνα

τοὺς ἐγγυησαμένους, καὶ τοὺς ἐκείνοις παρόντας, ὅτε ἐνεγγυῶντο· μεμαρτυρήκασι τοίνυν οἱ Ναυσιμένους προσήκοντες, καὶ οἱ τοῦ ἐμοῦ πατρός· τίνες δὲ οἱ τρεφομένην ἔνδον, καὶ θυγατέρα οὖσαν εἰδότες γνησίαν Κίρωνος; οἱ νῦν ἀμ- 3
φισβητοῦντες ἔργῳ φανερῶς μαρτυροῦσιν, ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, φεύγοντες τὴν βάσανον· ὥστε οὐδήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσητε εἰκότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν· ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχομεν 4
ἐπεῖν, ἵνα γνῶτε, ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνος ἐσμέν· οἷα γὰρ εἰκὸς πάππον υἱέων ἐξ αὐτοῦ θυγατρὸς, οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ' εἴτε μικρὰ, εἴτε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς, καὶ συνεθύομεν· καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλέμεθα, ἀλλὰ 5
καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς· καὶ μετ' ἐκείνου τε ἐθεωροῦμεν, καθήμενοι παρ' αὐτὸν, καὶ τὰς ἑορτὰς ἤγομεν παρ' ἐκείνῳ πάσας, τῷ Διΐ τε θύων τῷ κτησίῳ, περὶ ἧς μάλιστ' ἐκεῖνος θυσίαν ἐσπούδαζε, καὶ ὅτε δοῦλος προσῆγεν, ὅτε ἐλευθέρους οὐδενός, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ πάντ' ἐποίει, ταύτης ἡμεῖς συνεκοινωνοῦμεν, καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν, καὶ συνετίθεμεν, καὶ τἄλλα συνεποιοῦμεν· καὶ ηὔχετο ἡμῖν ὑγιείαν διδόναι, καὶ κτῆσιν ἀγαθὴν, ὥσπερ εἰκὸς, ὄντα πάππον· καίτοι εἰ μὴ θυγατριδοῦς ἡμᾶς ἐνόμιζεν εἶναι, καὶ μόνους ἐκγόνους ἑώρα λοιποὺς καταλελειμμένους αὐτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων οὐδὲν, ἀλλὰ τόνδ' ἂν αὐτῷ παρίσατο, ὃς ἀδελφιδοῦς αὐτοῦ νῦν εἶναι φησί· καὶ ταῦθ' 8
ὅτι ἀληθῆ πάντ' ἐστὶν, ἀκριβέσατα μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, ὃς αὐτὸς παραδοῦναι εἰς βάσανον οὐκ ἠθέλησεν· ἴσασι δὲ περιφανέσατα καὶ τῶν ἐκείνῳ χρωμένων 9

γνῶτε] ἕτως ἔγραψα ἀντὶ τοῦ, ἵνα γνώσησθε· ὅπερ ἁμάρτημα, οἶμαι, ἀντιγραφέων ἐστί.

τινές· ὃς παρέξομαι μάρτυρας. Καί μοι λάβε τὰς μαρτυρίας, καὶ ἀνάγνωθι. ΜΑΡΤΥΡΙΑΙ.

1 ς'. Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι μόνον, ὅτι ἦν ἡμῶν ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔγραξε, καὶ ἐξ ὧν καὶ αἱ γυναῖκες αἱ τῶν δημο-
2 τῶν περὶ αὐτῆς ἐγίνωσκον· ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἰσίασε, καὶ ἐκάλεσε τρεῖς αὐτῷ φίλους μετὰ τῶν αὐτῷ προσηκόντων, καὶ τοῖς φράτορσι γαμηλίαν εἰσήνεγκε, κατὰ τοὺς ἐκείνων νόμους· αἵ τε γυναῖκες ἐκ τῶν δημοτῶν μετὰ ταῦτα πρῶκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναικὸς, τῷ Πιτθέως, ἄρχειν εἰς τὰ Θεσμοφό-
3 ρια, καὶ ποιεῖν τὰ νομιζόμενα μετ' ἐκείνης· ὅ, τε πατὴρ ἡμῶν, ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτορας ἡμᾶς εἰσήγαγεν, ὁμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους, ᾗ μὴν ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς εἰσάγειν· τῶν δὲ φρατόρων οὐδεὶς ἀντεῖπεν, οὐδ' ἠμφισβήτησε μὴ ἐκ ἀληθῆ ταῦτα εἶ-
4 ναι, πολλῶν ὄντων, καὶ ἀκριβῶς ταῦτα σκοπουμένων· καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοιαύτη τις ἦν ἡ μήτηρ ἡμῶν, οἵαν ἔτοι φασὶ, μήτ' ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν, καὶ γαμηλίαν εἰσενεγκεῖν, ἀλλὰ ἀποκρύψασθαι ταῦτα πάντα·
5 μήτε τὰς τῶν ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐτὴν συνιεροποιεῖν τῇ Διοκλέους γυναικὶ, καὶ κυρίαν ποιεῖν
6 ἱερῶν, ἀλλ' ἑτέρᾳ ἄν τινι περὶ τούτων ἐπιτρέπειν· μήτε τοὺς φράτορας εἰσδέχεσθαι ἡμᾶς, ἀλλὰ κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμολογούμενον τὴν μητέ-
7 ρα ἡμῶν εἶναι θυγατέρα γνησίαν Κίρωνος· νῦν δὲ τῇ περιφανείᾳ τοῦ πράγματος, καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς, οὐδαμόθεν ἠμφισβητήθη τοιοῦτον οὐδέν· καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

1 ζ'. Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν ὁ Διοκλῆς ἔπρα-

ξεν, ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον, ὅτι ὡμολογημένα εἶναι θυγατριδοῖ Κίρωνος· ἦκον γὰρ ἐγὼ 2
κομιούμενος αὐτὸν, ὡς θάψων ἐκ τῆς οἰκίας τῆς ἑαυτοῦ, οἰκεῖον τινὰ ἔχων, ἀνεψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔνδον, εἰσελθὼν δὲ εἴσω, νομίζειν οἷος ἦν, ἔχων τοὺς οἴσοντας· δεομένης δὲ τῆς τοῦ πάππου γυναι- 3
κὸς, ἐκ τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης, ὅτι βέλοιτ' ἂν αὐτὴ τὸ σῶμα ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες· καὶ τούτῳ προσελθὼν, μαρτύρων ἐναν- 4
τίον εἶπον, ὅτι ἐντεῦθεν ποιήσομαι τὴν ταφήν· δεδεημένη γὰρ ἦν ταῦτα ποιεῖν ἡ τούτου ἀδελφή· καὶ ταῦτα Διοκλῆς ἀκούσας οὐδὲν ἀντεῖπεν, ἀλλὰ ἐωνῆσθαί τι τῶν εἰς τὴν ταφήν· τὸν δὲ ἀρραβῶνα δεδωκέναι ἔτος φάσκων, ταῦτα 5
ἠξίου παρ' ἐμοῦ λαβεῖν· καὶ διωμολογήσατο τῶν μὲν ἠγορασμένων τιμὴν ἀπολαβεῖν, οἷς δὲ ἀρραβῶνα ἔφασκε δεδωκέναι, συσῆσαι τοὺς λαβόντας· εὐθὺς ἓν τοῦτο παρε- 6
φθέγγετο, ὡς ἐδοτιοῦν εἴη Κίρων καταλελοιπὼς, οὐδένα λόγον ἐμοῦ ποιουμένου περὶ τῶν ἐκείνου χρημάτων· καίτοι εἰ μὴ ἦν θυγατριδοῦς Κίρωνος, ἐκ ἂν ταῦτα διωμολογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε· σὺ δὲ τίς εἶ; σοὶ δὲ 7
τὶ προσήκει θάπτειν; ὃ γινώσκω σε· ὃ μὴ εἰσίης τὴν οἰκίαν· ταῦτ' εἰπεῖν προσῆκεν, ἅπερ νῦν ἑτέρους πέπεικε λέγειν. νῦν δὲ τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἔω δὲ τἀργύριον ἐκέλευεν εἰσενεγκεῖν. καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

η'. Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμφισβη- 1
τῶν τοῦ κλήρου, τοιοῦτον εἶπεν οὐδέν, ἀλλ' ὑπὸ τούτου πα-

(4) Δεδεημένη γὰρ ἦν] ἣν ἔγραψα ἀντὶ τοῦ, ἔνι· (5) ταῦτα ἠξίου] ταῦτα τὰ δεδαπανημένα· τὸν ἀρραβῶνα· συγκέχυται ὅμως.

ρασκευαωθεὶς ἀμφισβητεῖ· κἀκείνῳ τὸ μὲν παρ' ἐμοῦ κομισθὲν ἀργύριον οὐκ ἐθελήσαντος ἀπολαβεῖν, παρὰ δὲ τοῦδ' ἀπειληφέναι τῇ ὑσεραίᾳ φάσκοντος, οὐκ ἐκωλυόμην συνθάπτειν, ἀλλὰ πάντα συνεποίουν, οὐχ ὅπως τοῦδε ἀναλίσκοντος, οὐδὲ Διοκλέους, ἀλλ' ἐξ ὧν ἐκεῖνος κατέλιπε, γινομένων τῶν εἰς αὐτὸν ἀναλωμάτων. καίτοι γε τοῦτον προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν, ἐκβάλλειν, γε κωλύειν συνθάπτειν. οὐδὲν γὰρ ὅμοιον ἦν μοι πρὸς τοῦτον. ἐγὼ μὲν γὰρ εἴων αὐτὸν, ἀδελφιδοῦν ὄντα τοῦ πάππου, ταῦτα πάντα συμποιεῖν· τούτῳ δὲ μ' οὐ προσῆκεν ἐᾶν, εἴπερ ἀληθῆ ταῦτα ἦν, ἅπερ νῦν λέγειν τολμῶσιν. ἀλλ' ὅτω τῇ τοῦ πράγματος ἀληθείᾳ κατεπέπληκτο, ὥσ' οὐδ' ἐπὶ τοῦ βήματος ἐμοῦ ποιουμένου λόγους, γε κατηγοροῦντος Διοκλέους, ὅτι τὰ χρήματα ἀποξερῶν, τοῦτόν μοι πέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλμησε γρύξαι τὸ παράπαν οὐδέν, ἔτ' εἰπεῖν, ἃ νῦν τολμᾷ λέγειν. γε ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΤΡΕΣ.

Ϛ'. Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα, πρὸς θεῶν; οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόθεν δ' ἀπιστεῖν τοῖς τούτων λόγοις; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. πῶς ἂν οὖν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν, ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς; τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυροῦντας παρεχόμενος· τῶν δὲ ἔτι ζώντων τοὺς εἰδότας ἕκαστα τούτων, οἳ συνήδεσαν παρ' ἐκείνῳ τρεφομένην, θυγατέρα νομιζομένην, δὶς ἐκδοθεῖσαν, δὶς ἐγγυηθεῖσαν. ἔτι δὲ περὶ πάντων τούτων βάσανον ἐξ οἰκετῶν πεφευγότας, οἳ ταῦτα πάντα ᾔδεσαν. ἐγὼ δὲ, μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.

1 (1) Κἀκείνῳ] τοῦ Διοκλέους· (2) παρὰ τοῦδε] τοῦ ἀντιδικαζομένου. (2) ἐξ ὧν ἐκεῖνος] ὁ Κίρων ὁ ἐμὸς πάππος· (3) ᾧ τοῦτον προσῆκεν] τὸν ἀντιδικόμενον· (4) γρύξαι] οὐδὲ μικρὰν φωνὴν προϊέναι, οὐδὲ γρῦ εἰπεῖν.
(3) Μαρτυροῦντας] ὅτως ἔγραψα ἀντὶ τοῦ, μαρτυρόντων, κατὰ τὸ ἑπόμενον σχῆμα τοῦ λόγου.

1 Ἴ. Φέρε δή, γε ὡς προσήκει μοι μᾶλλον ἢ τούτῳ τῶν Κίρωνος χρημάτων, νῦν ἤδη τοῦτο ἐπιδείξω. γε νομίζω μὲν ἁπλῶς γε ὑμῖν ἤδη εἶναι φανερὸν, ὅτι οὐκ ἐγγυτέρω τῆς ἀγχιστείας εἰσὶν οἱ μετ' ἐκείνου φύντες, ἢ οἱ ἐξ ἐκείνου γεγονότες. πῶς γάρ; οἱ μὲν γὰρ ὀνομάζονται συγγενεῖς, οἱ δ' ἔκγονοι τοῦ τελευτήσαντος. οὐ μὴν ἀλλ' ἐπειδὴ γε ἔστως ἐχόντων τολμῶσιν ἀμφισβητεῖν, γε ἐξ αὐτῶν τῶν νόμων ἀκριβέστερον διδάξομεν. εἰ γὰρ ἔζη μὲν ἡ ἐμὴ μήτηρ, θυγάτηρ δὲ Κίρωνος, μηδὲν δὲ ἐκεῖνος διαθέμενος ἐτελεύτησεν, ἦν δὲ ἀδελφὸς ἔτος αὐτῷ, μὴ ἀδελφιδοῦς, συνοικῆσαι μὲν ἂν τῇ γυναικὶ κύριος ἦν· τῶν δὲ χρημάτων οὐκ ἂν ἄλλοι ἢ οἱ γενόμενοι παῖδες ἐκ τούτου γε ἐξ ἐκείνης, ὁπότε ἐπὶ δίετες ἠβήσειαν. ἕτω γὰρ οἱ νόμοι κελεύουσιν. εἰ τοίνυν γε ζώσης κύριος αὐτὸς μὴ ἐγένετο τῶν τῆς γυναικὸς, ἀλλ' οἱ παῖδες, δῆλον, ὅτι γε τετελευτηκυίας, ἐπεὶ παῖδας ἡμᾶς καταλέλοιπεν, οὐ τούτοις, ἀλλ' ἡμῖν προσήκει κληρονομεῖν τῶν χρημάτων. οὐ τοίνυν ἐκ τούτου μόνον, ἀλλὰ γε ἐκ τοῦ περὶ τῆς κακώσεως νόμου, δῆλόν ἐστιν. εἰ γὰρ ἔζη μὲν ὁ πάππος, ἐνδεὴς δὲ ἦν τῶν ἐπιτηδείων, οὐκ ἂν ἔτος ὑπόδικος ἦν τῆς κακώσεως, ἀλλ' ἡμεῖς. κελεύει γὰρ τρέφειν τοὺς γονέας· γονεῖς δ' εἰσὶ, μήτηρ γε πατήρ, γε πάππος γε τήθη· γε τούτων μήτηρ γε πατὴρ, ἐὰν ἔτι ζῶσιν. ἐκεῖνοι γὰρ ἀρχὴ

1 (1) Οἱ μετ' ἐκείνου φύντες] μετ' ἐκείνου τοῦ Κίρωνος γεννηθέντες· οἵτινες ἂν εἶεν οἱ ἀδελφοί· (4) τῶν δὲ χρημάτων] κύριοι γένοιτ' ἄν· (4) ἐπὶ δίετες] ἐπὶ δύο ἔτι μετὰ τὴν ἥβην· ὅ ἐστιν ὀκτωκαιδεκαετεῖς.

τῶ γένως εἰσὶ, ϗ τὰ ἐκείνων παραδίδοται τοῖς ἐγγόνοις, διόπερ ἀνάγκη τρέφειν αὐτές ἐσι, κἂν μηδὲν καταλίπωσι.

1 ιά. Πῶς ἦν δίκαιόν ἐσιν, ἐὰν μὲν μηδὲν καταλίπωσιν, ἡμᾶς ὑποδίκως εἶναι τῆς κακώσεως, ἣν μὴ τρέφωμεν· εἰ δέ τι καταλελοίπασι, τόνδ' εἶναι κληρονόμον, ἀλλὰ μὴ
2 ἡμᾶς; ἐδαμῶς δήπωθεν. πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, ϗ τῶ γένως καθ' ἕκασον ὑμᾶς ἐρωτήσω· ἔᾳσα γὰρ ἕτω μάθοιτ' ἄν. Κίρωνος θυγάτηρ ἢ ἀδελφὸς ἐγγυτέρω τῶ γένως ἐσί; δῆλον γὰρ θυγάτηρ.
3 ἡ μὲν γὰρ ἐξ ἐκείνω γέγονεν, ὁ δὲ μετ' ἐκείνω. θυγατρὸς δὲ παῖδες, ἢ ἀδελφός; παῖδες δήπωθεν. γένος
4 γὰρ, ἀλλ' ἐχὶ συγγένεια, τῦτ' ἔσιν. εἰ δὴ προέχομεν ἀδελφῶ τοσῦτον, ἧπω τῶδέ γ' ὄντος ἀδελφιδῶ, πάμ-
5 πολυ πρότεροι ἐσμέν. δέδοικα δὲ μὴ λίαν ὁμολογέμενα λέγων, ἐνοχλεῖν ὑμῖν δόξω. πάντες γὰρ ὑμεῖς τῶν πατρώων, τῶν παππώων, τῶν ἔτι περαιτέρω κληρονομεῖτε, ἐκ γένως παρειληφότες τὴν ἀγχισείαν ἀνεπίδικον.
6 ϗ ἐκ οἶδ' εἴτινι προτῶ πώποτε τοιῦτος ἀγὼν συμβέβηκεν. ἀναγνὼς ἦν τὸν τῆς κακώσεως νόμον, ὧν ἕνεκα τἄλλα γίγνεται, ϗ ταῦτ' ἤδη πειράσομαι διδάσκειν.

ΝΟΜΟΣ.

1 ιβ'. Κίρων γὰρ ἐσίαν ἐκέκτητο, ὦ ἄνδρες· ἀγρὸν μὲν Φλυῆσι, ϗ ταλάντω ῥᾳδίως ἄξιον, οἰκίας δ' ἐν ἄσει δύο· τὴν μὲν μίαν, μισθοφορῦσαν, παρὰ τὸ ἐν λίμναις
2 Διονύσιον, διχιλίας εὑρίσκωσαν· τὴν δ' ἑτέραν, ἐν ᾗ αὐτὸς ᾤκει, τριῶν ϗ δέκα μνῶν. ἔτι δὲ ἀνδράποδα μισθοφορῦντα ϗ δύο θεραπαίνας, ϗ παιδίσκην, ϗ ἔπιπλα,

(2) Προσάξω] τὸν λόγον· ἢ ἑμαυτόν· εἰ μήτι γραπτέον, προσέξω.
(1) Καὶ ταλάντω] προσθετικὸς ϗ αὐξητικὸς ὁ Καί· (1) δισχιλίας] δραχμὰς τὸ ἐνοίκιον εὑρίσκωσαν· (2) δύο θεραπαίνας ϗ παιδίσκην] διαφορὰ δὲ τούτων τὶς ἂν εἴη; δοκεῖ δ' ὅτι ἡ παιδίσκη ἦν τιμιωτέρα ἐν ταῖς θε-

δι' ὧν ᾤκει τὴν οἰκίαν, σχεδὸν σὺν τοῖς ἀνδραπόδοις ἄξια τρισκαίδεκα μνῶν. σύμπαντα δὲ ὅσα φανερὰ ἦν, 3
πλέον ἢ ἐνενήκοντα μνῶν. χωρὶς δὲ τούτων, δανείσματα ἐκ ὀλίγα, ἀφ' ὧν ἐκεῖνος τόκως ἐλάμβανε. τούτοις Διοκλῆς μετὰ τῆς ἀδελφῆς πάλαι ἐπεβάλευεν· ἐπεὶ δὲ 4
τάχισα οἱ παῖδες οἱ Κίρωνος ἐτελεύτησαν, ἐκείνην μὲν ἐκ ἐξεδίδε. δυναμένην ἔτι τεκεῖν παιδας ἐξ ἑτέρω ἀνδρὸς, ἵνα μὴ χωριωθείσης περὶ τῶν αὐτῦ βυλεύσαιτο, καθάπερ προσῆκεν· ἔπειθε δὲ μένειν, φάσκωσαν ἐξ αὐτῦ κύειν 5
οἴεσθαι, προσποιεμένην δὲ διαφθείρειν ἄκεσαν· ἵν' ἐλπίζων ἀεὶ γενήσεσθαι παῖδας αὐτῷ, μηδέτερον ἡμῶν εἰσποιήσαιτο υἱόν. ϗ τὸν πατέρα διέβαλλεν ἀεὶ, φάσκων 6
αὐτὸν ἐπιβυλεύειν τοῖς ἐκείνω.

ιγ'. Τάτε ἦν χρέα πάντα ἀφειλετο αὐτῷ, ϗ τόκως 1
ἔπειθε τάγε φανερὰ δι' αὐτῦ, παράγων ἄνδρα πρεσβύτερον θεραπείαις ϗ μαλακίαις, ἕως ἅπαντα τὰ ἐκείνω περιέλαβεν· εἰδὼς δὲ, ὅτι πάντων ἐγὼ τούτων κατὰ τὸ 2
προσῆκον εἶναι κύριος ζητήσω, ὁπότε ὁ πάππος ἐτελεύτησεν, εἰσιέναι μέν με ϗ θεραπεύειν ἐκεῖνον ϗ συνδιατρίβειν ἐκ ἐκώλυε, δεδιὼς μὴ τραχυνθεὶς εἰς ὀργὴν κατασαίην πρὸς αὐτόν. παρεσκεύαζε δέ μοι τὸν ἀφισβητήσοντα 3
τῆς ἐσίας· μέρος πολλοσὸν τούτω μεταδιδὺς, εἰ κατορθώσειεν, αὐτῷ δὲ ταῦτα πάντα περιποιῶν, ϗ ἐδὲ πρὸς τοῦτον ὁμολογῶν τὸν πάππον χρήματα καταλιπεῖν, ἀλλ' εἶναι φάσκων ἐδέν. ϗ ἐπειδὴ τάχισα ἐτελεύτησεν, 4
ἐντάφια προπαρασκευασάμενος, τὸ μὲν ἀργύριον ἐμὲ ἐκέλευεν ἐνεγκεῖν, ὡς τῶν μαρτύρων ἡκέσατε μαρτυρησάν-

ραπαίναις ϗ οἰκειοτέρα πρὸς τὸν δεσπότην· (3) μετὰ τῆς ἀδελφῆς] τῦ Κίρωνος.
(1) Καὶ τόκους ἔπειθε] ἀναπληροῖ δὲ Reiskius τυτὶ ἀτωσί· καὶ τόκως ἔπειθε (πράττεσθαι, ϗ δικεῖν πάντα) τάγε φανερὰ δι' αὐτῦ· (2) ἐκ ἐκώλυε] προσέθηκα τὸ, ἐκ, ἀρνητικὸν, ὡς ἀπαιτούμενον ἐκ τῶν ἑπομένων.

των· ἀπειληφέναι δὲ παρὰ τῆδε προσεποιεῖτο, παρ' ἐμῆ δὲ ἐκέτι ἤθελεν ἀπολαβεῖν· ὑποπαρωθῶν, ὅπως ἐκεῖ-
6 νος δοκοίη θάπτειν, ἀλλὰ μὴ ἐγώ, τὸν πάππον. ἀμφισβητέντος δὲ τότε ἐκ τῆς οἰκίας ταύτης, ἐκ τῶν ἄλλων, ὧν ἐκεῖνος κατέλιπε, καὶ ἐδὲν φάσκοντος καταλελοιπέναι, βιάσασθαι μὲν καὶ τὸν πάππον μεταφέρειν ἐν ταῖς τοιαύταις ἀκαιρίαις οὐκ ὤμην δεῖν, τῶν φίλων μοι ταῦτα συγγινωσκόντων· συνεποίεν δὲ καὶ συνέθαπτον, ἐξ ὧν ὁ πάππος κατέλιπε τῶν ἀναλωμάτων γινομένων.

1 ιδ'. Καὶ ταῦτα μὲν ἔτως ἀναγκασθεὶς ἔπραξα τέτον τὸν τρόπον· ὅπως δὲ μηδέν με ταύτῃ πλεονεκτοῖεν, παρ' ὑμῖν φάσκοντες ἐδέν με εἰς τὴν ταφὴν ἀνηλωκέναι, τὸν ἐξηγητὴν ἐρόμενος, ἐκείνε κελεύσαντος, ἀνήλωσα παρ' ἐμαυτῦ· καὶ τὰ ἔνατα ἐπήνεγκα, ὡς οἷόν τε κάλλισα παρασκευάσας, ἵνα αὐτῶν ἐκκόψαιμι ταύτην τὴν ἱεροσυ-
2 λίαν. καὶ ἵνα μὴ δοκοῖεν ἔτοι μὲν ἀνηλωκέναι πάντα, ἐγὼ δὲ ἐδέν, ἀλλ' ὁμοίως κἀγώ. καὶ τὰ μὲν γεγενημένα, καὶ δι' ἃ τὰ πράγματα ταῦτ' ἔχομεν, χεδόντι ταῦτ' ἐσὶν,
3 ὦ ἄνδρες. εἰ δὲ εἰδείητε τὴν Διοκλέες ἀναισχυντίαν, καὶ περὶ τὰ ἄλλα οἷός ἐσιν, οὐκ ἂν ἀπισήσαι τις τῶν εἰρημένων ἐδενί. ἔτος μὲν γὰρ εἶχε τὴν ἐσίαν, ἀφ' ἧς νῦν ἐσι λαμπρὸς, ἀλλοτρίαν, ἀδελφῶν τριῶν ὁμομητρίων ἐπικλήρων καταλειφθεισῶν, αὐτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας, ἐδεμίαν ἐκείνε περὶ τέτων ποιησαμένε διαθήκην.
4 ταῖν δ' ἀδελφαῖν ταῖν δυοῖν, ἐπειδὴ χρήματα εἰσεπράττετο ὑπὸ τῶν ἐκείναις συνοικέντων, τὸν μὲν τὴν πρεσβυτέραν ἔχοντα κατοικοδομήσας καὶ ἐπιβαλεύσας ἠτίμωσε· καὶ γραφὴν ὕβρεως γραφεὶς, ἐδέποτε τέτων δίκην ἔδωκε·

(3) Ὁμομητρίων] ἀδελφὰς ἔχων τρεῖς ὁμομητρίας, ἐξ ἑτέρε δὲ πατρὸς ὄσας καὶ ἐπικλήρας γενομένας αὐτὸς ἀπωσάμενος αὐτὰς, φέρων ἑαυτὸν εἰσεποιησε τῷ πατρὶ ἐκείνων, ἐκ μηδεμιας διαθήκης· (4) κατοικοδομήσας]

τῆς δὲ μετ' ἐκείνην γενομένης τὸν ἄνδρα ἀποκτεῖναι κε- 5
λεύσας οἰκέτην, ἐκεῖνον μὲν ἐξέπεμψε, τὴν δ' αἰτίαν εἰς τὴν ἀδελφὴν ἔτρεψε. καταπλήξας δὲ ταῖς αὐτῦ βδελυρίαις, προσαφήρηται τὸν ὑὸν αὐτῦ τὴν ὐσίαν ἐπιτροπεύσας· καὶ κατέχει τὸν ἀγρὸν φελεάδα [χωρὶς ἄττα] ἐκείνῳ δέδωκε. καὶ ταῦτα ὡς ὅτι ἀληθῆ λέγω, δεδίασι μὲν 7
αὐτὸν, ἴσως δ' ἄν μοι καὶ μαρτυρῆσαι ἐθελήσειαν· εἰ δὲ μὴ, τὰς εἰδότας παρέξομαι μάρτυρας. καί μοι κάλει δεῦρο αὐτὰς πρῶτον. ΜΑΡΤΥΡΕΣ.

ιέ. Οὕτω τοίνυν ἀσελγὴς ὢν καὶ βίαιος, καὶ τὴν τῶν 1
ἀδελφῶν ὐσίαν ἀπεζερηκὼς, οὐκ ἀγαπᾷ τὰ ἐκείνων ἔχων, ἀλλ' ὅτι δίκην ἐδεμίαν αὐτοῖς δέδωκεν, ἥκει καὶ τὰ τῦ πάππε χρήματα ἡμᾶς ἀποζερήσων. καὶ τέτῳ δύο μνᾶς (ὡς ἀκόμεν) μόνας δεδωκὼς, ὐ μόνον περὶ χρημάτων ἡμᾶς, ἀλλὰ καὶ περὶ τῆς πατρίδος εἰς κινδύνες καθίςηςιν. ἐὰν 2
γὰρ ἐξαπατηθῆτε ὑμεῖς, πειθέντες ὡς ἡ μήτηρ ἡμῶν οὐκ ἦν πολῖτις, ὐδ' ἡμεῖς ἐσμέν. μετ' Εὐκλείδη γὰρ ἄρχοντα γεγόναμεν. ἆρα περὶ μικρῶν τινῶν ἡμῖν τὸν ἀγῶνα κατεσκεύακε; καὶ ζῶντος μὲν τῦ πάππε καὶ τῦ πατρὸς, 3

μεταφορικώτερον, ἀντὶ τῦ, καταπιέσας, ξενοχωρήσας· (5) τῆς δὲ μετ' ἐκείνην γενομένης] τῆς δευτέρας ἀδελφῆς· (5) ἐξέπεμψε] πόρρω των Ἀθηνῶν· (6) τὸν ὑὸν αὐτῦ] ἐκείνε, ὃν ἐκέλευσε τῷ οἰκέτῃ ἀποκτεῖναι· (6) φελεάδα] ὑπόλιθον χωρίον, ὅσον ἐκ τῶν Ἀρποκρατίωνι εἰρημένων ἐσιν εἰκάσαι· φησὶ γὰρ (τῦ χωρίε τότε μεμνημένος) τὰ πετρώδη καὶ αἰγίβωτα χωρία φιλέας ἐκάλεν. Κρατῖνος Ὥραις. Ἀριςοφάνης Νεφέλαις·

,,Ὅταν μὲν ἄν τὰς αἶγας ἐκ τῦ Φιλέως,
,,Ὥσπερ ὁ πατὴρ ὠν διφθέραν ἐνημμένος.

ἦν δ' ὁ Φιλεὺς τόπος τῆς Ἀττικῆς ὅτω καλεμένος τραχύς· αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ ὀρεινότερα διάγεσιν· ἀπὸ τότε καὶ φιλέτας λέγεσιν οἱ Δωριεῖς τὰς κισιρώδεις λίθες· ἐκ τότων ἂν γραπτέον εἶναι δοκεῖ, φιλλέας, ὡς Ῥείσκη εἰκάζεται· ἵν' ᾖ τὸ ὅλον οὕτω· καὶ κατέχει μὲν τὸν ἀγρὸν αὐτός· φιλλέας δὲ ἐκείνῳ δέδωκε, χωρία τινα· τὸ δὲ, χωρία ἄττα, πιθανὸν ἐπεξήγησιν ἑτέρας εἶναι χειρὸς, ὡς καὶ Ῥείσκης εἰκάζει· (7) δεδίασι μὲν αὐτὸν] προσποιεῖται βέλεθαι μὲν καλεῖν τινὰς μαρτυρήσοντας, ὑποπτεύειν ὅμως, μὴ δέει τῷ Διοκλέες ἀποτύχῃ.

(1) Τέτῳ δύο μνᾶς] τέτῳ τῷ ἀντιδίκῳ, μόνον ἵνα φαίνηται ἀμφισβητῶν,

ἐμὸν ἀρρωστοῦντα, ἐμὲ δὲ οὐκ ἐπιδημοῦντα, αὐτοὶ καὶ πρόσθεντο καὶ τἆλλα πάντα τὰ νομιζόμενα ἐποίησαν, καὶ τὸν ἐμὸν πάτερα ἀνενεγκόντα ἐπὶ τὸ μνῆμα ἤγαγον, εὖ εἰδότες, ὅτι ἀσπάζοιτο αὐτὸν Ἀ'σύφιλος. τάτε δ' ὑμῖν αὐτοὺς τοὺς ἐκείνε, μάρτυρας παρέξομαι τῶν παρόντων.

ΜΑΡΤΥΡΕΣ.

β'. Ὅτι μὲν οὖν ἐκ ἔθαψε Κλέων Ἀ'σύφιλον, οὐδ' αὐτὸς ἔξαρνος γένοιτο, μεμαρτύρηταί τε ὑμῖν. ὡς δ' ἐπεδήμησα ἐγὼ, καὶ ἠθόμην καρπεμένης τάτης τὰ ἐκείνε, ὁ δὲ υἱὸς αὐτοῦ ποιηθείη ὑπὸ τοῦ Ἀ'συφίλε, καὶ τούτων διαθήκας καταλίποι παρὰ Ἱεροκλεῖ Ἠφαιστείδη, ἀκούσας ἐγὼ λέγοντος αὐτοῦ ταῦτα, ἐπορευόμην παρὰ τὸν Ἱεροκλέα. εὖ μὲν εἰδὼς, ὅτι ὡς οἷόν τε μάλιστα ἐπιτήδειος εἴη Κλέωνι, οὐκ ἡγούμενος δ' ἂν αὐτὸν τολμῆσαί τι ψεύσασθαι κατὰ Ἀ'συφίλε τετελευτηκότος, καὶ ταῦτα θεῖον ὄντα καὶ ἐμοῦ καὶ ἐκείνε. ὅμως δὲ, ὦ ἄνδρες, οὐδὲν τούτων ὑπολογισάμενος ὁ Ἱεροκλῆς, ἐρωτώμενος ὑπ' ἐμοῦ ἀπεκρίνατό μοι, ὅτι ἔχοι τὰς διαθήκας. λαβεῖν δὲ ἔφη αὐτὰς παρὰ Ἀ'συφίλε, ὅτε εἰς Μιτυλήνην ἔμελλεν ἐκεῖνος ἐκπλεῖν. ὡς δὲ ταῦτ' ἔλεγεν, ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν. Μαρτυρία ὅτι Ἱεροκλῆς ἀπεκρίνατο.

γ'. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες, οὔτε παραγενόμενος οὐδεὶς ἔτυχε τῶν οἰκείων, ὅτε ὁ ἀδελφὸς ἐτελεύτησεν, οὔτε ἐγὼ ἐπεδήμην, ὅτε τὰ ὀσᾶ αὐτοῦ δεῦρο ἐκομίσθη, ἀναγκαῖόν μοι ἐξ αὐτῶν, ὧν ἔτοι λέγουσιν, ἐλέγχειν ψευδεῖς ὄσας τὰς διαθήκας, ἃς ἐποιήσατο. εἰκὸς γὰρ ἐκεῖνον ἐ μόνον ἐπιθυμεῖν υἱὸν ποιησάμενον καταλιπεῖν, ἀλλὰ καὶ σκοπεῖσθαι, ὅπως κυριώτατα ἔσαι, ἃ ἂν διαθῆται· καὶ τήν τε οὐσίαν, ὃν ἂν ἐκεῖνος εἰσποιήσηται, ἔτος

(5) Ὅτι ἰατροκλῆς ἀπεκρίνατο] ἐπεξήγησις τατο σαφῶς τῦ, Μαρτυρίᾳ ἐξ ἑτέρας χειρὸς εἰσαχθὲν· ὅθεν ἐξαλειπτέον ἂν εἴη.

ἔξει, καὶ ἐπὶ τὰς βωμὰς τὰς πατρῴας ἵτος βαδιεῖται, καὶ τελευτήσαντι αὐτῷ καὶ τοῖς ἐκείνε προγόνοις τὰ νομιζόμενα ποιήσει. ἅπαντα δὲ ταῦτα μάλιστα εἰδέναι ὅτι γένοιντο, εἰ μὴ ἄνευ τῶν οἰκείων τῶν ἑαυτῦ τὰς διαθήκας ποιοῖτο· ἀλλὰ πρῶτον μὲν συγγενεῖς παρακαλέσας, ἔπειτα δὲ φράτορας καὶ δημότας, ἔπειτα τῶν ἄλλων ἐπιτηδείων ὅσας δύναιτο πλείστας. ἕτω γὰρ εἴτε κατὰ γένος, εἴτε κατὰ δόσιν ἀμφισβητοίη τις, ῥᾳδίως ἂν ἐλέγχοιτο ψευδόμενος. ὁ τοίνυν Ἀ'σύφιλος οὐδὲν φαίνεται τοιῦτον ποιήσας, οὐδὲ παραξησάμενος οὐδένα τάτων, ὅτε διέθετο, ἃ ἔτοι φασίν· εἰ μή τις ἄρα ὑπὸ τάτε πέπεισαι ὁμολογεῖν παρεῖναι. αὐτὸς δ' ὑμῖν πάντας τάτες μαρτυρῆντας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

δ'. Ἴσως τοίνυν Κλέων ἑτοσὶ φησὶν οὐκ εἰκὸς εἶναι τεκμηρίοις ὑμᾶς χρήσασθαι τάτοις τοῖς μάρτυσιν, ὅτι μαρτυροῦσι μὴ εἰδέναι Ἀ'σύφιλον ταῦτα διατιθέμενον. ἐγὼ δ' οἶμαι, περί τε διαθηκῶν ἔσης τῆς ἀμφισβητήσεως, καὶ περὶ τοῦ ποιηθῆναι τινὰ υἱὸν Ἀ'συφίλῳ, ἡμῖν πολὺ βεβαιοτέραν εἶναι τὴν μαρτυρίαν, ἣν οἱ ἀναγκαῖοι ἐκείνε περὶ τῶν μεγίστων μή φασι παραγενέσθαι, μᾶλλον ἢ ἣν οἱ μηδὲν προσήκοντες μαρτυροῦσι παρεῖναι. καὶ ἐχρῆν δ', ὦ ἄνδρες, καὶ αὐτὸν Κλέωνα, μὴ δοκοῦντα εἶναι ἠλίθιον, ὅτε τὸν υἱὸν τὸν τάτε ἐποιεῖτο Ἀ'σύφιλος, καὶ τὰς διαθήκας κατέλιπε, παρακαλέσαι, εἴ γέ τινα συγγενῆ ἐπιδημοῦντα ἐγίνωσκε, καὶ τοὺς ἄλλος ὅτῳ ἐπὶ βραχύ περ ἤδει Ἀ'σύφιλον χρώμενον. κωλύσαι μὲν γὰρ οὐδεὶς ἂν αὐ-

(4) Εἰδέναι ὅτι γένοιντο] εἰκὸς ἦν εἰδέναι, ὅτι γένοιντο μάλιστα· (7) πάντας τάτες] τινας ἄλλος, ἢ τοὺς εἰρημένους αὐτῷ μικρὸν ἀνωτέρω, οἷον, συγγενεῖς, φράτορας, δημότας, ἐπιτηδείος.

(2) Ἦν οἱ ἀναγκαῖοι — μᾶλλον ἢ ἣν] ἕτως ἐπανέλαβον τὴν ἀρχαίαν γραφὴν, ἣν, γράψας ὡς ἄρθρον ἀντὶ τοῦ, ἣν, συνδέσμε, εἰς ὃ ἔτρεψεν ὁ Ῥείσκης· οὐδεὶ γὰρ, εἴπερ, καὶ πρὸς ὑποτακτικὸν ἀποδίδοσθαι ῥῆμα.

μὲν οἶδεν, ἐξόμνυσθαι, τῶν δὲ μὴ γενομένων πίσιν ἐθέλειν ἐπιθεῖναι ἢ μὴν εἰδέναι γενόμενα) ὡς δὲ, ὅτε ἀπέθνησκεν, ὁ Εὐθυκράτης, ὁ πατὴρ Ἀ'συφίλε, ἐπέσκηψε τοῖς οἰκείοις μηδένα ποτὲ ἐάσειν ἐλθεῖν τῶν Θεοδίππε ἐπὶ τὸ μνῆμα τὸ ἑαυτοῦ, τούτων ὑμῖν τὸν ἔχοντα τὴν τηθίδα τοῦ Ἀ'συφίλε μάρτυρα παρέξομαι. ΜΑΡΤΥΡΙΑ.

1 ή. Ἀκόων τοίνυν ταῦτα ὁ Ἀ'σύφιλος ὑπ' τούτων ὑπ' τῶν ἄλλων προσηκόντων, ἐκ παίδων, ἐπειδὴ τάχιστα ἤρχετο φρονεῖν, ἐδεπώποτε διελέχθη Κλέωνι, ἀλλὰ πρότερον ἐ-
2 τελεύτησεν, ἐχ ἡγέμενος ὅσιον εἶναι, τοιαύτην αἰτίαν ἔχοντος Θεοδίππε περὶ τὸν αὐτοῦ πατέρα, τῷ ἐκείνε υἱεῖ
3 διαλέγεσθαι· ὡς οὖν τὸν ἅπαντα χρόνον διάφορος ἦν Κλέωνι, τούτων ὑμῖν τὸς συνειδότας μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

1 θ'. Εἰς τὰς θυσίας τοίνυν, ἐν αἷσπερ οἱ ἄλλοι Ἀθηναῖοι ἐσιῶνται, πρῶτον μὲν δημότην ὄντα, ἔπειτα ἀνεψιὸν, ἔτι δὲ τὸν υἱὸν τὸν τότε μέλλοντα ποιεῖσθαι, εἰκὸς δήπε ἦν, ὁπότε περ ἐπιδημοίη, μηδὲ μεθ' ἑνὸς ἄλλε ἰέναι τὸν Ἀ'σύφιλον, ἢ μετὰ Κλέωνος· ὡς τοίνυν ἐδέποτ' ἦλθε μετ' αὐτοῦ, ὑμῖν τῶν δημοτῶν μαρτυρίαν ἀναγνώσεται. ΜΑΡΤΥΡΙΑ.

1 ι'. Οὕτως τοίνυν διακείμενος τῷ τετελευτηκότι Κλέωνι, ἀξιοῖ τὸν υἱὸν τὸν ἑαυτοῦ τὰ ἐκείνου ἔχειν· καὶ τί δεῖ τοῦτον λέγειν; ἀλλ' Ἱεροκλῆς, θεῖος ὢν καὶ ἐμοὶ, ἅτ-
τως ἐξὶ τολμηρὸς, ὥσε ὑ γενομένας διαθήκας ἤκει φέρων, ὑ φησι παρ' ἑαυτῷ Ἀ'σύφιλον ταύτας καταλιπεῖν·
2 καίτοι, Ἱερόκλεις, πολλὰ κἀγαθὰ παθὼν ὑπὸ Θεοφράσε, τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅτε χεῖρον ἔπραττες ἢ νυνὶ, ὑ ὑπὸ
3 Ἀ'συφίλε, ὑδετέρῳ αὐτοῖν τὴν ἀξίαν χάριν ἀποδίδως· ἐμὲ μὲν γὰρ, υἱὸν ὄντα Θεοφράσε, σαυτῷ δὲ ἀδελφιδοῦν, ἀποξερεῖς ἄμοι οἱ νόμοι ἔδοσαν· Ἀ'συφίλε δὲ τεθνεῶτος

καταψεύδη, ὑ τὸ κατὰ σαυτὸν μέρος τὲς ἐχθίσες καθίσης τῶν ἐκείνε κληρονόμες· ὑ πρὶν μὲν ληχθῆναι τοῦ 4
κλήρε, ὦ ἄνδρες, εὖ εἰδὼς ὁ Ἱεροκλῆς, ὅτι ἑδενὶ ἄλλῳ γίνοιτο τὰ Ἀ'συφίλε ἢ ἐμοὶ, ἐν μέρει ἑκάτῳ τῶν ἐκείνε ἐπιτηδείων προσήει πωλῶν τὸ πρᾶγμα, ὑ τὲς ἑδὲν προσήκοντας πείθων ἀμφισβητεῖν, λέγων ὅτι θεῖος εἴη Ἀ'συφίλῳ, ὑ ἀποφαίνοι διαθήκας ἐκεῖνον καταλελοιπότα, 5
εἴ τις αὐτῷ κοινώσαιτο· ἐπειδὴ δὲ πρὸς Κλέωνα διωμολογήσατο, ὑ τῶν τοῦ ἀδελφοῦ ἐμερίσατο, νυνὶ, ὡς ἀληθῆ λέγων, ἀξιώσει πιστεύεσθαι· δοκεῖ δέ μοι κἂν ὀμόσαι 6
ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη· ὑ ἐμοὶ μὲν συγγενὴς ὢν, ἑδὲ τὰ γενόμενα ἐθέλει μαρτυρεῖν· ᾧ δ' ἑδὲν προσήκει, τούτῳ τὰ ψευδῆ συλλαμβάνει, ὑ τῶν οὐ πραχθέντων γραμματεῖον ἥκει φέρων· πολὺ γὰρ πρεσβυτέρον 7
ἡγεῖται εἶναι τὸ χρηματίζεσθαι, ἢ τὴν ἐμὴν συγγένειαν· ὡς δὲ ἐπηγγέλετο περὶ ὧν διαθήκας ἀποφανοῖ, εἴ τις αὐτῷ κοινώσαιτο, αὐτοῦ ὑμῖν, ᾧ προσῆλθε, μαρτυρίαν παρέχομαι. ΜΑΡΤΥΡΙΑ.

ιά. Τί ἓν χρὴ, ὦ ἄνδρες, ὄνομα θέσθαι τούτῳ τῷ ἀν- 1
δρὶ, ὅσις ἐθέλει ὅτω ῥᾳδίως, διὰ τὸ ἑαυτοῦ κέρδος, τῶν τεθνεώτων τινὸς καταψεύδεσθαι; ὡς δὲ ἑδὲ Κλέωνι προῖκα τὰς διαθήκας ἀποφαίνει, ἀλλὰ μισθὸν εἴληφεν, αὕτη 2
ὑμῖν ἡ μαρτυρία ὑ μικρὸν τεκμήριον ἔσαι· τοιαῦτα μέντοι κοινῇ ἐπ' ἐμοὶ τεχνάζεσιν· ἡγεῖται γὰρ αὐτῶν ἑκάτερος 3
εὕρημα ἔχειν ὅ, τι ἂν τῶν Ἀ'συφίλε λάβῃ· ὡς μὲν ὐκ 4
εἰσὶν ἀληθεῖς αἱ διαθῆκαι, ἀλλὰ Κλέων ὑ Ἱεροκλῆς βάλονται ὑμᾶς ἐξαπατῆσαι, καθόσον ἐδυνάμην ἀπέδειξα· ὡς δ', εἰ ὑ μηδὲν προσήκων ἔτυχον Ἀ'συφίλῳ, δικαιότε- 5

(5) Τῶν τοῦ ἀδελφοῦ ἐμερίσαντο] ἄμοι δοκεῖ ὀρθῶς ἔχειν πρὸς γενικὴν οἷον μετοχικῶς· ἐμερίσαντο γὰρ ἑαυτοῖς τὰ τοῦ ἀδελφοῦ, δεῖ λέγειν.

(5) Εἰ ὑ μηδὲν προσῆκον ἔτυχον Ἀ'συφίλῳ] ὁμομήτριοι γὰρ ὄντες, ὑ τὸν

6 ρὸς εἰμὶ ἔχειν τὰ ἐκείνε, ἢ ἔτοι, διδάξω ὑμᾶς· ὅτε γὰρ ἐλάμβανε Θεόφρασος ὁ ἐμὸς πατὴρ τὴν ἐμὴν μητέρα ἐκ Α'συφίλε παρὰ Ἡροκλέες, ἦλθε κὲ αὐτὸν ἐκεῖνον ἔχουσα μικρὸν ὄντα, κὲ διητᾶτο παρ' ἡμῖν τὰν ἅπαντα χρόνον ὁ
7 Α'σύφιλος· κὲ ἐπαιδεύθη ὑπὸ τᾶ πατρὸς τᾶ ἐμᾶ· κὲ ἐπειδὴ ἐγὼ ἐγενόμην, κὲ ὥραν εἶχον παιδεύεσθαι, μετ' ἐκείνου συνεπαιδευόμην· λάβε δέ μοι ταύτην τὴν μαρτυρίαν,
8 εἶτα τὴν τῶν διδασκάλων ὅποι ἐφοιτῶμεν· τὸ τοίνυν χωρίον τὸ ἐκείνε πατρῷον, ὦ ἄνδρες, ὁ πατὴρ ὁ ἐμὸς ἐφύτευε, κὲ ἐγεώργει, καὶ ἐποίει διπλασίε ἄξιον· ἀνάβητε μοι κὲ τέτων μάρτυρες. ΜΑΡΤΥΡΕΣ.

1 ιβ'. Ἐπεὶ τοίνυν ἐδοκιμάσθη ὁ ἀδελφὸς, ἀπέλαβε πάντα ὀρθῶς κὲ δικαίως, ὥσε ἐκεῖνον μηδεπώποτε μηδὲν ἐγκαλέ-
2 σαι τῷ ἐμῷ πατρί· μετὰ δὲ ταῦτα τὴν ἀδελφὴν τὴν ἐκείνε ὁμοπατρίαν ἐνεγγύησεν ὁ ἐμὸς πατὴρ ὅτῳ ἐδόκει αὐτῷ·
3 κὲ ταῦτα τῷ Α'συφίλῳ ἐξήρκει· ἱκανὴν γὰρ ἡγήσατο βάσανον εἰληφέναι ἀπὸ τᾶ πατρὸς τᾶ ἐμᾶ τῆς εἰς αὐτὸν εὐνοίας, ἐκ μικρᾶ παιδίε τεθραμμένος παρ' αὐτῷ· μαρτυροῦσι δὲ ἡμῖν καὶ περὶ τῆς ἐγγύης οἱ εἰδότες.

ΜΑΡΤΥΡΕΣ.

1 ιγ'. Εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Α'σύφιλον παῖδα ἦγε μεθ' ἑαυτᾶ, ὥσπερ κὲ ἐμὲ πανταχῆ· καὶ εἰς τὲς θιάσες τᾶ Ἡρακλέες ἐκεῖνον εἰσήγαγεν, ἵνα μετέχοι τῆς κοινωνίας· αὐτοὶ ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

ΜΑΡΤΥΡΕΣ.

1 ιδ'. Ἐγὼ δὲ, ὦ ἄνδρες, ὡς διεκείμην πρὸς τὸν ἀδελ-

αὐτὸν κὲ πατέρα εἶχον· ὅθεν ὁ κλῆρος ἐπανῆρχετο εἰς τὲς γένει προσήκοντας τῷ πατρὶ τῷ τᾶ Α'συφίλε· διὸ ὁ τὸν λόγον λέγων ὐκ ἦν προσήκων τῷ Α'συφίλῳ, ὥσε κὲ κληρονομῆσαι διὰ μόνον τὸ ὁμομίτριον.

(1) Εἰς τὲς θιάσες] θιάσός ἐσι, κατὰ τὸν Ἁρπυκρατίωνα, τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ κὲ τιμῇ θεῶν· ὡς Ξενοφῶν ἐν δευτέρῳ Ἀπομνημονευμάτων· θιασῶται δὲ οἱ κοινωνοῦντες τῶν θιάσων.

φὸν, σκέψασθε· πρῶτον μὲν γὰρ συνετράφην ἐκείνῳ ἐκ παιδίε, ἔπειτα οὐδέποτε διάφορος ἐγενόμην, ἀλλ' ἡσπάζετό με, ὡς ἴσασιν οἱ οἰκεῖοι πάντες οἱ ἡμέτεροι, καὶ οἱ φίλοι· ἃς βέλομαι ὑμῖν μάρτυρας ἀναβιβάσαι· δοκεῖ ἂν 2
ἦν ὑμῖν Α'σύφιλος, ὦ ἄνδρες, ὕτω μὲν μισῶν Κλέωνα, τοσαῦτα δ' ἀγαθὰ ὑπὸ τᾶ πατρὸς τᾶ ἐμᾶ πεπονθὼς, αὐτὸς τῶν ἐχθρῶν ἄν τινος υἱὸν ποιήσασθαι, ἢ τὰ ἑαυτᾶ δῶναι, τὲς εὐεργέτας κὲ τὲς συγγενεῖς; ἐγὼ μὲν ὐκ ἂν οἶο- 3
μαι, εἰ κὲ δεκάκις ὁ Ἡροκλῆς διαθήκας ψευδεῖς ἀποδεικνύῃ· ἀλλὰ κὲ διὰ τὸ ἀδελφὸν εἶναι, κὲ διὰ τὴν ἄλλην οἰκειότητα, πολὺ μᾶλλον προσήκειν ἐμοὶ, ἢ τῷ Κλέωνος υἱεῖ· ἐπεὶ τέτοις γε ἐδὲ προσποιήσασθαι καλὸν ἦν τῷ 4
Α'συφίλῳ, οἵτινες ὕτω διέκειντο πρὸς αὐτὸν, τὰ δὲ ὀφᾶ ὐκ ἔθαψαν· ἀλλὰ πρότερον ἐπὶ τὴν ὐσίαν ἦλθον, πρὶν ἐκείνῳ τὰ νομιζόμενα ποιῆσαι· ἔπειτα νῦν ἀξιώσουσι κλη- 5
ρονομεῖν τῶν Α'συφίλε, ὐ μόνον τὰς διαθήκας λέγοντες, ἀλλὰ κὲ τὸ γένος παρατιθέντες, ὅτι ἀνεψιὸς ἦν Κλέων πρὸς τᾶ πατρός· ὑμᾶς δὲ, ὦ ἄνδρες, ὐκ εἰκός ἐσι τῷ 6
τέτου γένει προσέχειν τὸν νᾶν· ὐδεὶς γὰρ πώποτε ἐκποίητος γενόμενος ἐκληρονόμησε τᾶ οἴκε, ὅθεν ἐξεποιήθη, ἐὰν μὴ ἐπανέλθῃ κατὰ τὸν νόμον· ἔτοι μέντοι ἀκριβῶς 7
εἰδότες, ὅτι ὐκ ἐποιήσατο Α'σύφιλος τὸν Κλέωνος υἱὸν, πολλάκις ἐληλυθότι αὐτῷ ὐδεπώποτε κεκρεανομήκασι· λάβε μοι κὲ ταύτην τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

ιέ. Ἑκατέρῳ ἓν ἡμῶν, ἐξ ὧν ἀντωμόσαμεν σκεψάμε- 1
νοι, ψηφίσασθε. Κλέων μὲν γάρ φησι τὸν υἱὸν τὸν ἑαυτᾶ

(2) Ἀναβιβάσαι] ἐλλείπει μετὰ τᾶτο τὸ, Μάρτυρας· (3) προσήκειν ἐμοὶ] τᾶ κλήρε· (4) ἔπει] ἕτως ἔγραψε Ῥεΐσκης ἀντὶ τε, ἐπὶ, καλῶς· (6) τῷ αὐτῷ γένει] τᾶ ἀνεψιᾶ μὲν τᾶ Α'συφίλε, ἧ δὲ τᾶ Κλέωνος· ἐκποιητὸς δὲ ἦν γεγενημένος, ὁ πατὴρ τᾶ Κλέωνος, ὡς ἐν ἀρχῇ τᾶ λόγε εἴρηται. (7) ἔτοι μέντοι] οἱ περὶ τὸν Α'σύφιλον. (7) ἐληλυθότι αὐτῷ] τῷ ἡμῖ τᾶ Κλέωνος πρὸς αὐτές.

2 Α'συφίλῳ εἰσποιηθῆναι, ϗ ταῦτ' ἐκεῖνον διαθέσθαι· ἐγὼ
δ' ἃ φημι, ἀλλ' ἐμὰ εἶναι πάντα τὰ Α'συφίλυ, ἀδελφὸς
3 ὢν ἐκείνυ, ὡς ϗ αὐτοὶ τοῦτο ἴσασι· μὴ τοίνυν, ὦ ἄνδρες,
εἰσποιήσησθε υἱὸν Α'συφίλῳ, ὃν ὑδ' αὐτὸς ζῶν ἐκεῖνος ἐ-
ποιήσατο, ἀλλὰ τὰς νόμυς, ἃς ὑμεῖς ἔθεσθε, βεβαιώσα-
4 τέ μοι· κατ' αὐτὰς γὰρ ἀμφισβητῶ, ὁσιωτάτην δέησιν
δεόμενος, ὦ ἄνδρες, τῆς τοῦ ἀδελφοῦ ὐσίας κληρονόμον
κατασῆσαι· ἀπέδειξα ὑμῖν ὡς ὑδενὶ ἐκεῖνος δέδωκε τὰ
ἑαυτοῦ, ϗ μάρτυρας ἁπάντων, ὧν εἶπον, παρεχόμην·
5 βοηθήσατε ὖν μοι· ϗ εἰ λέγειν ἐμοῦ δύναται Κλέων μᾶλ-
λον, τοῦτο αὐτῷ ἄνευ τοῦ νόμυ ϗ τοῦ δικαίυ μηδὲν ἰσχυσά-
τω· ἀλλ' ὑμᾶς αὐτοὺς βραβευτὰς ἁπάντων κατασήσατε·
6 διὰ τοῦτο γὰρ συλλέγεσθε, ἵνα τοῖς μὲν ἀναισχυντοῦσι μη-
δὲν πλέον ᾖ, οἱ δὲ ἀδυνατώτεροι τολμῶσι περὶ τῶν δι-
καίων ἀμφισβητεῖν, εὖ εἰδότες, ὅτι ὑδενὶ ἄλλῳ τὸν νοῦν
7 προσέχετε· ἅπαντες ὖν, ὦ ἄνδρες, μετ' ἐμοῦ γένεσθε· ὡς,
ἄντι ἄλλο ψηφίσησθε, Κλέωνι πειθόμενοι, σκέψασθε ὁ-
πόσων αἴτιοι γενήσεσθε· πρῶτον μὲν, τὸς ἐχθίσυς Α'συ-
φίλυ ἐπί τε τὰ μνήματα ἰέναι ϗ ἐπὶ τὰ ἱερὰ ἐκείνυ ποιή-
8 σετε· ἔπειτα, τὰς Εὐθυκράτυς ἐπισκήψεις, τοῦ πατρὸς
τοῦ Α'συφίλυ, ἀκύρυς ποιήσετε, ἃς αὐτὸς πρότερον, ἢ ἀ-
9 πέθανε, παραβῆναι· ἔπειτα τετελευτηκότα Α'σύφιλον
παρανοίας αἱρήσετε· εἰ γὰρ τοῦτον ἐποιήσατο υἱὸν, ὃς τῷ
πατρὶ πολεμιώτατος ἦν, πῶς ἀ δόξει τοῖς ἀκούσασι πα-
10 ρανοεῖν, ἢ ὑπὸ φαρμάκων διεφθάρθαι; ἔτι δέ με, ὦ ἄν-
δρες δικασταὶ, ἐκτραφέντα ἐν τῷ αὐτῷ ϗ συμπαιδευθέν-
τα Α'συφίλῳ, ϗ ἀδελφὸν ὄντα, περιόψεσθε ὑπὸ Κλέω-
νος ἀποξερηθέντα τῶν ἐκείνυ ἀντιβολῶ ὑμᾶς ϗ ἱκετεύω,

(7) Ὁπόσων] κακῶν αἴτιοι. (7) ἐπὶ τὰ ἱερὰ] ἴσως γραπτέον μᾶλλον ἡρία.
(8) ἃς αὐτὸς πρότερον ἢ ἀπέθανεν παραβῆναι] διέφθαρται τὸ χωρίον· ὁ
γὰρ νῦς ἀπαιτεῖ ὅτωπως· ἃς αὐτὸς πρότερον ἂν ἀπέθανεν, ἢ παρέβη· ἢ ὅ-
τως· ἃς αὐτὸς πρότερον, ἢ ἀπέθανεν, ὐδέποτε ἔδοξε παραβῆναι.

ἐκ παντὸς τρόπυ ψηφίσασθαί μοι· ἔτω γὰρ ἂν μάλιστα 11
Α'συφίλῳ τε χαρίσεσθε, κἀμὲ ὐκ ἂν ἀδικήσετε.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΠΡΟΣ ΞΕΝΑΙΝΕΤΟΝ,

ΠΕΡΙ ΤΟΥ

ΚΛΗΡΟΥ ΤΟΥ ΑΡΙΣΤΑΡΧΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Α'ρίσαρχός τις τεσσάρων πατὴρ γενόμενος παίδων, Κυρω-
νίδυ ϗ Δημοχάρυς, ϗ τῆς μητρὸς τοῦ λέγοντος τὸν λόγον,
ϗ ἄλλης κόρης, τοῦτον μὲν τὸν Κυρωνίδην ἔτι περιὼν εἰσε-
ποίησεν εἰς τὸν Ξεναινέτυ τοῦ κατὰ μητέρα πάππυ κλῆρον,
αὐτὸς δὲ κληρονόμυς τὺς λοιπὺς ἑαυτῷ κατέλειψε παῖδας.
μετὰ ταῦτα τελευτᾷ μὲν Δημοχάρυς ἄπαις, ϗ ἡ μία θυ-
γάτηρ αὐτοῦ, ϗ αὐτὴ ἄπαις. ὁ δὲ κλῆρος ὅλος ἔρχεται δι-
καίως εἰς τὴν μητέρα τοῦ λέγοντος τὸν λόγον. ϗ ταῦτα μὲν
ἔτω. μετὰ δὲ τὴν τελευτὴν Α'ρισάρχυ, Α'ρισομένης ἀδελ-
φὸς ὢν αὐτοῦ, ϗ κατὰ νόμον ἐπίτροπος τῶν τοῦ ἀδελφοῦ γι-
νόμενος παίδων, ἐνδέδωκε Κυρωνίδῃ τῷ ἐκποιήτῳ υἱῷ Α'ρι-
σάρχυ τὴν θυγατέρα ἑαυτοῦ, ἐπαγγειλάμενος περιποιῆσαι
αὐτῷ τὸν Α'ρισάρχυ κλῆρον· ὃ δὴ ϗ πεποιηκε. γενομένυ
γὰρ υἱοῦ τῷ Κυρωνίδῃ, πρῶτον μὲν ὄνομα τῷ παιδὶ τὸ τοῦ
πάππυ δεδώκασιν, Α'ρίσαρχον ὀνομάσαντες, ϗ εἰσεποίησαν
αὐτὸν εἰς τὸν πάππυ οἶκον, ὡς δὴ τοῦτο ἐκείνυ πράξαντος
(ἴσ. προσάξαντος)· ϗ παραδέδωκεν Α'ρισομένης αὐτῷ τοῦ
πάππυ κλῆρον· ἔτι δὲ παῖς ὢν ἐκεῖνος τελευτῶν, κληρονό-
μον κατὰ διαθήκας ἐνεσήσατο τὸν ἴδιον ἀδελφὸν Ξεναίνετον.
τούτων γενομένων, ϗ κρατέντος Ξεναινέτυ τὴν Α'ρισάρχυ τοῦ
παλαιοῦ ὐσίαν, ἀμφισβητεῖ πρὸς αὐτὸν ὁ υἱὸς τῆς θυγατρὸς
Α'ρισάρχυ τοῦ παλαιοῦ, λέγων ἑαυτὸν μόνον εἶναι κληρονό-

μον δικαίως τῶν Α'ριςάρχυ τῦ παλαιῦ χρημάτων. ὁ μὲν γὰρ Κυρωνίδης (φησὶν) ἐκποίητος ἐγένετο· ὁ δὲ πατὴρ υἱὸν ἔχων γνήσιον τὸν Δημοχάρην, ὃν ἐδύνατο θετὸν ἑαυτῷ ποιῆσαι παῖδα· ὁ δὲ Δημοχάρης, ἀτελὴς ὢν, οὐδὲ αὐτὸς ἐδύνατο ποιῆσαι τῷ πατρὶ θετὸν υἱόν· ἀλλ' ἐδ' ἡ ἄλλη θυγάτηρ αὐτῦ ἡ προτελευτήσασα. ὥςε ἐ κατὰ τὸν νόμον (φησὶ) τῆς εἰςποιήσεως γενομένης τῦ παλαιῦ Α'ριςάρχυ, ὐκέτι συνίσταται ἡ διαθήκη αὐτῦ τῦ νέυ Α'ριςάρχυ. ἃ γὰρ μὴ δικαίως ἐκτήσατο, πῶς ἄλλῳ παραπέμπειν ἐδύνατο; ἀναιρυμένης δὲ τῆς διαθήκης, εἰκότως ὁ κλῆρος εἰς τὸν λέγοντα τὸν λόγον ἐφέρετο, υἱὸν ὄντα τῆς γνησίας θυγατρὸς Α'ριςάρχυ τῦ παλαιῦ. Καὶ ἡ μὲν ὑπόθεσις, αὕτη. ἡ ςάσις δὲ πραγματικὴ ἔγγραφος. ζητεῖ γὰρ εἰ δεῖ τὰς τοιαύτας συνεςάναι διαθήκας, ἢ τίς δικαιότερος λέγει.

1 ά. Ε'βελόμην, ὦ ἄνδρες, ὥςπερ Ξεναίνετος ἑτοσὶ δύναται ψευδῆ λέγειν θαῤῥαλέως, ἕτω κἀγὼ τἀληθῆ πρὸς ὑμᾶς, περὶ ὧν ἀμφισβητῦμεν, εἰπεῖν δυνηθῆναι. 2 οἶμαι γὰρ ἂν ὑμῖν εὐθέως δῆλον γενέσθαι, εἴθ' ἡμεῖς ἀδίκως ἐπὶ τὸν κλῆρον ἤκομεν, εἴθ' ἕτοι μὴ προσηκόν- 3 τως πάλαι τὰ χρήματα ταῦτα εἰλήφασι. νῦν δὲ ὐκ ἐξ ἴσυ διακείμεθα, ὦ ἄνδρες. οἱ μὲν γὰρ, ἢ λέγειν δεινοὶ, ἢ παρασκευάσασθαι ἱκανοὶ, ὥςε ἢ ὑπὲρ ἑτέρων πολλάκις 4 ἐν ὑμῖν ἠγωνίσθαι· ἐγὼ δὲ μὴ ὅτι ὑπὲρ ἄλλυ, ἀλλ' οὐδὲ ὑπὲρ ἐμαυτῦ πώποτε δίκην ἰδίαν εἴρηκα. ὥςε πολλῆς δεῖ



με συγγνώμης τυχεῖν παῤ ὑμῶν. ἠνάγκασμαι δ', ὦ ἄνδρες, διὰ τὸ μὴ δύνασθαι δίκην παῤ αὐτῶν λαβεῖν, τὴν μητέρα τὴν ἐμὴν πρὸς τῇ ἀνακρίσει Α'ριςάρχυ εἶναι ἀδελφὴν προσγράψασθαι. ἃ μὴν διὰ τῦτο ὑμῖν ἥδε ἡ γνῶσις ἧττον περὶ αὐτῶν εὐκρινὴς φανήσεται· ἀλλ' ἐκ τῶν νόμων σκοπῦμεν, εἰ τὰ ἑαυτῦ δέδωκε τύτῳ Α'ρίσαρχος, ἢ τὰ μηδὲν προσήκοντα. ἔςι δὲ δίκαιον τῦτο, ὦ ἄνδρες. ὁ γὰρ νόμος κελεύει τὰ μὲν ἑαυτῦ διαθέσθαι ὅτῳ ἂν ἐθέλῃ, τῶν δὲ ἀλλοτρίων ἑνὸς κύριον πεποίηκε.

β'. Τῦτο δ' ἐν ὑμᾶς πειράσομαι πρῶτον διδάσκειν, ἐάν μ' μετ' εὐνοίας ἀκῦσαι ἐθέλητε. εἴσεσθε γὰρ ὡς ὁ κλῆρος ὅτος ἑ τύτων ἦν ἐξ ἀρχῆς, ἀλλὰ τῆς ἐμῆς μητρὸς πατρῷος. ἔπειτα, ἢ ὡς Α'ρίσαρχος ἑδὲ καθ' ἕνα νόμον αὐτὸν εἴληφεν, ἀλλὰ παρὰ πάντας τὺς νόμυς ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν ἐμὴν μητέρα. ὅθεν ἔν σαφέςατα μαθήσεσθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι διδάσκειν.

γ'. Α'ρίσαρχος γὰρ ἦν, ὦ ἄνδρες, Συπαλλήτιος· ὅτος ἔλαβε Ξεναινέτυ Α'χαρνέως θυγατέρα, ἐξ ἧς γίνεται Κυρωνίδης ἢ Δημοχάρης, ἢ ἡ μήτηρ ἡ ἐμὴ, ἢ ἄλλη τύτων ἀδελφή. Κυρωνίδης μὲν ἦν ὁ τῦδε πατὴρ, ἢ θατέρυ τῦ τόνδε τὸν κλῆρον ἀδίκως ἔχοντος, ἐξεποιήθη εἰς ἕτερον οἶκον· ὥςε αὐτῷ τῶν χρημάτων ὐδὲν ἔτι προσῆκεν. Α'ρίσαρχυ δὲ τῦ πατρὸς τύτων τελευτήσαντος, Δημοχάρης υἱὸς κληρονόμος τῶν ἐκείνυ κατέςη. τύτυ δὲ παιδὸς ἀποθανόντος, ἢ τῆς ἑτέρας ἀδελφῆς, ἡ μήτηρ ἡ ἐμὴ ἐν παντὶ τῷ οἴκῳ ἐπίκληρος ἐγένετο. ἢ ὅτω

(5) Α'ρίσαρχυ ἀδελφὴν εἶναι] διὰ τί δὲ προσέγραψε ψευδῶς τὴν ἑαυτῦ μητέρα ἀδελφὴν εἶναι Α'ρίσαρχυ, αὐτὸς ἂν εἰδείη· ἀνάκρισιν δὲ λέγει τὴν πρὸ τῦ εἰσιέναι εἰς τὸ δικαστήριον ἐξέτασιν τῶν προσώπων· ἔνθα ἠνάγκασαι, φησιν, ἢ ταῦτα προσγράψασθαι· (5) ἧττον περὶ αὐτῶν] περὶ ὧν ἡμῖν ἤδη ὁ ἀγών· (5) τύτῳ Α'ρίσαρχος] τύτῳ τῷ Ξεναινέτῳ ὁ νέος Α'ρίσαρχος.

μον δικαίως τῶν Ἀ'ριςάρχε τῦ παλαιῦ χρημάτων. ὁ μὲν γὰρ Κυρωνίδης (φησὶν) ἐκποίητος ἐγένετο· ὁ δὲ πατὴρ υἱὸν ἔχων γνήσιον τὸν Δημοχάρην, ἐκ ἐδύνατο θετὸν ἑαυτῷ ποιῆσαι παῖδα· ὁ δὲ Δημοχάρης, ἀτελὴς ὢν, ὐδὲ αὐτὸς ἐδύνατο ποιῆσαι τῷ πατρὶ θετὸν υἱόν· ἀλλ' ὐδ' ἡ ἄλλη θυγάτηρ αὐτῦ ἡ προτελευτήσασα. ὥςε ὐ κατὰ τὸν νόμον (φησὶ) τῆς εἰσποιήσεως γενομένης τῦ παλαιῦ Ἀ'ριςάρχε, ὐκέτι συνίςαται ἡ διαθήκη αὐτῦ τῦ νέε Ἀ'ριςάρχε. ἃ γὰρ μὴ δικαίως ἐκτήσατο, πῶς ἄλλω παραπέμπειν ἐδύνατο; ἀναιρεμένης δὲ τῆς διαθήκης, εἰκότως ὁ κλῆρος εἰς τὸν λέγοντα τὸν λόγον ἐφέρετο, υἱὸν ὄντα τῆς γνησίας θυγατρὸς Ἀ'ριςάρχε τῦ παλαιῦ. Καὶ ἡ μὲν ὑπόθεσις, αὕτη. ἡ ςάσις δὲ πραγματικὴ ἔγγραφος. ζητεῖ γὰρ εἰ δεῖ τὰς τοιαύτας συνεςάναι διαθήκας, ᾗ τίς δικαιότερος λέγει.

1 ά. Ε'ββλόμην, ὦ ἄνδρες, ὥσπερ Ξεναίνετος ὑτοσὶ δύναται ψευδῆ λέγειν θαῤῥαλέως, ὕτω κἀγὼ τἀληθῆ πρὸς ὑμᾶς, περὶ ὧν ἀμφισβητῦμεν, εἰπεῖν δυνηθῆναι. 2 οἶμαι γὰρ ἂν ὑμῖν εὐθέως δῆλον γενέσθαι, εἴθ' ἡμεῖς ἀδίκως ἐπὶ τὸν κλῆρον ἥκομεν, εἴθ' ὅτοι μὴ προσηκόντως πάλαι τὰ χρήματα ταῦτα εἰλήφασι. νῦν δὲ ὐκ ἐξ ἴσε διακείμεθα, ὦ ἄνδρες. οἱ μὲν γὰρ, ᾗ λέγειν δεινοὶ, ᾗ παρασκευάσαθαι ἱκανοὶ, ὥςε ᾗ ὑπὲρ ἑτέρων πολλάκις 4 ἐν ὑμῖν ἠγωνίσθαι· ἐγὼ δὲ μὴ ὅτι ὑπὲρ ἄλλε, ἀλλ' ὐδὲ ὑπὲρ ἐμαυτῦ πώποτε δίκην ἰδίαν εἴρηκα. ὥςε πολλῆς δεῖ



με συγγνώμης τυχεῖν παῤ ὑμῶν. ἠνάγκασμαι δὲ, ὦ ἄνδρες, διὰ τὸ μὴ δύναθαι δίκην παῤ αὐτῶν λαβεῖν, τὴν μητέρα τὴν ἐμὴν πρὸς τῇ ἀνακρίσει Ἀ'ριςάρχε εἶναι ἀδελφὴν προσγράψαθαι. ἐ μὴν διὰ τῦτο ὑμῖν ἥδε ἡ γνῶσις ἧττον περὶ αὐτῶν εὐκρινὴς φανήσεται· ἀλλ' ἐκ τῶν νόμων σκοπῦμεν, εἰ τὰ ἑαυτῦ δέδωκε τύτῳ Ἀ'ριςαρχος, ἢ τὰ μηδὲν προσήκοντα. ἔςι δὲ δίκαιον τῦτο, ὦ ἄνδρες. ὁ γὰρ 6 νόμος κελεύει τὰ μὲν ἑαυτῦ διαθέσθαι ὅτῳ ἂν ἐθέλῃ, τῶν δὲ ἀλλοτρίων ὐδένα κύριον πεποίηκε.

β'. Τῦτο ἓν ὑμᾶς πειράσομαι πρῶτον διδάσκειν, ἐάν 1 μ8 μετ' εὐνοίας ἀκῦσαι ἐθέλητε. εἴσεθε γὰρ ὡς ὁ κλῆρος ὅτος ὐ τύτων ἦν ἐξ ἀρχῆς, ἀλλὰ τῆς ἐμῆς μητρὸς πατρῷος. ἔπειτα, ᾗ ὡς Ἀ'ριςαρχος ὐδὲ καθ' ἕνα νόμον 2 αὐτὸν εἴληφεν, ἀλλὰ παρὰ πάντας τὺς νόμυς ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν ἐμὴν μητέρα. ὅθεν ἓν σαφέςατα μα- 3 θήσεθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι διδάσκειν.

γ'. Ἀ'ριςαρχος γὰρ ἦν, ὦ ἄνδρες, Συπαλλήτιος· 1 ὅτος ἔλαβε Ξεναινέτε Ἀ'χαρνέως θυγατέρα, ἐξ ἧς γίνεται Κυρωνίδης ᾗ Δημοχάρης, ᾗ ἡ μήτηρ ἡ ἐμὴ, ᾗ ἄλλη τύτων ἀδελφή. Κυρωνίδης μὲν ἦν ὁ τῦδε πατὴρ, 2 ᾗ θατέρᾳ τῦ τόνδε τὸν κλῆρον ἀδίκως ἔχοντος, ἐξεποιήθη εἰς ἕτερον οἶκον· ὥςε αὐτῷ τῶν χρημάτων ὐδὲν ἔτι προσῆκεν. Ἀ'ριςάρχε δὲ τῦ πατρὸς τύτων τελευτήσαν- 3 τος, Δημοχάρης υἱὸς κληρονόμος τῶν ἐκείνε κατέςη. τύτε δὲ παιδὸς ἀποθανόντος, ᾗ τῆς ἑτέρας ἀδελφῆς, ἡ μήτηρ ἡ ἐμὴ ἐν παντὶ τῷ οἴκῳ ἐπίκληρος ἐγένετο. ᾗ ὕτω 4

(5) Ἀ'ριςάρχε ἀδελφὴν εἶναι] διὰ τί δὲ προσέγραψε ψευδῶς τὴν ἑαυτῦ μητέρα ἀδελφὴν εἶναι Ἀ'ριςάρχε, αὐτὸς ἂν εἰδείη· ἀνάκρισιν δὲ λέγει τὴν πρὸ τῦ εἰσιέναι εἰς τὸ δικαςήριον ἐξέτασιν τῶν προσώπων· ἔνθα ἠνάγκασαι, φησιν, ᾗ ταῦτα προσγράψαθαι· (5) ἧττον περὶ αὐτῶν] περὶ ὧν ἡμῖν ἤδη ὁ ἀγών· (5) τύτῳ Ἀ'ριςαρχος] τύτῳ τῷ Ξεναινέτῳ ὁ νέος Ἀ'ριςαρχος.

μὲν ἐξ ἀρχῆς ἅπαντα τῆς ἐμῆς μητρὸς ἐγένετο. προσῆκον δ' αὐτῇ μετὰ τῶν χρημάτων τῷ ἐγγύτατα γένους συ-
5 νοικεῖν, πάσχει δεινότατα, ὦ ἄνδρες. Ἀ'ρισομένης γὰρ, ἀδελφὸς ὢν ἐκείνῃ τῇ Ἀ'ρισάρχῃ, ὄντος αὐτῷ υἱέως καὶ θυγατρὸς, μελλήσας ἢ αὐτὸς αὐτὴν ἔχειν, ἢ τῷ υἱεῖ μετὰ τῆ κλήρῳ ἐπιδικάσασθαι, τούτων μὲν οὐδὲν ἐποίησε· τὴν δὲ ἑαυτῇ θυγατέρα ἐπὶ τοῖς τῆς ἐμῆς μητρὸς χρήμα-
σι Κυρωνίδῃ ἐξέδωκεν, ἐξ ἧς ὁ Ξεναίνετος ὅτος ᾧ Ἀ'ρί-
6 σαρχος ὁ τελευτήσας ἐγένετο. τὸ μὲν ἓν ἀδίκημα, καὶ ὃν τρόπον τῶν χρημάτων ἀπεξερήθην, τοῦτ' ἐστὶν, ὦ ἄνδρες. μετὰ δὲ ταῦτα τὴν ἐμὴν μητέρα ἐκδίδωσι τῷ ἐμῷ πατρί. Κυρωνίδου δὲ τελευτήσαντος, τὸν τοῦ Ξεναινέτου ἀδελφὸν εἰσάγουσιν Ἀ'ρισάρχῳ υἱὸν, οὐδὲ καθ' ἕνα νόμον, ὦ ἄνδρες, ὡς ἐγὼ ἐκ πολλῶν τεκμηρίων ὑμῖν ἐπιδείξω.
7 πρῶτον μὲν ἓν μάρτυρας ὑμῖν παρέξομαι, ὡς Κυρωνίδης ἐκποίητος εἰς τὸν Ξεναινέτου οἶκον ἐγένετο, ᾧ ἐν ἐκείνῳ
8 ἐτελεύτησεν. ἔπειθ' ὡς Ἀ'ρίσαρχος, ὃ ἦν ὅτος ὁ κλῆρος, πρότερος τοῦ υἱέως Δημοχάρους ἐτελεύτησε. Δημοχάρης δὲ παῖς ὢν ἀπέθανε, ᾧ ἡ ἑτέρα ἀδελφή· ὥστε τὸν κλῆρον ἐπὶ τῇ ἐμῇ μητρὶ γενέσθαι. καίμοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

1 δ'. Οὕτω μὲν ἐξ ἀρχῆς ἦν, ὦ ἄνδρες, ὁ κλῆρος, περὶ ὃ νῦν ὁ λόγος ἐστί· Κυρωνίδου μὲν ἐκποιήτου γενομέ-
νου εἰς τὸν Ξεναινέτου οἶκον, τοῦ δὲ πατρὸς Ἀ'ρισάρχου τῷ
υἱεῖ Δημοχάρει καταλιπόντος, ἐκείνου δὲ τῇ ἀδελφῇ τῇ
2 ἑαυτοῦ ταύτῃ, μητρὶ δὲ ἐμῇ. δεῖ δὲ, ἐπειδὴ λίαν ἀναι-
σχυντοῦσιν, ὦ ἄνδρες, ᾧ τὰ χρήματα παρὰ τὸ δίκαιον

(2) Εἰς τοὺς φράτορας τοὺς ἐκείνου] ἐκείνου τοῦ Δημοχάρους τοῦ θείου αὐτοῦ, ἢ τοῦ Ἀ'ρισάρχου τοῦ πάππου· ὁ γὰρ Ἀ'ρίσαρχος ὁ πάππος ἦν Συπαλλήττιος τὸν δῆμον· ὁ δὲ Ἀ'ρίσαρχος ἐκποίητος γεγονὼς, εἰσῆκτο εἰς τοὺς φράτορας τοῦ Ξενοκράτους τοῦ Ἀ'χαρνέως τὸν δῆμον· ὅθεν εὐδίκαιον ἐπανελθεῖν αὖθις αὐτὸν

ἔχειν ἀξιοῦσι, μαθεῖν ὑμᾶς ὡς οὐδὲ καθ' ἕνα νόμον Ἀ'ρί-
σαρχος εἰς τοὺς φράτορας τοὺς ἐκείνου εἰσῆκται. ἐὰν γὰρ 3
τοῦτο μάθητε, σαφῶς εἴσεσθε, ὅτι τῷ μὴ δικαίως ἔχοντι, οὐδὲ διατίθεσθαι περὶ αὐτῶν προσῆκεν. οἶμαι τοίνυν 4
πάντας ὑμᾶς εἰδέναι, ὦ ἄνδρες, ὅτι κατὰ διαθήκας αἱ εἰσαγωγαὶ τῶν εἰσποιήτων γίνονται, διδόντων τε αὐτῶν
ᾧ υἱεῖς ποιοῦντων, ἄλλως δὲ οὐκ ἔξεσιν· εἴτε οὖν Ἀ'ρίσαρ- 5
χον φήσει τίς διαθέσθαι, οὐκ ἀληθῆ λέξει· (γνησίου γὰρ ὄντος αὐτῷ Δημοχάρους υἱέως, ὅτ' ἂν ἐβούλετο ταῦτα διαπρᾶξαι, ὅτε ἐξῆν δοῦναι τὰ ἑαυτοῦ ἑτέρῳ) εἴτε Ἀ'ρισάρχου τελευτήσαντος, Δημοχάρην αὐτὸν ποιήσασθαι, καὶ ταῦτα ψεύσονται. παιδὸς γὰρ οὐκ ἔξεσι διαθήκην γενέ- 6
σθαι. ὁ γὰρ νόμος διαῤῥήδην κωλύει παιδὶ μὴ ἐξεῖναι συμβάλλειν, μηδὲ γυναικὶ, πέρα μεδίμνων κριθῶν. μεμαρτύρηται δὲ Ἀ'ρίσαρχον μὲν πρότερον Δημοχάρους τοῦ 7
υἱέως τελευτῆσαι· ἐκεῖνον δὲ, ὕστερον τοῦ πατρός. ὥστε κατά γε διαθήκην ἐκείνων, ἣν ὑ διέθεντο, ὑ προσῆκεν αὐτῷ τούτων τῶν χρημάτων κληρονομῆσαι. ἀνάγνωθι δὲ ᾧ 8
τοὺς νόμους, καθ' οὓς ἑτέρῳ αὐτῶν ἐξῆν διαθήκας ποιήσασθαι.

ΝΟΜΟΙ.

ε. Οὐ τοίνυν, ὦ ἄνδρες, οὐδὲ Κυρωνίδην οἷόν τε ἦν 1
υἱὸν Ἀ'ρισάρχου εἰσποιῆσαι, ἀλλ' αὐτῷ μὲν ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον, ἐγκαταλιπόντα ἐν τῷ Ξεναινέτου οἴκῳ ἐξῆν, υἱὸν αὐτοῦ δὲ ἂν, ψεύσονται. ὥστε οὐδ' ἂν φάσ- 2
κωσί τινα ἀγαγεῖν, οὐκ ἔστι νόμος· ἢ ἐὰν φῶσιν ὑπ' ἐκεί-

εἰς τὰ πρῶτα, ἐκποίητος ὤν· (3) τῷ μὴ δικαίως ἔχοντι] τὸν κλῆρον τοῦ πάππου· (4) διδόντων αὐτῶν] τῶν διατιθεμένων· (5) Ἀ'ρίσαρχον] τὸν πάππον· (5) Δημοχάριν αὐτὸν] ὅτι ὁ Δημοχάρης ἐποιήσατο αὐτὸν τὸν Ἀ'ρίσαρχον υἱόν· (7) πέρα μεδίμνων κριθῶν] μέμνημαι οὐκ οἶδ' ὅπου εὑρὼν, πέρα δύο μεδίμνων κριθῶν· (7) ἐκείνου] Ἀ'ρισάρχου ᾧ Δημοχάρους· (7) ᾧ προσῆκεν αὐτῷ] τῷ νεωτέρῳ Ἀ'ρισάρχῳ.

(1) Αὐτοῦ δὲ ἄν, ψεύσονται] διέφθαρται· ᾧ οὐκ ἔχω ὅ,τι προσράψω· ἀναπληρωτέον οὖν ἐκ τῶν ἑνόντων ὧδί· ἐγκαταλιπόντα υἱὸν ἐν τῷ Ξεναινέτου

νε ποιηθῆναι, νόμον ἐχ ἔξεσι δεῖξαι, καθ' ὃν ἐξῆν αὐτῷ ταῦτα πρᾶξαι· ἀλλ' ἐξ ὧν αὐτοὶ λέγεσιν, ἔτι φανερώτερον ὑμῖν γενήσεται τοῦτο, ὅτι παρανόμως ϗ ἀσελγῶς ἔχεσι τὰ τῆς μητρὸς χρήματα. ϗ μὲν δὴ, ὦ ἄνδρες, οὐδὲ Ἀ'ρισομένει γε, οὐδὲ Ἀ'πολλοδώρῳ, οἷς προσήκει τῆς ἐμῆς μητρὸς ἐπιδικάσασθαι, οὐδὲ τούτοις ἐξῆν. θαυμασὸν γὰρ ἂν ἦν, εἰ τὴν ἐμὴν μητέρα ἔχοντι Ἀ'πολλοδώρῳ ἢ Ἀ'ρισομένει ϗκ ἂν οἷόν τε ἦν τῶν ἐκείνης κυρίῳ γενέσθαι, κατὰ τὸν νόμον, ὃς ϗκ ἐᾷ τῶν τῆς ἐπικλήρου κύριον εἶναι, ἀλλ' ἢ τοὺς παῖδας ἐπὶ δίετες ἡβήσαντας κρατεῖν τῶν χρημάτων· ἀλλ' ἑτέρῳ αὐτὴν ἐκδόντι ἐξέσαι εἰς τὰ ταύτης χρήματα υἱὸν εἰσποιῆσαι· δεινὰ μέντ' ἂν γίνοιτο. ϗ τῷ μὲν πατρὶ αὐτῆς, εἰ παῖδες ἄῤῥενες μὴ ἐγένοντο, ϗκ ἂν ἐξῆν ἄνευ ταύτης διαθέσθαι· (κελεύει γὰρ ὁ νόμος σὺν ταύταις κύριον εἶναι δόναι, ἐάν τῳ βέλοιτο, τὰ ἑαυτοῦ) τῷ δὲ μήτε λαβεῖν αὐτὴν ἀξιώσαντι, μήτε πατρὶ ὄντι, ἀλλ' ἀνεψιῷ, παρὰ πάντας τοὺς νόμους εἰσαγαγόντι, ἔξεσι κυρίως ταῦτα πεπραγμένα· ϗ τίς ὑμῶν ταῦτα πειθήσεται; ἐγὼ μὲν, ὦ ἄνδρες, σαφῶς ἐπίσταμαι, ὅτι ὅτε Ξεναίνετος, ὅτε ἄλλος οὐδεὶς ἀνθρώπων ἔξει ἀποδεῖξαι ὡς ϗ τῆς ἐμῆς μητρὸς ὁ κλῆρός ἐστι, τῷ ἀδελφῷ αὐτῆ τοῦ Δημοχάρους καταλιπόντος. ἐὰν δ' ἄρα τολμῶσί περὶ αὐτῶν λέγειν, νόμον κελεύετε δεῖξαι, καθ' ὃν γεγένηται ἡ εἰσποίησις Ἀ'ρισάρχῳ, ϗ τίς ὁ εἰσποιήσας. τοῦτο γὰρ δίκαιόν ἐστιν. ἀλλ' οἶδ' ὅτι ϗκ' ἔξεσιν ἐπιδεῖξαι. περὶ μὲν οὖν τοῦ τὸν κλῆρον εἶναι τῆς μητρὸς ἐξ ἀρχῆς, ϗ ἀδίκως αὐτὴν ὑπὸ τού-

οἴκῳ ἐξῆν· αὐτοῦ δ' ἂν φάσκωσι μένοντα αὐτὸν, ψεύσονται· (3) οὐδὲ τούτοις ἐξῆν] υἱὸν ποιήσασθαι· (4) εἰ τὴν ἐμὴν μητέρα ἔχοντι] ἡ συνθήκη ἦν· εἰ ϗκ ἐξῆν Ἀ'ρισομένει ἔχοντι (εἰ εἶχε) τὴν ἐμὴν μητέρα κυρίῳ γενέσθαι τῶν ἐκείνης·—ἑτέρῳ δὲ αὐτὴν ἐκδόντι, ἐξέσαι ϗ τλ. (5) κελεύει γὰρ ὁ νόμος] ἴδε ἀνωτέρω ἐν τῷ περὶ τοῦ Πύῤῥου κλήρου λόγῳ Β'. κ', 4.

των ἀποσερεῖσθαι, ἔκ τε τῶν εἰρημένων ϗ μεμαρτυρημένων, ϗ ἐξ αὐτῶν τῶν νόμων, ἱκανῶς ἡγοῦμαι ἀποδεδεῖχθαι.

ς'. Οὕτω δὲ ϗ τούτοις φανερόν ἐστιν, ὅτι ὁ προσήκοντος ἔχοσι ταῦτα τὰ χρήματα, ὥσε ϗκ ἐπὶ τῷ δικαίως Ἀ'ρίσαρχον εἰσαχθῆναι εἰς τοὺς φράτορας τὸν λόγον ποιοῦνται μόνον, ἀλλὰ ϗ δίκην φασὶν ὑπὲρ τούτων τῶν χρημάτων τὸν πατέρα τὸν ἑαυτῶν ἐκτετικέναι, ἵνα, ἂν μὴ κατ' ἐκεῖνο δικαίως δοκῶσιν ἔχειν, κατά γε ταῦτα εἰκότως προσήκων αὐτοῖς φαίνηται. ἐγὼ δ', ὦ ἄνδρες, ὅτι ϗκ ἀληθῆ λέγουσι, μεγάλοις ὑμᾶς τεκμηρίοις διδάξω. εἰ γὰρ ἦν (ὡς ἔτοι λέγουσιν) ὑπόχρεως ἔτος ὁ κλῆρος, ἔτ' ἂν χρήματα ἔτοι ὑπὲρ αὐτῶν ἐξέτινον. ὁ γὰρ προσῆκον αὐτοῖς, ἀλλ' οἷς ἐγένετο ἡ ἐμὴ μήτηρ ἐπίδικος, τούτοις ἀναγκαῖον ἦν ὑπὲρ αὐτῶν βουλεύσασθαι, ὅτε ἂν εἰσεποίουν εἰς τοῦτον τὸν κλῆρον υἱὸν Ἀ'ρισάρχῳ, μέλλοντες ὠφεληθήσεσθαι μὲν μηδὲν, ζημιωθήσεσθαι δὲ μεγάλα. ἢ ἕτεροι, ὅταν μὲν περὶ χρημάτων δυσυχῶσι, τοὺς σφετέρους αὐτῶν παῖδας εἰς ἑτέρους οἴκους εἰσποιοῦσιν, ἵνα μὴ μετάσχωσι τῆς τοῦ πατρὸς ἀτιμίας· ἔτοι δὲ ἄρα εἰς ὑπόχρεων οὐσίαν ϗ οἴκοθεν εἰσεποίουν σφᾶς αὐτοὺς, ἵνα ϗ τὰ ὑπάρχοντα προσαπολέσειαν; ϗκ ἔσι ταῦτα, ἀλλ' ὁ μὲν κλῆρος ἐλεύθερος ἦν, ϗ τῆς ἐμῆς μητρὸς ἐγένετο· ἔτοι δὲ φιλοχρηματοῦντες, ϗ ἐκείνην ἀποσερῶντες, ταῦτα πάντα ἐμηχανήσαντο.

ζ'. Ἴσως ἔν τις, ὦ ἄνδρες, τὸν χρόνον ὑμῶν θαυμάσειε, πῶς ποτε πολὺν ἔτως εἰάσαμεν, ϗ ἀποσερόμενοι ϗκ ἤμεν ἐπ' αὐτὰ, ἀλλὰ νυνὶ περὶ αὐτῶν τοὺς λόγους ποιού-

(1) Τὸν πατέρα τὸν ἑαυτῶν] τὸν Κυρωνίδην· (1) ἂν μὴ κατ' ἐκεῖνο] καθ' ὃ εἰσεποίησαν δικαίως Ἀ'ρίσαρχον Δημοχάρει· (1) προσήκων] ὁ κλῆρος· ἢ γραπτέον προσήκοντα ταῦτα· (2) ὑπὲρ αὐτῶν] ὑπὲρ αὐτῶν τῶν ὑπόχρεων ὄντων χρημάτων ἢ κτημάτων· τοτέσι τοῦ κλήρου.

(1) Καὶ ϗκ ἤμεν ἐπ' αὐτὰ] παρατατικὸς χρόνος ἐκ τοῦ, εἶμι ἀντὶ τοῦ,

μεθα. ἐγὼ δὲ οἶμαι μὲν ὲ δίκαιον εἶναι διὰ τᾶτο ἔλατ- 2
τον ἔχειν, εἴτις μὴ ἐδυνήθη, ἢ κατημέλησεν (ὲ γὰρ
τᾶτό ἐσι σκεπτέον, ἀλλὰ τὸ πρᾶγμα εἰ δίκαιον, ἢ μή).
ὅμως μέντοι ἃ περὶ τάτων αἴτιον εἰπεῖν ἔχομεν, ὦ ἄν- 3
δρες. ὁ γὰρ πατὴρ ἡμὸς ἐπὶ προικὶ ἐγγυησάμενος τὴν
ἐμὴν μητέρα συνῴκει· τὸν δὲ κλῆρον τάτων καρπωμένων
ὲκ εἶχεν ὅπως εἰσπράξαιτο. ὅτε γὰρ περὶ αὐτᾶ λόγως 4
ἐποιήσατο, τῆς μητρὸς κελευάσης, ἕτοι ταῦτα αὐτῷ
ἠπείλησαν, αὐτοὶ ἐπιδικασάμενοι αὐτὴν ἔξειν, εἰ μὴ
βάλοιτο αὐτὸς ἐπὶ προικὶ ἔχειν. ὁ δὲ πατὴρ, ὥσε τῆς 5
μητρὸς μὴ ςερηθῆναι, ἃ δὶς τοσαῦτα χρήματα εἴασεν
ἂν αὐτὰς καρπᾶσθαι· ἃ τᾷ μὲν τὸν πατέρα μὴ ἐπεξελ-
θεῖν ὑπὲρ τάτων τᾶτό ἐσι τὸ αἴτιον. μετὰ δὲ ταῦτα ὁ 6
Κορινθιακὸς πόλεμος ἐγένετο, ἐν ᾧ ἐγὼ κἀκεῖνος ςρα-
τεύεσθαι ἠναγκαζόμεθα· ὥσε ἀδετέρῳ ἂν ἡμῶν δίκην ἐξε-
γένετο λαβεῖν. εἰρήνης τ' αὖ γενομένης, ἐμοί τι ἀτύχη- 7
μα πρὸς τὸ δημόσιον συνέβη, ὥσε μὴ ῥᾴδιον εἶναι πρὸς
τάτως διαφέρεσθαι· ὥσε ὲ μικρὰς ἔχομεν αἰτίας περὶ τᾶ
πράγματος. ἀλλὰ νυνὶ δίκαιον εἰπεῖν ἐσιν, ὦ ἄνδρες, 8
τίνος δόντος αὐτῷ τὸν κλῆρον, κατὰ ποίως νόμως εἰς τὲς
φράτορας εἰσῆκται· ἃ πῶς ὲκ ἐπίκληρος ἦν ἐπὶ τάτοις
τοῖς χρήμασιν ἡ ἐμὴ μήτηρ. ταῦτα γάρ ἐσι, περὶ ὧν ὑμᾶς 9
δεῖ τὴν ψῆφον ἐνεγκεῖν, ὲκ εἰ χρόνῳ τί ὕσερον ἡμεῖς
τῶν ἡμετέρων εἰσπραττόμεθα. μὴ δυνηθέντων δὲ ἐπιδεῖ- 10
ξαι, δικαίως ἂν ἐμὸν αὐτὸν εἶναι ψηφίσεσθε. τᾶτο μέντ'
οἶδ', ὅτι ποιεῖν ὲχ οἷόιτ' ἔσονται· (χαλεπὸν γὰρ πρὸς
νόμως ἃ δίκαιον πρᾶγμα ἀντιλέγειν ἐσι) περὶ δὲ τᾷ τεθ-

ἤειμεν· (3) ἐπὶ προικὶ] ἐπὶ ῥητῷ μέρει τῆς πατρῴας ὐσίας αὐτῆς, ἃ ὲχ ὡς ἐπικλήρῳ σνῴκει αὐτῇ· (3) τὸν δὲ κλῆρον] ὅτως ἔγραψα ἀντὶ τᾶ, τῶν δὲ κλήρων· (4) αὐτοὶ ἐπιδικασάμενοι αὐτὴν ἔξειν] λήψεσθαι αὐτὴν αὐτοὶ ὡς γυναῖκα ὡς ἐγγύτατα γένει ὄντες· (7) ἀτύχημα δημόσιον] ἀποτίσαι ἀργύριον ὲκ οἶδ' ἀνθ' ὅτε καταγνωθεὶς, ὲκ ἠδύνατο· (10) τᾶτο μὲν

νεῶτος λέξθσιν, ἐλεῦντες ὡς ἀνὴρ μὲν ἀγαθὸς ἐν τῷ πο-
λέμῳ τέθνηκε, ἃ ὅτι ὲ δίκαιόν ἐσι τὰς ἐκείνθ διαθήκας
ἀκύρθς καθισάναι. ἐγὼ δὲ ἃ αὐτὸς, ὦ ἄνδρες, οἶμαι 11
δεῖν κυρίας εἶναι τὰς διαθήκας, ἃς ἂν ἕκασος διαθῆται
περὶ τῶν ἑαυτᾶ. περὶ μέντοι τῶν ἀλλοτρίων ὲ κυρίας εἶ-
ναι τὰς διαθήκας, ὥσπερ ἃς ἕκασος περὶ τῶν ἑαυτᾶ δια-
θῆται. ταῦτα δὲ ὲ τάτων ὄντα, ἀλλὰ ἡμέτερα φαίνεται.

ἡ. Ὥσε ἂν ἐπὶ τᾶτον τὸν λόγον καταφεύγῃ, ἃ μάρ- 1
τυρας παρέχηται ὡς διέθετο ἐκεῖνος, ἐπιδεικνύναι κε-
λεύετε εἰ δικαίως τὰ ἑαυτᾶ, τᾶτο ἃ δίκαιόν ἐσι. δεινό- 2
τατα γὰρ πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν ἃ ἕτοι,
ὄντες ἐξ ἐκείνθ, μὴ μόνον τὸν Ξεναινέτθ οἶκον πλέον ἢ
τεττάρων ταλάντων ἔξθσιν, ἀλλὰ ἃ τόνδε προσλήψον-
ται· ἐγὼ δὲ, τῆς μητρὸς ἕσης κυρίας, ἃ ἐκ τῶν αὐ- 3
τῶν Κυρωνίδῃ γεγενημένος, εἰ μηδὲ τὸν τῆς μητρὸς
κλῆρον λήψομαι· ἃ ταῦτα, μηδὲ ἐχόντων τάτων ἐπε-
νεγκεῖν παρ' ὅτθ ποτ' εἰλήφασι. καίτοι δίκαιον, ὦ ἄν- 4
δρες, ὥσπερ τῶν ἀμφισβητησίμων χωρίων δεῖ τὸν ἔχον-
τα ἢ θέτην ἢ πρατῆρα παρέχεσθαι, ἢ καταδεδικασμέ-
νον φαίνεσθαι, ἕτω ἃ τάτως καθ' ἕντι τάτων ἀποφήναν-
τας αὐτὸν ἀξιᾶν ἐπιδικάζεσθαι, ἃ μὴ πρὸ δίκης τὴν Ἀ-
ρισάρχθ θυγατέρα, ἐμὴν δὲ μητέρα, ἐκ τῶν πατρῴων
ἐκβάλλειν. ἀλλὰ γὰρ, ὦ ἄνδρες, ὲχ ἱκανόν ἐσι Ξεναινέ- 5

τ' οἶδ' ὅτι] ὅτως ἔγραψα ἀντὶ τᾶ, τᾶτο μὲν δ' οἶδ', ὅτι· (11) ὥσπερ ἃς] ὥσπερ οἶμαι δεῖν εἶναι κυρίας, ἃς ἕκασος.

(1) Εἰ δικαίως τὰ ἑαυτᾶ] ἢ τὸ, δικαίως, παρέλκει· ἢ προθετέον τὸν, Καί· ἵν' ᾖ, εἰδικαίως ἃ τὰ ἑαυτᾶ· τᾶτο γὰρ ἃ δίκαιόν ἐσι· (3) ἐπενεγκεῖν] ἀναφέρειν ὄνομα τινὸς παρ' ὅτθ τὸν κλῆρον εἰλήφασι· (4) θέτην ἢ πρατῆρα] ἀμφισβητεῖται χωρίοντι· ὁ ἔχων τᾶτο ὀφείλει ἀποδεῖξαι τὸν θέτην ἢ τὸν πρατῆρα· ὅ ἐσι παρὰ τίνος ἔχει αὐτὸ ἢ ὡς ὑποθήκην, ἢ ὡς ἐωνημένον· εἰδὲ μὴ, ἔσαι καταδεδικασμένος· (4) ἀποφήναντας αὐτὸν] τὸν κλῆρον.

τῳ τὸν Ἀ'ριζομένης οἶκον καταπεπαιδερασηκέναι, ἀλλὰ
6 ϗ τῦτον οἴεται δεῖν τὸν αὐτὸν τρόπον διαθεῖναι. ἐγὼ δ',
ὦ ἄνδρες δικασαὶ, βραχείας ὐσίας ὑπαρξάσης, ἀδελ-
7 φὰς μὲν ἐξέδωκα, ὅσα ἐδυνάμην ἐπιδές· κόσμιον δ' ἐμαυ-
τὸν παρέχων, ϗ ποιῶν τὰ προσαττόμενα, ϗ τὰς στρα-
τείας στρατευόμενος, ἀξιῶ τῶν τῆς μητρὸς πατρῴων μὴ
8 ἀποζερηθῆναι. ἀπέδειξα δ' ὑμῖν Κυρωνίδην μὲν τὸν τέ-
των πατέρα ἐκποίητον γενόμενον, ϗ ἐκ ἐπανελθόντα εἰς
9 τὸν πατρῷον οἶκον· τὸν δὲ πατέρα τὸν Κυρωνίδε ϗ τῆς
ἐμῆς μητρὸς, Δημοχάρει τῷ ὑῷ τῦτον τὸν κλῆρον κα-
ταλιπόντα, ἐκεῖνον δὲ ἄπαιδα ὄντα τελευτήσαντα· καὶ
εἰς τὴν ἐμὴν μητέρα τῦτον τὸν κλῆρον ἐπιγιγνόμενον.

ΙΣΑΙΟΥ ΛΟΓΟΣ

ΥΠΕΡ ΤΟΥ

ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀ'γνίας τὶς εἶχεν ἀνεψιὰς πολλὰς, Θεόπομπον, ϗ τὸν ἀ-
δελφὸν αὐτῦ Στρατοκλέα ϗ Στράτιον, ϗ Εὐβυλίδην. ἔτος
μέλλων τελευτᾶν, ἐποιήσατο θετὴν αὐτῷ θυγατέρα· κε-
λεύσας ἐν ταῖς διαθήκαις, εἴ τι πάθοι ἡ θυγάτηρ, ἔρχε-
σθαι τὸν κλῆρον εἰς Γλαύκωνα, ἀδελφὸν αὐτῦ τυγχάνοντα
ὁμομήτριον. ἐπὶ τύτοις αὐτῦ τελευτήσαντος, ἡ θυγάτηρ
λαβῦσα τὸν κλῆρον ἐτελείτησεν. ἀποθανόντος δὲ ϗ Εὐβυ-
λίδε, ἡ θυγάτηρ αὐτῦ, τῦ Εὐβυλίδε, δικασαμένη πρὸς
Γλαύκωνα, ἔλαβε τὴν ὐσίαν. μετὰ ταῦτα τελευτησάντων
ϗ τῶν περὶ τὸν Στρατοκλέα ϗ Στράτιον, Θεόπομπος μόνος
ἐδικάσατο πρὸς αὐτὴν, ϗ ἔλαβε τὸν κλῆρον. πρὸς τῦτον ὁ
ὑὸς τῦ ἀδελφῦ, Στρατοκλέης, δικάζεται· πρὸς αὐτὸν δὲ

ἐπιτρόπε τινὸς ὑὸς, φάσκων ἐξίσε τὰ τῆς κληρονομίας ἁρ-
μόζειν τῷ τε Θεοπόμπῳ ϗ τῷ παιδὶ τῦ ἀδελφῦ αὐτῦ. Η' σά-
σις πραγματική.

ά. Διὰ ταῦθ' ὑμῖν ἀνέγνων τὺς νόμυς, ὅτι κατὰ 1
τὸν πρῶτον αὐτῶν ἰσχυρίζεται τῷ παιδὶ τῦ ἡμικληρίε προ-
σήκειν, ἐκ ἀληθῆ λέγων. ὁ γὰρ ἦν ἡμῖν Ἀ'γνίας ἀ-
δελφός· ὁ δὲ νόμος περὶ ἀδελφῦ χρημάτων, πρῶτον ἀ- 2
δελφοῖς τε ϗ ἀδελφιδοῖς πεποίηκε τὴν κληρονομίαν, ἂν
ὦσιν ὁμοπάτορες. τῦτο γὰρ ἐγγυτάτω τῦ τελευτήσαν-
τος γένος ἐσίν. ἐὰν δ' ἔτοι μὴ ὦσι, δεύτερον ἀδελφὰς 3
ὁμοπατρίας καλεῖ ϗ παῖδας τὺς ἐκ τύτων. ἐὰν δὲ μὴ
ὦσι, τρίτῳ γένει δίδωσι τὴν ἀγχισείαν, ἀνεψιοῖς πρὸς
πατρὸς, μέχρις ἀνεψιῶν παίδων. ἐὰν δὲ ϗ τῦτ' ἐκλίπῃ, 4
εἰς τὸ γένος πάλιν ἐπανέρχεται, ϗ ποιεῖ τὺς πρὸς μη-
τρὸς τῦ τελευτήσαντος, κυρίυς αὐτῶν κατὰ ταὐτὰ, κα-
θάπερ τοῖς πρὸς πατρὸς ἐξ ἀρχῆς ἐδίδε τὴν κληρονο-
μίαν. ταύτας τὰς ποιητὰς ἀγχισείας ὁ νομοθέτης μόνας
συντομωτέρας τοῖς ῥήμασιν ἢ ἐγὼ φράζω· τὴν μέντοι 5
διάνοιαν ὧν βέλεται, ταύτῃ δείκνυσιν. ὁ δὲ παῖς ἔτος
ὐδὲ καθ' ἓν τύτων τῶν ὀνομάτων Ἀ'γνία προσήκει ἀγ-
χισεία, ἀλλ' ἔξω τῆς συγγενείας ἐσίν. ἵνα δ' ἀκριβῶς 6

(1) Διὰ ταῦθ' ὑμῖν ἀνέγνων τὺς νόμυς] δοκεῖ δ' ὁ λόγος ἀκέφαλος· δυ-
νατὸν ἀλλ' ἔν γ' ἔτω καινοπρεπῶς ἄρξασθαι λέγειν προαναγνόντα τὺς νόμυς,
καθ' ὃς ὁ ἀντίδικος ἰσχυρίζεται· ἐσὶ δ' ὁ λέγων τὸν λόγον Θεόπομ-
πος πρὸς τὸν ὑὸν τῦ ἐπιτρόπε ἰσχυριζομένε· ὅτι προσήκει τῷ τῦ Στρα-
τολέως παιδὶ τὸ ἡμικλήριον· (2) περὶ ἀδελφῦ χρημάτων] διαγορεύων.

μάθητε περὶ ὧν ψηφιεῖσθε, τὸς πολλὸς λόγους ἐάσας, ἕτος εἰπάτω ὅ,τι ὁ παῖς προσήκει τουτωνὶ τῶν εἰρημένων τῷ τὸν κλῆρον καταλιπόντι. κἂν φανῇ κατά τι προσήκων, 7 ἐκὼν ἐγὼ συγχωρῶ τὸ ἡμικλήριον εἶναι τοῦ παιδός. εἰ δέ τοι μηδὲν τούτων ἔξει εἰπεῖν, πῶς ἂν ἐλεγχθήσεται φανερῶς ἐμὲ μὲν συκοφαντῶν, ὑμᾶς δ' ἐξαπατῆσαι παρὰ τοὺς νόμους ζητῶν;

1 β'. Ἀναβιβασάμενος ἕν αὐτὸν ἐναντίον ὑμῶν ἐρωτήσω τὰ ἐν τοῖς νόμοις ὑπαναγινώσκων. ἕτω γὰρ εἴσεσθε 2 εἰ προσήκει τῷ παιδὶ τῶν Ἀγνίου χρημάτων, ἢ μή. λάβε ἕν αὐτοῖς τοὺς νόμους· σὺ δ' ἀνάβηθι δεῦρο, ἐπειδὴ δεινὸς εἶ διαβάλλειν, καὶ τοὺς νόμους διαστρέφειν. σὺ δ' ἀναγίνωσκε· ἐπίσχες. ἐρωτήσω σε, ἀδελφὸς ἐὼν ὁ παῖς Ἀγνίου, ἀδελφιδοῦς ἐξ ἀδελφοῦ ἢ ἐξ ἀδελφῆς γεγονὼς, ἢ ἀνεψιὸς, ἢ ἐξ ἀνεψιοῦ πρὸς μητρὸς ἢ πρὸ πατρός; τί τούτων τῶν ὀνομάτων, οἷς ὁ νόμος τὴν ἀγχιστείαν δίδωσι; 3 καὶ ὅπως μὴ ἐκεῖνο ἐρῇς, ὅτι ἐμὸς ἀδελφιδοῦς. ἀ γὰρ πε- 4 ρὶ τοῦ ἐμοῦ κλήρου νῦν ὁ λόγος ἐστί. ζῶ γάρ. εἰ δ' ἦν ἅπαις ἐγὼ ἦν τετελευτηκὼς, καὶ ἠμφισβήτει τῶν ἐμῶν, τοῦτο ἂν προσήκοι ἀποκρίνασθαι ἐρωτωμένῳ· νῦν δὲ φῂς τῶν 5 Ἀγνίου χρημάτων τὸ ἡμικλήριον εἶναι τοῦ παιδός· δεῖ δέ σε τῆς ἀγχιστείας, ὅτι ὁ παῖς Ἀγνίᾳ προσήκει, τὸ γένος εἰπεῖν. ἀλλ' ἀποκρίνεται πάντα μᾶλλον ἢ ὃ δεῖ μαθεῖν ἡμᾶς. καίτοι τόνγε πράττοντά τι δίκαιον, ἀ προσῆκεν ἀπορεῖν, ἀλλ' εὐθὺς λέγειν· καὶ μὴ μόνον τοῦτο 6 ποιεῖν, ἀλλὰ καὶ διόμνυσθαι, καὶ τοῦ γένους παρέχεσθαι μαρτυρίας, ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν· νῦν δ' ἐφ' οἷς 7

(6) ὅ,τι ὁ παῖς] καθ' ὅ,τι τούτων τῶν εἰρημένων προσήκει ὁ παῖς τῷ καταλιπόντι τὸν κλῆρον Ἀγνίᾳ.

(2) Λάβε ἕν (ὦ γραμματεῦ) αὐτοῖς (τοῖς δικασταῖς) τοὺς νόμους· σὺ δὲ (ὦ ἐπίτροπε τοῦ παιδὸς) ἀνάβηθι· (2) τί τούτων τῶν ὀνομάτων] ἐστὶν, ᾧ μοίᾳ τούτῳ προσαρμόζεται.

ἀπόκρισιν ἀ δέδωκεν, ἀ μάρτυρας παρέχετο, ἃ οὐχ ὅρκον ὤμοσεν, ἀ νόμον ἀνέγνωκεν, οἴεται δεῖν ὑμᾶς, ὀμωμοκότας ψηφιεῖσθαι κατὰ τοὺς νόμους, αὐτῷ πειθομένους ἐμοῦ καταγνῶναι ταύτην τὴν εἰσαγγελίαν παρὰ τοὺς νόμους. ἕτω χέτλιος καὶ ἀναιδὴς ἄνθρωπός ἐστιν. ἀλλ' ἐκ ἐγὼ ποιήσω τούτων οὐδέν, ἀλλὰ καὶ τὸ γένος ἐρῶ τοὐμὸν, καὶ ὅθεν ἐμοὶ προσήκει τῆς κληρονομίας· καὶ τὸν παῖδα ἐπιδείξω καὶ τοὺς πρότερον ἀμφισβητήσαντας ἐμοὶ τοῦ κλήρου, πάντας ἔξω τῆς ἀγχιστείας ὄντας. ὥωθ' ὑμᾶς ὁμολογεῖν. ἀνάγκη δ' ἐστὶν ἐξ ἀρχῆς τὰ συμβεβηκότα εἰπεῖν. ἐκ τού- 9 των γνώσεσθε τήν τε ἐμὴν ἀγχιστείαν, καὶ ὅτι τούτοις οὐδὲν προσήκει τῆς κληρονομίας.

γ'. Ἐγὼ γὰρ καὶ Ἀγνίας, ὦ ἄνδρες, καὶ Εὐβουλίδης, 1 καὶ Στρατοκλῆς, καὶ Στράτιος ὁ τῆς Ἀγνίου μητρὸς ἀδελφὸς, ἐξ ἀνεψιῶν ἐσμὲν γεγονότες· καὶ γὰρ οἱ πατέρες ἡμῶν ἦσαν ἀνεψιοὶ ἐκ πατραδέλφων. Ἀγνίας ἕν, ὅτε 2 ἐκπλεῖν παρεσκευάζετο πρεσβεύσων ἐπὶ ταύτας τὰς πράξεις, αἰεὶ τῇ πόλει συμφερόντως εἶχον, ἐκ ἐφ' ἡμῖν τοῖς ἐγγύτατα γένους, εἴτι πάθοι, τὰ ὄντα κατέλιπεν, ἀλλ' ἐποιήσατο θυγατέρα αὐτοῦ ἀδελφιδῆν. εἰ δέτι καὶ αὐτὴ πάθοι, Γλαύκωνι τὰ ὄντα ἐδίδου, ἀδελφῷ ὄντι ὁμομητρίῳ· καὶ ταῦτ' ἐν διαθήκαις ἐνέγραψε. χρόνων δὲ δια- 3 γενομένων μετὰ ταῦτα τελευτᾷ μὲν Εὐβουλίδης, τελευτᾷ δ' ἡ θυγάτηρ, ἣν ἐποιήσατο Ἀγνίας· λαμβάνει δὲ τὸν κλῆρον Γλαύκων κατὰ τὴν διαθήκην. ἡμεῖς δ' ἀ πώ- 4 ποτ' ἠξιώσαμεν ἀμφισβητῆσαι πρὸς τὰς ἐκείνου διαθήκας, ἀλλ' ᾠόμεθα δεῖν περὶ τῶν αὐτοῦ τὴν ἐκείνου γνώμην εἶναι κυρίαν, καὶ τούτοις ἐνεμένομεν. ἡ δ' Εὐβουλίδου θυγά- 5 τηρ μετὰ τῶν αὐτῇ συμπραττόντων, λαγχάνει τοῦ κλήρου, καὶ λαμβάνει νικήσασα τοὺς κατὰ διαθήκην ἀμφισβητήσαντας, ἔξω μὲν ὅσα τῆς ἀγχιστείας, ἐλπίσασα δ'

(ὡς ἔοικεν) ἡμᾶς πρὸς αὐτὴν ἐκ ἀντιδικήσειν, ὅτι ἐδὲ
6 πρὸς τὰς διαθήκας ἡμφισβητήσαμεν. ἡμεῖς δὲ, ἐγὼ ἐ
Στράτιος ἐ Στρατοκλῆς, ἐπειδὴ τοῖς ἐγγύτατα γένους
ἐγεγένητο ἐπίδικος ὁ κλῆρος, παρεσκευαζόμεθα ἅπαν-
7 τες λαγχάνειν· πρὶν δὲ γενέσθαι τὰς λήξεις τῶν δικῶν
ἡμῖν, τελευτᾷ μὲν ὁ Στράτιος, τελευτᾷ δ' ὁ Στρατο-
κλῆς, λείπομαι δ' ἐγὼ μόνος τῷ πρὸς πατρὸς ὢν ἀνε-
ψιῷ παῖς, ᾧ μόνῳ κατὰ τὰς νόμους ἐγίνετο ἡ κληρονο-
μία, πάντων ἤδη τῶν ἄλλων ἐκλελοιπότων, οἳ ταύτῃ
8 μὲν τῇ συγγενείᾳ προσήκοντες ἐτύγχανον. τῷ δὲ γνώ-
σεσθε τόδ' ὅτι ἐμοὶ μὲν ἀγχισεύειν, τοῖς δ' ἐξ ἐκείνων
γεγονόσιν ἐκ ἦν, ἐν οἷς ἕτος ὁ παῖς ἦν, αὐτὸς ὁ νόμος
9 δηλώσει. τὸ μὲν γὰρ εἶναι τὴν ἀγχισείαν ἀνεψιοῖς πρὸς
πατρὸς μέχρις ἀνεψιῶν παίδων, ὁμολογεῖται παρὰ πάν-
10 των. εἰ δὲ μεθ' ἡμᾶς δίδωσι τοῖς ἡμετέροις παισὶ, τότ'
ἤδη σκεπτέον ἐσί. λάβε ἕν αὐτοῖς τὸν νόμον, ἐ ἀναγί-
νωσκε.

ΝΟΜΟΣ.

1 δ'. Ε'ὰν δὲ μηδεὶς ᾖ πρὸς πατρὸς μέχρις ἀνεψιῶν
παίδων, τὰς πρὸς μητρὸς κυρίας εἶναι κατὰ τὰ αὐτά.
2 Α'κούετε, ὦ ἄνδρες, ὅτι ὁ νομοθέτης ἐκ εἶπεν, ἐὰν μη-
δεὶς ᾖ πρὸς πατρὸς μέχρις ἀνεψιῶν παίδων, τὰς τῶν
ἀνεψιαδῶν εἶναι κυρίας, ἀλλὰ ἀπέδωκε τοῖς πρὸς μητρὸς
τῷ τελευτήσαντος, ἂν ἡμεῖς μὴ ὦμεν, τὴν κληρονομίαν
ἤδη, ἀδελφοῖς ἐ ἀδελφαῖς, ἐ παισὶ τοῖς τούτων, ἐ
τοῖς ἄλλοις. κατὰ ταῦτα ἐ ἐξ ἀρχῆς ἦν ὑπειρημένον.
3 τὰς δὲ ἡμετέρας παῖδας ἔξω τῆς ἀγχισείας ἐποίησεν.

(6) Παρεσκευαζόμεθα] ἔτως ἔγραψα ἐν πρώτῳ προσώπῳ ἀντὶ τοῦ, παρεσκευάζοντο· ἄμεινον γάρ.

(2) Καὶ τοῖς ἄλλοις· κατὰ ταῦτα] ἄμεινον ἦν συνημμένως ὡδί· ἐ τοῖς ἄλλοις κατὰ ταυτὰ (ὡς) ἐ ἐξ ἀρχῆς ὑπειρημένον ἦν· ἡ δὲ, Γ'πὸ, προτεθειμένη τῷ εἰρημένον, τὸ ὑπάλληλον τῆς σειρᾶς τοῦ γένους ἂν εἴη δηλοῦσα· (3) ὡς ἐγὼ] φημι, ἢ δείκνυμι· ἢ τοιοῦτόν τι· (4) ἐ γὰρ ὁ τούτου πατὴρ (Στρατοκλῆς) ὁμοίως ἦν ἐκείνοις (τοῖς ἄλλοις Στρατίῳ ἐ Εὐβουλίδῃ) συγγενὴς (τῷ Α'γνίᾳ.)

οἷς δὲ μηδ' εἷς ἐ τετελευτηκότες ὦσιν, ὡς ἐγὼ, δίδω-
σιν ὁ νόμος τὴν Α'γνίου κληρονομίαν, πῶς ἐμοῦτε ζῶντος
ἐ κατὰ τοὺς νόμους ἔχοντος, οἴονται αὐτοῖς εἶναι τὴν ἀγ-
χισείαν; ὐδαμῶς δήπουθεν. ἀλλὰ μὴν εἰ τούτοις μὴ μέτε- 4
σιν, ὧν οἱ πατέρες ταυτὸν ἐμοὶ προσῆκον, ὐδὲ τούτῳ τῷ
παιδὶ γίνεται. ἐ γὰρ ὁ τούτου πατὴρ ὁμοίως ἦν ἐκείνοις
συγγενής. ἐκοῦν δεινὸν, ἐμοὶ μὲν διαῤῥήδην ἔτω τῶν νό- 5
μων δεδωκότων τὴν κληρονομίαν, τούτους δ' ἔξω τῆς ἀγ-
χισείας πεποιηκότων, τολμᾶν τοτονὶ συκοφαντεῖν, καὶ
διαγωνίσασθαι μὲν, ἵνἰ ἐγὼ τοῦ κλήρου τὴν δίκην ἐλάγ-
χανον, μὴ οἴεσθαι δεῖν, μηδὲ παρακαταβάλλειν, ἕ πε-
ρὶ τῶν ποιούτων εἴτι δίκαιον εἶχεν εἰπεῖν, διαγνωσθῆναι
προσῆκεν. ἐπὶ δὲ τοῦ παιδὸς ὀνόματι πράγματ' ἐμοὶ πα- 6
ρέχειν, ἐ περὶ τῶν μεγίσων εἰς κίνδυνον καθισάναι. καὶ 7
περὶ μὲν τῶν ὁμολογουμένων εἶναι τοῦ παιδὸς χρημάτων
μηδ' αἰτιᾶσθαί με, μηδ', ὥς τι εἴληφα, ἔχειν εἰπεῖν·
ἐφ' οἷς, εἴτι αὐτῶν κακῶς διῴκουν, ὥσπερ ἕτοι, κρίνε-
σθαί μοι προσῆκεν· ἃ δ' ὑμεῖς ἐμὰ εἶναι ἐψηφίσασθε, τῷ 8
βουλομένῳ δόντες ἐξουσίαν ἀμφισβητεῖν αὐτῶν, ἐπὶ τούτοις
ἐμοὶ τοιούτους ἀγῶνας παρασκευάζειν, ἐ εἰς τοῦτο ἀναι-
σχυντίας ἥκειν.

ε'. Οἶομαι μὲν ἕν ἐ ἐκ τῶν ἤδη εἰρημένων γινώσκεσθαι 1
ὑμῖν, ὅτι ἔτ' ἀδικῶ τὸν παῖδα ὐδὲν, ἔτ' ἔνοχός εἰμι ταύ-
ταις ταῖς αἰτίαις ὐδὲ κατὰ μικρόν· ἔτι δὲ ἀκριβέστερον 2
ἡγοῦμαι ἐ ἐκ τῶν ἄλλων ὑμᾶς μαθήσεσθαι ἐ τὴν ἐμὴν ἐ-
ἐπιδικασίαν, ὡς γέγονεν, ἀκούσαντας περὶ αὐτῶν· ἐμοὶ 3
γὰρ, ὦ ἄνδρες, λαχόντι τοῦ κλήρου τὴν δίκην, ἔτε ἕτος
ὁ νῦν ἐμὲ εἰσαγγέλλων ᾠήθη δεῖν παρακαταβάλλειν ὑπὲρ

τῆ παιδὸς, ἅτε οἱ Στρατίᾳ παῖδες οἱ τούτῳ τῷ παιδὶ προσήκοντες, ἅτε δὶ ἄλλο ἀδὲν αὐτοῖς ἐνόμιζον προσήκειν τούτων τῶν χρημάτων· ἐπεὶ ἀδ' ἂν ἅτος νῦν ἐμοὶ πράγματα παρεῖχεν, εἰ τὰ τε παιδὸς εἴων ἁρπάζειν, καὶ ἠναντιέμην αὐτῷ· ἅτοι μὲν ἦν, ὥσπερ εἶπον, εἰδότες ὅτι ἔξω ἦσαν τῆς ἀγχισείας, ἀκ ἠμφισβήτων, ἀλλ' ἡσυχίαν εἶχον· οἱ δ' ὑπὲρ τῆς Εὐβιλίδε θυγατρὸς πράττοντες, τῆς τὸ αὐτὸ δικαίως τῷ Στρατίᾳ παιδὶ προσηκούσης, καὶ οἱ κύριοι τῆς Ἀγνίε μητρὸς, ἦσαν οἷοί τε πρὸς ἐμὲ ἀντιδικεῖν· εἰς τοσαύτας δ' ἀπορίας κατέσησαν, ὅ,τι ἀντιγράψονται περὶ τῆς ἀγχισείας, ὥσε ἡ μὲν τὸν κλῆρον ἔχουσα, καὶ οἱ λέγοντες τὸ περὶ αὐτῆς γένος, ἐπειδὴ κατεψεύσαντο, ῥαδίως ὑπ' ἐμοῦ τότε ἐξηλέγχθησαν ἀκ ἀληθές τι γράψαι τολμήσαντες· οἱ δ' ὑπὲρ τῆς Ἀγνίε μητρὸς γένει μὲν ἐμοὶ ταυτὸ προσηκούσης, (ἀδελφὴ γὰρ Στρατίᾳ) νόμῳ δὲ ἀποκλειομένης, ὃς κελεύει κρατεῖν τὰς ἄῤῥενας, τοῦτο μὲν εἴασαν· οἰόμενοι δ' ἐμοῦ πλεονεκτήσειν, μητέρα εἶναι τοῦ τελευτήσαντος ἔγραψαν· ὃ συγγενέσατον μὲν ἦν τῇ φύσει πάντων, ἐν δὲ ταῖς ἀγχισείαις ὁμολογούμενος ἀκ ἔσιν· εἶτα γράψας ἀνεψιοῦ παῖδας εἶναι, κἀκείνας ἐξελέγξας ἀκ ὄσας ἐν ταῖς ἀγχισείαις, οὕτως ἐπεδικασάμην παῤ ὑμῖν· καὶ αὐτῶν ἀκ ἴσχυσέ τι ἅτε τῇ τὸν κλῆρον ἐχούσῃ, τὸ προνενικηκέναι τὰς κατὰ διαθήκην ἀμφισβητήσαντας, ἅτε τῇ ἑτέρᾳ, τὸ μητέρα εἶναι τοῦ

(4) Καὶ ἠναντιόμην] δοκεῖ δὲ μᾶλλον προσθετέον εἶναι τὸ, ἀρνητικὸν ἀ· ἢ τὸ μή· οἷον, καὶ μὴ ἠναντιόμην. (8) ἐν δὲ ταῖς ἀγχισείαις ἀκ ἔσι] ἐγγυτάτω μὲν γένει ἡ μήτηρ ἐσι τοῦ Ἀγνίε, ἀλλ' ὁ κλῆρος προσήκει τοῖς κατὰ σειρὰν ἀκολουθοῦσι τῷ γένει ἑξῆς, πρῶτον ἄῤῥεσιν εἶτα θυλείαις. (9) εἶτα γράψας ἀνεψιοῦ παῖδας εἶναι·] ἢ τὸ γράψας τρεπτέον εἰς τὸ γραψαμένας (οἵεσι ἐγράψαντο ἑαυτὰς ἐν τῷ γραμματείῳ τοῦ δικασηρίε, ὅτι εἰσὶ θυγατέρες ἀνεψιοῦ, εἴτ' ἂν ἐξαδέλφε.) ἢ τὸ, ἀνεψιοῦ, εἰς τὸ, ἀνεψιαδοῦ· ἵνα ᾖ, γράψας ἐγὼ ταύτας μὴ εἶναι ἀνεψιοῦ, ἀλλ' ἀνεψιαδοῦ παῖδας, κἀκείνας ἐξελέγξας καὶ τλ. (9) τὰς κατὰ διαθήκην] τὸν Γλαύκωνα.

τὸν κλῆρον καταλιπόντος· ἀλλ' ὅτως οἱ τότε δικάζοντες καὶ τὸ δίκαιον καὶ τὰς ὅρκας περὶ πολλοῦ ἐποιήσαντο, ὥσε μοι τῷ κατὰ τὰς νόμας ἀμφισβητοῦντι τὴν ψῆφον ἤνεγκαν· καίτοι εἰ τὰς μὲν νενίκηκα τοῦτον τὸν τρόπον, ἐπιδείξας μηδὲν Ἀγνίᾳ κατ' ἀγχισείαν προσηκούσας, ὅτος δὲ μὴ ἐτόλμησεν ἀντιδικῆσαι τῷ παιδὶ τοῦ ἡμικληρίε πρὸς ὑμᾶς· οἱ δὲ Στρατίε παῖδες, οἱ ταὐτὸ τούτῳ προσήκοντες, μηδὲ νῦν ἀξιοῦσιν ἀντιδικῆσαι πρὸς ἐμὲ περὶ αὐτῶν, ἔχω δ' ἐγὼ τὸν κλῆρον ἐπιδικασάμενος παῤ ὑμῖν, ἐξελέγχω δὲ τοῦτον μηδέπω καὶ τήμερον ἔχοντα εἰπεῖν ὅ,τι ὁ παῖς Ἀγνίᾳ προσήκει κατ' ἀγχισείαν, τί ἔτι δεῖ μαθεῖν ὑμᾶς, ἢ τί ποθεῖτε ἀκοῦσαι περὶ τούτων;

ς'. Ἐγὼ μὲν γὰρ ὡς εὖ φρονοῦσιν ὑμῖν ἱκανὰ τὰ εἰρημένα νομίζω· ὅτος τοίνυν ῥαδίως ὅ,τι ἂν τύχοι ψευδόμενος, καὶ τὴν αὐτοῦ πονηρίαν ἀδεμίαν ζημίαν εἶναι νομίζων, τολμᾷ με διαβάλλειν, ἄλλα τε πολλὰ, περὶ ὧν ποιήσομαι τὰς λόγας τάχα, καὶ νυνὶ λέγει, ὡς ἐκοινωσάμεθα, ἐγώ τε καὶ Στρατοκλῆς, τὸν ἀγῶνα εἰσιέναι περὶ τοῦ κλήρου μέλλοντες· ὃ μόνοις ἡμῖν τῶν ἀμφισβητεῖν παρεσκευασμένων ἀκ ἐνῆν διομολογήσασθαι πρὸς ἀλλήλους· τῇ μὲν γὰρ Εὐβιλίδε θυγατρὶ καὶ τῇ Ἀγνίε μητρὶ πρὸς ἡμᾶς ἀγωνιζομέναις, μὴ κατὰ ταυτὸ ἀμφισβητήσαις, ἐνῆν ποιήσασθαι συνθήκας, ἂν ἡ ἑτέρα νικᾷ, μετεῖναί τι καὶ τῇ ἡττηθείσῃ· καδίσκος γὰρ ἔμελλεν ἑκατέρᾳ τεθήσεσθαι· τὸ δ' ἡμέτερον ἀ τοιοῦτον ἦν, ἀλλ' ἓν γένος, δύο δὲ λήξεις, ἡμικληρίε ἑκατέρῳ· τοῖς δὲ κατὰ ταὐτὰ ἀμφισβητοῦσιν εἷς τίθεται καδίσκος, ὃ ἀκ ἂν ἦν τὸν μὲν νικᾶν, τὸν

(3) Τὸν μὲν νικᾶν, τὸν δὲ ἡττᾶσθαι] ἐνήλλαξα ὅτω τὰ ῥήματα ταῦτα ἦν γάρ· τὸν μὲν νικᾶσθαι, τὸν δὲ ἡττᾶν, ὅπερ ἀκ ἂν Ἰσαῖος ἔγραψεν ὅτως ἐνηλλαγμένως ταῖς διαθέσεσι. (4) ἀδὲ τῷ παιδὶ αὐτοῦ διὰ τὸν νόμον] ὅτω καὶ τοῦτο διώρθωσα ἀντὶ τοῦ, ἀδὲ τῷ παιδὶ τῷ διὰ τὸν νόμον· εἰδὲ μὴ, προθεσ-

4 δὲ ἡττᾶσθαι· ἀλλ' ὁμοίως ἀμφοτέροις ἦν ὁ αὐτὸς κίνδυνος· ὥς' ἐκ ἐνῆν κοινωνίαν ἐδὲ διομολογίας ποιήσασθαι περὶ αὐτῶν· ἀλλ' ἔτος ἐπειδὴ Στρατοκλῆς ἐτελεύτησε, πρὶν γενέσθαι τῇ ἡμικληρίᾳ τὰς λήξεις ἡμῶν ἑκατέρῳ, ᾧ ἐκέτ' ἦν μετουσία τῷ Στρατοκλεῖ τούτων, ἐδὲ τῷ παιδὶ αὐτῇ διὰ τὸν νόμον, ἀλλ' ἐγίνετο εἰς ἐμὲ ἡ κληρονομία κατ' ἀγχιστείαν πάντων, εἰ νικήσαιμι τοὺς ἔχοντας, τότ' ἤδη πλάττει ταῦτα ᾧ μηχανᾶται· προσδοκῶν τούτοις
5 τοῖς λόγοις ῥᾳδίως ὑμᾶς ἐξαπατῆσαι· ὅτι δ' ἐκ οἷόντ' ἦν τούτων γίγνεσθαι ἐδεὲν, ἀλλὰ διήρηται καθ' ἕκαστον περὶ αὐτῶν, ἐκ τοῦ νόμου γνῶναι ῥᾴδιον· λάβε δ' αὐτοῖς καὶ ἀνάγνωσκε. **ΝΟΜΟΣ,**

1 ζ'. Ἆρ' ὑμῖν ὁ νόμος δοκεῖ ποιεῖν ἐξουσίαν κοινωνίας, ἀλλ' ἐκ ἄντικρυς ἐτωσὶ πᾶν τἐναντίον, εἰ ᾧ τὸ πρότερον ὑπῆρχε κοινωνία, προσάττει, διαῤῥήδην κελεύων τοῦ μέρους ἕκαστον λαγχάνειν, ᾧ τοῖς κατὰ ταὐτὸ ἀμφισβητοῦσι τιθεὶς ἕνα καδίσκον, ᾧ τὰς ἐπιδικασίας τοῦτον τὸν τρό-
2 πον ποιῶν; ὁ δὲ, ταῦτα τῶν νόμων λεγόντων, ᾧ ἐκ ἐνούσης γενέσθαι διομολογίας, ἔτως ἀλόγως πρᾶγμα τη-
3 λικοῦτον ψεύσασθαι τετόλμηκεν· ᾗ μόνον δὲ τοῦτο πεποίηκεν, ἀλλὰ ᾧ τὸ πάντων ἐναντιώτατον πρᾶγμα εἴρηκεν, ᾧ προσέχετε τὸν νοῦν, ὦ ἄνδρες· φησὶ γὰρ ὁμολογῆσαί με τοῦ κλήρου τῷ παιδὶ τὸ ἡμικλήριον μεταδώσειν, εἰ νικήσαι-
4 μι τοὺς ἔχοντας αὐτόν· καίτοι εἴ μέν τι ᾧ αὐτῷ μετῆν κατὰ τὸ γένος, (ὡς ἔτος λέγει) τί ἔδει γενέσθαι ταύτην
5 αὐτοῖς παρ' ἐμοῦ τὴν ὁμολογίαν; ἦν γὰρ ὁμοίως ᾧ τούτοις ἐπίδικον τὸ ἡμικλήριον, εἴπερ ἀληθῆ λέγουσιν· εἰ δὲ μὴ

τέον γράφοντας ὅτω, τῷ διὰ τὸν νόμον ἀλλοτριωμένῳ τοῦ κλήρου. (5) διῄρηται.] ἴσως (ᾧ Ῥείσκης εἰκάζει,) διείρηται· ἵν' ᾖ, διαῤῥήδην εἴρηται· πλὴν καλῶς ἂν ἔχοι ᾧ ὅτω· δοκεῖ γὰρ ὁ νόμος, ὡς εἰκάσαι ἐκ τῶν ἑπομένων, ὅτι διαιρεῖ τὸ μέρος ἕκαστον λαμβάνειν.

προσῆκεν αὐτοῖς τῆς ἀγχιστείας μηδὲν, διὰ τί ἂν μεταδώσειν ὡμολόγουν, τῶν νόμων ἐμοὶ πάντων αὐτῶν δεδωκότων τὴν κληρονομίαν; πότερα δ' ἐκ ἦν μοι λαχεῖν, εἰ μὴ 6
πείσαιμι τούτους; ἀλλ' ὁ νόμος τῷ βουλομένῳ δίδωσι τὴν ἐξουσίαν· ὥστε τοῦτο ἐκ ἦν αὐτοῖς εἰπεῖν· ἀλλ' εἶχον τινά μοι μαρτυρίαν τοῦ πράγματος, ἣν εἰ μὴ ἐμαρτύρουν, ἐκ ἔμελλον ἐπιδικάσασθαι τούτων; ἀλλὰ κατὰ γένος ἠμφισ- 7
βήτουν, ᾗ κατὰ δόσιν· ὥς' ἐδὲν ἔδει μαρτύρων· ἀλλὰ μὴν εἰ μήτε κοινώσασθαι τὸ πρᾶγμα ἐνῆν, ὅτ' ἔζη Στρατοκλῆς, μήτε ὁ πατὴρ αὐτῷ κατέλιπεν ἐπιδικασάμενος τούτων ἐδὲν, μήτε εἰκὸς ἦν μεταδώσειν ἐμὲ τὸ ἡμικλήριον ὁμολογῆσαι αὐτῷ, ἀπόδοτε ὑμεῖς ἐπιδικάσαντές μοι τοῦτον τὸν κλῆρον· εἰ δὲ μήτε ἔλαχον τῶν αὐτῶν, μήτ' ἀμ- 8
φισβῆσαι πώποτ' ἠξίωσαν, πῶς χρὴ πιστοὺς εἶναι νομίζειν τοὺς τούτων λόγους; ἐγὼ μὲν οἶομαι οὐδαμῶς.

ή. Προσποιεῖται τοίνυν οὗτος, (ἐπειδὴ τοῦτ' εἰκότως 1
ἂν θαυμάζοιτε, ὅτι τῇ ἡμικληρίᾳ τότε τὴν δίκην οὐκ ἐλάγχανον,) τοῦ μὲν μὴ λαχεῖν πρὸς ἐκείνους, ἐμὲ εἶναι αἴτιον, ὡς ὁμολογήσαντα μεταδώσειν, ὥστε διὰ τοῦτ' ᾗ παρανταβάλλειν αὐτοῖς, τῆς δὲ πρὸς ἐμὲ λήξεως ἐμποδὼν εἶναι τοὺς νόμους· ᾗ γὰρ εἶναι τοῖς ὀρφανοῖς κατὰ τῶν 2
ἐπιτρόπων, ᾗδετερ' ἀληθῆ λέγων· ὅτε γὰρ ἄν νόμον δείξειεν, ὃς κωλύει τοῦτον ὑπὲρ τοῦ παιδὸς δίκην παρ' ἐμοῦ λαμβάνειν· ᾗ γάρ ἐσιν ἐναντιούμενος ἐδείς, ἀλλ' ὥσπερ ᾧ γραφὰς κατ' ἐμοῦ δέδωκεν, οὕτω ᾧ δίκας ἐμοὶ εἶναι ᾧ τῷ παιδὶ πεποίηκεν· ἔτ' αὖ διὰ ταῦτα ἐκείνοις τοῖς προ- 3

(7) Κατὰ γένος ἠμφισβήτουν] ἐγὼ δηλονότι· ὁμοίως δὲ, ᾧ ἔμελλον· τὸ δὲ, εἶχον ᾧ ἐμαρτύρουν ἀνωτέρω, ἐν τρίτῳ προσώπῳ πληθυντικῷ. (7) ὁ πατὴρ αὐτῷ] ὁ Στρατοκλῆς αὐτῷ τῷ ἑαυτοῦ παιδί.

(1) Τοῦ μὲν μὴ λαχεῖν πρὸς ἐκείνους] τοὺς ἔχοντας πρότερον τοῦ κλήρου· πρὸς δὲ τοὺς αὐτοὺς ἀνακτέον ᾧ τὸ, αὐτοῖς, μικρὸν κατωτέρω. (1) μεταδώσειν] τῷ παιδὶ τοῦ κλήρου. (2) κατὰ τῶν ἐπιτρόπων] δίκην λαχεῖν· ἦν γὰρ, ὡς ἔοικε, Θεόπομπος ἐπίτροπος τοῦ ἀδελφιδοῦ μετὰ ᾧ ἄλλων τινῶν. (2) ὁ-

σήκασι τῆ κλήρῳ ἀκ ἐλάγχανον, ὡς ἐμῆ μεταδώσειν ὁμολογήσαντος, ἀλλ' ὅτι ἀδ' ὁτιῆν αὐτοῖς τέτων τῶν
4 χρημάτων προσῆκεν· εὖ δ' οἶδ' ὅτι ἀδ' εἰ συνεχώρεν τῷ παιδὶ λαβεῖν ἐπιδικασαμένῳ παρ' ἐμῆ τὸ ἡμικλήριον, ἀκ ἄν ποτε ταῦτ' ἐποίησαν, ἀδ' ἐπεχείρησαν· εἰδότες, ὅτι, ὁπότ' ἐν τῇ ἀγχισείᾳ μὴ ὄντες εἴχόντι τῶν μὴ προσηκόντων, τετ' ἂν ὑπὸ τῶν ἐγγύτατα γένες ῥᾳδίως ἀφηρέ-
5 θησαν· ὅπερ γὰρ ᾗ πρότερον εἶπον, ἃ δίδωσι μεθ' ἡμᾶς τοῖς ἡμετέροις παισὶ τὸ παράπαν τὴν ἀγγισείαν, ἀλλὰ
6 τοῖς πρὸς μητρὸς τῆ τελευτήσαντος· ἦκεν ἂν ἓν ἐπ' αὐτὰ τᾶτο μὲν ὁ Γλαύκων, ὁ τῆ Ἀγνίε ἀδελφὸς· (πρὸς ὃν μὴ ὅτι γένος εἶχον ἄμεινον εἰπεῖν, ἀλλὰ ᾗ ἔξω τῆς ἀγχισείας ἐφαίνοντ' ἂν ὄντες) τᾶτο δ', εἰ μὴ ἐβέλετο ἕτος, ἡ Ἀγνίε κἀκείνε μήτηρ, προσῆκον καὶ αὐτῇ τῆς ἀγχι-
7 σείας τῆ αὐτῆς υἱέως· ὥωθ' ὁπότ' ἠγωνίζετο πρὸς τὰς μηδὲν γένει προσήκοντας, φανερῶς ἂν ἔλαβε τὸ ἡμικλήριον παρ' ὑμῶν, τᾶτο τῆ δικαίῳ ᾗ τῶν νόμων αὐτῇ δεδω-
8 κότων· ἀκ ἓν διὰ ταῦτ' οὐκ ἐλάγχανεν, ἐχ ὡς δι' ἐμὲ, ἢ τὰς νόμας κωλυόμενος, ἀλλὰ ταύτας τὰς προφάσεις ποιέμενος, ἐπὶ ταύτας τὰς συκοφαντίας ἐλήλυθεν ἐξ, ὧν γραφὴν γραψάμενος, καί με διαβάλλων, ἐλπίζει χρήματα λή-
9 ψεσθαι, καί με τῆς ἐπιτροπῆς ἀπαλλάξειν· ᾗ οἴεται δεινῆ τινος ἀνδρὸς ἔργον διαπράττεσθαι ταύταις ταῖς παρασκευαῖς, ὅτι μὴ κατορθώσας μὲν, ἀδὲν ἀπολεῖ τῶν αὐτῆ, διαπραξάμενος δ' ἃ βέλεται, ᾗ τὰ τῆ παιδὸς ἀδεῶς ἤδη διαφορήσει.

1 Θ'. Οὐκῶν ἃ δεῖ προσέχειν ὑμᾶς τοῖς τέτε λόγοις τὸν

δεὶς] νόμος δηλονότι. (4) ἀδ' εἰ συνεχώρεν] ᾗ εἰ συνεχώρεν ἐγὼ τῷ παιδὶ λαβεῖν τὸ ἡμικλήριον, ἀκ ἂν ἔτοι ἐλάμβανον, εἰδότες ᾗ τλ. (4) ὁπότε] ἔτως ἐπανέλαβον τὴν ἀρχαίαν γραφὴν ἀντὶ τῆ, ὅταν, παρὰ Ρ εἰσκε. (5) ἃ δίδωσιν] ὁ νόμος. (6) μὴ ὅτι γένος εἶχον ἄμεινον εἰπεῖν] ὅ ἐσσιν, ἃ μόνον γένος ἄμεινον ἀκ εἶχον δεῖξαι πρὸς Γλαύνωνα, ἀλλὰ ᾗ τλ.

νῆν, ἀδ' ἐθίζειν εἶναι γραφὰς, περὶ ὧν ἰδίας δίκας οἱ νόμοι πεποιήκασιν· ἁπλᾶ γὰρ τὰ δίκαια παντάπασιν ἐσὶ, ᾗ γνώριμα μαθεῖν· ἃ ἐγὼ διὰ βραχέων εἰπὼν, ᾗ παρα- 2
καταθέμενος ὑμῖν μνημονεύειν, ἐπὶ τὴν ἄλλην ἀπολογίαν ἤδη τρέψομαι τῶν κατηγορηθέντων· τί ἓν ἐσι ταῦτα; ᾗ 3
τί διορίζομαι; εἰ μὲν κατ' ἀγχισείαν τῆ Ἀγνίε μετεῖναι φησὶ τῷ παιδὶ τῆ ἡμικληρίε, λαχέτω πρὸς τὸν ἄρχοντα· κἂν ὑμεῖς ψηφίσησθε, λαβέτω· ταῦτα γὰρ οἱ νόμοι κε- 4
λεύσσιν· εἰ δὲ μὴ κατὰ τᾶτο ἀμφισβητεῖ, φησὶ δὲ ὁμολογῆσαι μὲ τῷ παιδὶ μεταδώσειν, φάσκοντος ἐμῆ τέτων εἶναι μηδὲν, δικασάσθω· κἂν ἐξελέγξῃ με ὡς ὡμολόγησα, τότ' ἤδη πραξάσθω· δίκαιον γὰρ ἕτως ἐσὶν· εἰ δὲ 5
μήτε πρὸς ἐμὲ, μήτε κατ' ἐμῆ δίκην εἶναι φησὶ τῷ παιδὶ, τὸν κωλύοντα νόμον, εἰπάτω· κἂν ἔχῃ δεῖξαι, λαβέτω ᾗ ἕτω τὸ μέρος τῶν χρημάτων· εἰ δ' αὖ μήτ' ἐπιδικάσα- 6
σθαι φησὶ δεῖν τῆ ἡμικληρίε, μήτε μὴν δικάσασθαι, ἀλλ' ἤδη εἶναι ταῦτα τῆ παιδὸς, ἀπογραψάσθω πρὸς τὸν ἄρχοντα εἰς τὴν μίσθωσιν τῶν ἐκείνε χρημάτων· ἣν ὁ μι- 7
σθωσάμενος εἰσπράξει με ταῦτα ὡς ὄντα τῆ παιδός· ταῦτα μεγάλα δικαιά ἐσι· ταῦτα ᾗ οἱ νόμοι κελεύσσιν, ἃ μὰ Δία, ἃ γραφὰς ἐμὲ φεύγειν περὶ ὧν δίκας ἰδίας εἶναι πεποιήκασιν, ἀδὲ κινδυνεύειν περὶ τῆ σώματος, ὅτι ἃ μετα- 8
δίδωμι τῷ παιδὶ τέτων, ἃ, ψήφῳ κρατήσας ἐγὼ τὰς ἔχοντας, ἕτω παῤ ὑμῶν ἔλαβον· ἀλλ' εἴ τι τῶν ὁμολογεμένων εἶναι τῆ παιδὸς εἶχον, ᾗ κακῶς διέθηκα, ὥσ' ἐκεῖνον κακῶσθαι, τότε ἄν μοι κατὰ ταύτην προσῆκε κρίνεσθαι τὴν γραφήν· ἃ μὰ Δί' ἀκ ἐπὶ τοῖς ἐμοῖς· ὅτι μὲν 9
ἓν ἔτε περὶ τέτων ἀδὲν δίκαιον πεποίηκεν, ἔτε περὶ τῶν

(5) Μήτε πρὸς ἐμὲ, μήτε κατ' ἐμῆ] ἀναφέρεται ταῦτα πρὸς τὰ εἰρημένα ἀνωτέρω· ἡ, 2. εἴη δ' ἂν τὸ πρὸς ἐμὲ, ὡς παρὰ τῆ ἐπιτρόπε περὶ τῆ παιδός· τὸ δὲ κατ' ἐμῆ, ὡς παρὰ τῆ παιδὸς κατὰ τῆ Θεοπόμπε ἐπιτροπεύοντος ᾗ αὐτῆ.

ἄλλων ἀληθὲς ἐδὲν εἴρηκεν, ἅπαντα δὲ πλεονεξίᾳ μεμηχάνηται διαβάλλων, καὶ τὲς νόμες παράγων, καὶ ὑμῶν καὶ ἐμᾶ παρὰ τὸ δίκαιον περιγενέσθαι ζητῶν, οἶμαι μὰ τὲς θεὲς ἐδ' ὑμᾶς ἀγνοεῖν, ἀλλ' ὁμοίως εἰδέναι πάντας, ὥς' ἐκ οἶδ' ὅ,τι δεῖ πλείω περὶ τούτων λέγειν.

1 ί. Ὁ'ρῶ δὲ, ὦ ἄνδρες, τὴν πλείσην διατριβὴν τῶν λόγων ποιέμενον περὶ τὴν τᾶ παιδὸς ὐσίαν, καὶ περὶ τὴν
2 ἐμὴν· καὶ τὰ μὲν ἐκείνε παντάπασιν ὡς ἄπορα διεξιόντα, περὶ δ' ἐμὲ πλοῦτόν τινα τῷ λόγῳ κατασκευάσαντα, καί τινα κακίαν κατηγορᾶντα ὡς ἐγὼ τεττάρων ὐσῶν Στρατοκλέες θυγατέρων, ὐδεμιᾷ τολμῶ συνευπορῆσαι προικὸς, καὶ ταῦτ' ἔχων (ὡς ἔτος φησὶ) τὰ τᾶ παιδίε·
3 βέλομαι δὴ καὶ περὶ τέτων εἰπεῖν· ἐλπίζει γὰρ διὰ τῶν λόγων ἐμοὶ μέν τινα φθόνον γενήσεσθαι παρ' ὑμῶν περὶ τῶν προσγεγενημένων χρημάτων, τοῖς δὲ παισὶν ἔλεον,
4 ἂν ἄποροι παρ' ὑμῖν εἶναι δόξωσιν· ἔκεν ἀγνοῆσαι δεῖ περὶ αὐτῶν ὑμᾶς ἐδὲν, ἀλλ' ἀκριβῶς καὶ ταῦτα μαθεῖν, ἵν' εἰδῆθ', ὅτι ψεύδεται, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἁπάντων.

1 ιά. Ἐ'γὼ γὰρ, ὦ ἄνδρες, πάντων ὁμολογήσαιμι εἶναι κάκισος, εἰ Στρατοκλέες ἄπορα τὰ πράγματα καταλιπόντος, αὐτὸς εὔπορος ὢν, μηδεμίαν ἐπιμέλειαν ποιέ-
2 μενος φαινοίμην τῶν ἐκείνε παίδων· εἰ δὲ πλείονα κατέλιπεν αὐτοῖς τὰ ὄντα τῶν ἐμῶν, καὶ βεβαιότερα, καὶ ταῦτα τοσαῦτ' ἐσὶν, ὥσε καὶ τὰς θυγατέρας ἐξ αὐτῶν διαθεῖναι καλῶς, καὶ τὸν παῖδα ἐκ τῶν λοιπῶν μηδὲν ἧττον εἶναι πλέσιον, ἐπιμελεῖσθαί τε τᾶτον τὸν τρόπον αὐτῶν, ὥσε καὶ πολλῷ πλείω γενέσθαι τὴν ὐσίαν, εἰκότως μὲν ἐκ
3 ἂν ἔχοιμι μέμψιν, εἰ μὴ τἀμαυτᾶ προσίθημι τέτοις· σώ-

(2) Καί τινα κακίαν κατηγορᾶντα] ἕτω διώρθωσα εἰς τὸ ὁμαλώτερον ἀντὶ τᾶ, κατηγορέντων. (2) προικὸς] μέρος προικὸς αὐτῇς συμβαλεῖν. (3) τοῖς δὲ παισι] τῷ παιδὶ καὶ ταῖς θυγατράσι τᾶ Στρατοκλέες.

(2) Διαθεῖναι] ἕτως ἔγραψα ἀντὶ τᾶ, διατεθῆναι παρὰ Ρ'εἰσκε διορθώ-

ζων δὲ τὰ τέτων καὶ πλείω ποιῶν, δικαίως ἂν ἐπαινοίμην· ὅτι δὲ ταῦτα ἕτω, ῥᾳδίως ἐπιδείξω· πρῶτον μὲν οὖν τὰ 4
τῆς ὐσίας διέξειμι· μετὰ δὲ ταῦτα, ὡς καὶ διοικεῖν ἀξιῶ τὰ τᾶ παιδός.

ιβ'. Στρατοκλεῖ γὰρ καὶμοὶ τὰ μὲν ὑπάρξαντα πα- 1
τρῷα τοσαῦτα ἦν, ὥσε εἶναι μὲν ἐκ ἱκανὰ, λειτεργεῖν δὲ μὴ ἄξια. τεκμήριον δέ· εἴκοσι μνᾶς ἑκάτερος ἡμῶν ἐπὶ τῇ γυναικὶ προῖκα ἔλαβε. τοσαύτη δὲ προῖξ ἐκ ἂν 2
εἰς πολλήν τινα ὐσίαν δοθείη. συνέβη δὲ Στρατοκλεῖ, πρὸς ταῖς ὑπάρχεσι, πλέον ἢ πέντ' ἡμιταλάντων ὐσίαν λαβεῖν. Θεοφῶν γὰρ ὁ τῆς γυναικὸς αὐτᾶ ἀποθνήσκων 3
ἐποιήσατο τῶν θυγατέρων αὐτᾶ μίαν, καὶ τὸν αὐτᾶ ἔδωκεν ἀγρὸν Ε'λευσῖνι, δυοῖν ταλάντοιν, πρόβατα ἑξήκοντα, αἶγας ἑκατόν· ἔπιπλα, ἵππον λαμπρὸν, ἐφ' ᾧ ἐφυλάρχησε. καὶ τὴν ἄλλην κατασκευὴν ἅπασαν, ἧς κύριος ἐκεῖνος γενόμενος ἐννέα ἔτη ὅλα, κατέλιπε πέντε ταλάντων ὐσίαν, καὶ τριχιλίων δραχμῶν, σὺν τοῖς ἑαυτᾶ πατρῴοις, χωρὶς ἐκείνης, ἧς Θεοφῶν τῇ θυγατρὶ αὐτᾶ ἔδωκεν· ἀγρὸν μὲν Θριᾶσι, πέντ' ἡμιτάλαντα εὑρίσκοντα· οἰκίαν δὲ Μελίτῃ, τριχιλίαν ἐωνημένην· ἄλλην δὲ Ε'λευσῖνι, πεντακοσίων· ἐδάφη μὲν ταῦτα, ἀφ' ὧν ἡ μίωσις, τᾶ μὲν ἀγρᾶ, δώδεκα μναῖ· τῶν δὲ οἰκιῶν 4
τρεῖς. αἱ πεντεκαίδεκα μναῖ συναμφότερα γίνονται. χρέα δ' ἐπὶ τόκοις ὀφειλόμενα, περὶ τετρακιχιλίας· ὧν τὸ ἔργον ἐπ' ἐννέα ὀβολοῖς, ἑπτακόσιαι καὶ εἴκοσι δραχμαὶ γίνονται ἐνιαυτᾶ ἑκάστε. πρόσοδος μὲν αὕτη δύο καὶ εἴκοσι 5
μναῖ, καὶ πρός· χωρὶς δὲ τέτων, κατέλιπον ἔπιπλα, πρόβατα, κριθὰς, οἶνον, ὀπώρας· ἐξ ὧν ἐνεπώλησαν τε-

σαντος τὸ ἐν τῇ ἀρχαίᾳ, διαθῆναι. (3) ὅτι δὲ ταῦθ' ἕτω] ἐννοείσθω τὸ, ἔχει.

(3) Ὁ τῆς γυναικὸς αὐτᾶ] δῆλον ὅτι ὁ ἀδελφός.

τρακιχιλίας. ἔτι δὲ ἔνδον ἐννακοσίας δραχμάς. πρὸς δὲ τούτοις, ἐξ ἐράνων ὀφλήματα εἰσπεπραγμένα, μικρῷ δεύσας χιλίας δραχμὰς, μαρτύρων ἐναντίον ἡ μήτηρ αὐτῷ τῷ παιδὸς ἀπεγράψατο. καὶ ἵππω λέγω περὶ τῶν ἄλλων, ἃ κατελείφθη μὲν, ἔστι δ' οὐκ ἀποφαίνουσιν· ἀλλὰ τὰ φανερὰ, καὶ τὰ ὑπὸ τούτων ὁμολογούμενα. κάλει δέ μοι τῶν εἰρημένων τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

ιγ'. Ἡ μὲν τοίνυν Στρατοκλέους οὐσία, καὶ πλείω ταύτης ἐστίν· ἀλλ' ὕστερον περὶ τῶν παρακλεπτομένων ὑπὸ τούτων ποιήσομαι τοὺς λόγους. ἡ δὲ ἐμὴ πόση τίς; χωρίον ἐν Οἰνόῃ πεντακισχιλίων. πρὸς δὲ τούτοις, κλῆρος, ὃν Ἀγνίας κατέλιπε, περὶ δύο τάλαντα, καὶ τετρακισχίλιαι δραχμαὶ μόνον, δέκα καὶ ἑκατὸν μναῖς ἐλάττω τῶν τοῦ παιδός. κἀγὼ μὲν ἐγκαταλογίζομαι καὶ τὰ τοῦ ὑέως τοῦ ἐκποιηθέντος εἰς ταῦτα· τοῖς τοῦ παιδὸς δὲ οὐ προσέθηκα τὴν Θεοφῶντος οὐσίαν, πένθ' ἡμιταλάντων οὖσαν, ἐφ' ἣν ἐποιήσατο τὴν ἀδελφὴν αὐτοῦ. οὕτω γὰρ ῥᾳδίως ἂν εὑρεθείη καὶ ὀκτὼ ταλάντων ὁ τούτων οἶκος· ἀλλ' ἐκεῖνα ἀφῄρηται χωρίς. κἀμοὶ μὲν ὁ κλῆρος, ὃν Ἀγνίας κατέλιπεν, ἔστος ἔπω βέβαιός ἐστι. δίκαι γὰρ ἐνεστήκασι ψευδομαρτυριῶν πάλιν ἐξαρχῆς εἶναι περὶ αὐτῶν τὰς λήξεις. τὰ δὲ τοῦ παιδὸς ὡμολογημένα καὶ ἀναμφισβήτητα καταλέλοιπε Στρατοκλῆς. ὅτι δὲ τοσαῦτα ἐστὶ τὰ ἐμὰ σὺν τοῖς τοῦ ἐκποιήτου ὑέως, καὶ ψευδομαρτυριῶν ἐνεστᾶσι δίκαι περὶ τῶν Ἀγνίου, λάβε τὰς μαρτυρίας, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

ιδ'. Ἆρα μικρὰ τὰ διάφορα ἑκατέροις τῆς οὐσίας ἡμῶν ἐστιν; ἀλλ' οὐ τηλικαῦτα, ὥστε μηδεμίαν γενέσθαι περὶ

(1) Ἀλλ' οὐ τηλικαῦτα ὥστε — παῖδας] διεφθάρθαι δοκεῖ τὸ κείμενον· ὁ Ῥείσκης μὲν εἰκάζει τὴν διόρθωσιν ἔτωπως· ὥστε μηδεμίαν γενέσθαι πρὸς τὴν τοῦ Στρατοκλέους παιδός· ἔμοιγε δὲ ἀνεπληρωτέον δοκεῖ ὅτωσί· ὥστε

τοὺς Στρατοκλέους παῖδας; οὐκ ἄξιον τούτοις τοῖς λόγοις πιστεύειν, οὓς, τοσαύτης οὐσίας καταλελειμμένης, ἐτόλμησεν ἐπὶ διαβολῇ ψεύσασθαι κατ' ἐμοῦ τηλικαῦτα τὸ μέγεθος. καταλογίζεται τοίνυν ὡς ἐγὼ τρεῖς κλήρους εἰληφὼς, καὶ πολλῶν χρημάτων εὐπορῶν, ἀφανίζω τὴν οὐσίαν, ἵν' ὡς ἐλάχιστ' ὑμεῖς αὐτῶν ἀπολαύητε. τοῖς γὰρ μὴ δίκαιον ἔχουσι περὶ τῶν πραγμάτων λέγειν, ἀνάγκη πορίζεσθαι τοιούτους λόγους, ἐξ ὧν ἂν διαβάλλοντες πλέον ἔχειν δυνήσονται τῶν ἀντιδίκων. ἐμοὶ δὲ μάρτυρες ἐσὲ πάντες, ὅτι οἱ τῆς ἐμῆς γυναικὸς ἀδελφοὶ, Χαιρέλεως καὶ Μακάρτατος, οὐ τῶν λειτουργούντων ἦσαν, ἀλλὰ τῶν βραχεῖαν κεκτημένων οὐσίαν. Μακάρτατον γὰρ ἴσε ὅτι τὸ χωρίον ἀποδόμενος, καὶ τριήρη πριάμενος, καὶ ταύτην πληρωσάμενος, εἰς Κρήτην ἐξέπλευσεν. οὐ γὰρ τὸ ἔργον ἀφανὲς ἐγένετο, ἀλλὰ καὶ λόγον ἐν τῷ δήμῳ παρέχε, μὴ πόλεμον ἡμῖν ἀντ' εἰρήνης ἐκεῖνος πρὸς Λακεδαιμονίους ποιήσειε. Χαιρέλεως δὲ τὸ πρὸς Παλτοῖ χωρίον κατέλιπεν, οὗ πλέον οὐκ ἂν εὕροιτε τριάκοντα μνῶν. συνέβη δὲ τὸν μὲν, ταῦτα καταλιπόντα, τελευτῆσαι πρότερον ἢ Μακάρτατον· ἐκεῖνον δὲ, μετὰ ταύτης τῆς οὐσίας, ἣν ἔχων ἐξέπλευσεν. ἅπαντα γὰρ καὶ τὴν τριήρη καὶ αὐτὸν κατὰ τὸν πόλεμον ἀπώλεσε. καταλειφθέντος δὲ τοῦ πρὸς Παλτοῖ χωρίου, καὶ γενομένου τῆς ἐκείνων ἀδελφῆς, ἐμῆς δὲ γυναικὸς, ἐπείσθην ὑπ' ἐκείνης εἰσποιῆσαι Μακαρτάτῳ τὸν ἕτερον τῶν παίδων· οὐχ ἵνα λειτουργοίην, εἰ προσγένοιτό μοι τοῦτο τὸ χωρίον. ὁμοίως γὰρ καὶ μὴ εἰσποιήσαντος τοῦτό γ' ὑπῆρχεν. οὐδὲ γὰρ ἐλειτούργουν διὰ τοῦτό γ' ἧττον οὐδὲν, ἀλλὰ καὶ τῶν εἰσφερόντων ἦν καὶ τῶν τὰ προσαττόμενα ὑμῖν ἅπαντα ποιούντων. ὁ δὲ ὡς περὶ

μηδεμίαν γενέσθαι πρὸς τοὺς Στρατοκλέους παῖδας παρ' ἐμοῦ ἀμέλειαν; οὐκ

ἀχρήσθ μὲν, πλθσίθ δὲ, ἐπὶ διαβολῇ ποιεῖται τότθς τὸς λόγθς. ἐγὼ δ' ἓν κεφάλαιον ἐρῶ πάντων μέγιστον, ὃ ϗ ὑμῖν οἶδ' ὅτι δόξει δίκαιον· κοινώσασθαι γὰρ ἐθέλω
9 τὴν ὐσίαν τὴν ἐμὴν τῇ τθ̃ παιδός· ϗ εἴτε πολλὰ εἴτ' ὀλίγα ἐσὶν, ἐν κοινῷ γενομένης, λάβωμεν τὰ ἡμίσεα ἑκάτερος, ἵνα μηδὲν πλέον ἔχῃ ἄτερος τθ̃ ἑτέρθ τθ̃ προσήκοντος· ἀλλ' ὐκ ἐθελήσει. Λείπει πολλά.

ἄξιον ἔν ϗ τλ. (9) λείπει] λείπει γὰρ ϗ πολλά· δῆλον δὲ ϗ ἐξ ὧν ἐπαγγέλλεται ἀνωτέρω μικρὸν (ιγ'. 1.) ἐξ ὧν ὐδὲν εἴρηκεν.

ΑΝΤΙΦΩΝΤΟΣ
ΤΟΥ
ΡΗΤΟΡΟΣ ΛΟΓΟΙ.

ΓΕΝΟΣ ΑΝΤΙΦΩΝΤΟΣ.

Ἀντιφῶν, υἱὸς μὲν ἦν Σοφίλθ, φυλῆς δ' Αἰαντίδος, Ῥαμνέσιος τὸν δῆμον. κατὰ δὲ τὰ Περσικὰ γενόμενος, συνήκμαζε Γοργίᾳ τῷ σοφισῇ. ϗ διδασκάλῳ τὰ πρῶτα χρησάμενος τῷ πατρὶ διδάσκοντι γράμματα. τῆς ἡλικίας δὲ προβαινόσης, τὰ περὶ τὸς λόγθς ἐξεπόνησε, φυσικῇ δεινότητι τὴν ἐκ τῆς ἀσκήσεως μελέτην προσλαβών. μηδενὸς μὲν ἀκροασάμενος, (ὅτι μηδὲ ἦν πω τις μήτε λόγων, μήτε τεχνῶν ῥητορικῶν συγγραφεὺς, μήτε σοφισὴς προεσηκὼς διατριβῆς.) τοῖς πρὸ αὐτθ̃ δὲ ἐντυχὼν βιβλίοις, ϗ τοῖς τῶν ποιητῶν μάλισα, εἰς τοσθ̃τον προῆλθε δεινότητος, ὥσε Νέσωρ ἐκαλεῖτο διὰ τὴν ἐν τῷ λέγειν ἡδονήν. τθ̃ πολιτεύεσθαι δὲ ἀποσὰς νέος ὢν, ἐν Κορίνθῳ παρὰ τὴν ἀγορὰν οἴκημα ὑποδοχὴν παρὰ τῶν ἀκροατῶν ποιήσας, ϗ ἔξωθεν ἐπιγράψας, ὅτι τθ̃ς λυπθμένθς παραμυθεῖται. εἶτα φιλοχρήματος ὢν ϗ ἐ πολλὰ ἐκ τότθ κερδαίνων, τραγῳδίας ἐποίει. ἀποσὰς δὲ ϗ τότων, ἐπὶ ῥητορικὴν ἐτράπετο. ϗ συσησάμενος ἐν Ἀθήναις διατριβὴν, Σωκράτει περὶ τῶν ἐλεγκτικῶν διεφέρετο. πολλθ̃ς δὲ παιδεύσας, ἐπαίδευσε ϗ Θθκυδίδην· ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ πολλὰ δυνηθεὶς, μετέβαλε τὴν δημοκρατίαν. ϗ ἐποίησε τθ̃ς τετρακοσίθς μετὰ τῶν περὶ Ἀρχεπτόλεμον. εἰσαγγελθεὶς δὲ ἑάλω, ϗ τοῖς τῶν προδοτῶν

ὑπαχθεὶς ἐπιτιμίοις, ἄταφος ἐρρίφη. φασὶ δέ τινες, ὅτι ἐν Σικελίᾳ παρὰ Διονυσίῳ ἤδη πρεσβύτης ὢν, ὅτε πρὸς αὐτὸν ἀφικόμενος, ἔσκωπτεν αὐτῷ τῷ Διονυσίῳ τὰς τραγῳδίας· καὶ διὰ τοῦτο, ἀχθεσθεὶς, ἀπέκτεινεν αὐτόν. ἄλλοι δὲ λέγουσιν, ὅτι καὶ διὰ τοῦτο, ἀλλ' ὑπωπτεύθη, φασὶ, καταλῦσαι θέλων τὴν τυραννίδα. ἐρωτηθέντα γάρ φασιν αὐτὸν παρὰ τῷ Διονυσίῳ, ποῖος αὐτῷ χαλκὸς ἀρέσκοι, εἰπεῖν· ὅθεν ἐγένετο Ἁρμόδιος καὶ Ἀριστογείτων.

ΚΑΤΗΓΟΡΙΑ ΦΑΡΜΑΚΕΙΑΣ

ΚΑΤΑ ΤΗΣ ΜΗΤΡΥΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

Φιλόνεώς τις, ἔχων παλλακήν τινα, φίλος ἦν τῷ πατρὶ τῷ λέγοντος τὸν λόγον. ἔτος καταγνὰς τῆς παλλακῆς, εἰς πορνεῖον σήσειν ἠπείλησεν. ὁ δὲ πατὴρ τῷ λέγοντος τὸν λόγον, τελευτησάσης αὐτῷ τῆς γυναικὸς, μητρυὰν τῷ παιδὶ ἐπεισήγαγε. κοινολογησαμένης δὲ ταύτης τῇ παλλακῇ, διὰ τὸ γείτονας εἶναι, καὶ διὰ τὸ μηδὲ αὐτὴν πάνυ ἀγαπᾶσθαι ὑπὸ τοῦ ἀνδρὸς, ἔδοξεν ἀμφοτέραις φαρμάκῳ ἀνελεῖν τὸς ἄνδρας. κατασκευασάμεναι δὲ, ἑορτῆς ὔσης, καὶ κοινῇ τῶν ἀνδρῶν σπενδομένων (φίλοι γὰρ ἦσαν) δεδώκασιν ἀμφοτέροις τὸ φάρμακον ἐν ἐκπώματι. καὶ ὁ μὲν Φιλόνεως πλέον λαβὼν, παραχρῆμα ἀνῃρέθη· ὁ δὲ τοῦ λέγοντος τὸν λόγον πατὴρ, ἔλαττον λαβὼν, εἰς νόσον κατέπεσε, καὶ ἔτω τέθνηκεν ἐξ αὐτῆς. ὁ δὲ παῖς γράφεται τὴν μητρυὰν φαρμακείας. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ στάσις δὲ στοχασμός· σημεῖον δὲ, μὴ θέλειν δοῦναι τοὺς οἰκέτας εἰς βάσανον.

α'. Νέος μὲν καὶ ἄπειρος δικῶν ἔγωγε ἔτι, δεινῶς δὲ καὶ ἀπόρως ἔχοιμι περὶ τοῦ πράγματος, ὦ ἄνδρες, τοῦτο μὲν, εἰ ἐπισκήψαντος τοῦ πατρὸς ἐπεξελθεῖν τοῖς αὐτοῦ φονεῦσι, μὴ ἐπέξειμι· τοῦτο δὲ, εἰ ἐπεξιόντι, ἀναγκαίως ἔχει, οἷς ἥκιστα ἐχρῆν, ἐν διαφορᾷ κατασῆναι, ἀδελφοῖς ὁμοπατρίοις, καὶ μητρὶ ἀδελφῶν. ἡ γὰρ τύχη καὶ αὐτοὶ ἔτοι ἠνάγκασαν ἐμοὶ πρὸς τούτους αὐτοὺς τὸν ἀγῶνα κατασῆναι, ὃς εἰκὸς ἦν τῷ μὲν τεθνεῶτι τιμωρὸς γενέσθαι, τῷ δ' ἐπεξιόντι βοηθός. νῦν δὲ τούτων τἀναντία γεγένηται. αὐτοὶ γὰρ ἔτοι καθεσᾶσιν ἀντίδικοι καὶ φονεῖς, ὡς καὶ ἐγὼ καὶ ἡ γραφὴ λέγει. 1 2 3 4

β'. Δέομαι δ' ὑμῶν, ὦ ἄνδρες, ἐὰν ἐπιδείξω ἐξ ἐπιβολῆς τὴν τούτων μητέρα φονέα γενομένην τοῦ ἡμετέρου πατρὸς, καὶ μὴ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἤδη λυφθεῖσαν τὸν θάνατον τὸν ἐκείνου ἐπ' αὐτοφώρῳ μηχανωμένην, τιμωρῆσαι, πρῶτον μὲν τοῖς νόμοις τοῖς ἡμετέροις, οὓς παρὰ τῶν θεῶν καὶ τῶν προγόνων διαδεξάμενοι, κατὰ τοὐτὸ ἐκείνοις περὶ τῆς καταψηφίσεως δικάζετε· δεύτερον δ' ἐκείνῳ τῷ τεθνηκότι· καὶ ἅμα ἐμοὶ μόνῳ ἀπολελειμμένῳ βοηθῆσαι. ὑμεῖς γάρ μοι ἀναγκαῖοι. ὃς γὰρ ἐχρῆν τῷ μὲν τεθνεῶτι τιμωρὸς γενέσθαι, ἐμοὶ δὲ βοηθὸς, ἔτοι τοῦ μὲν τεθνεῶτος φονεῖς γεγένηνται, ἐμοὶ δ' ἀντίδικοι καθεσᾶσι. πρὸς τίνας ἂν ἔλθοι τις βοηθός; ἢ ποῖ τὴν καταφυγὴν ποιήσεται ἄλλοθι, ἢ πρὸς ὑμᾶς καὶ τὸ δίκαιον; θαυμάζω δ' ἔγωγε καὶ τοῦ ἀδελφοῦ, ἥντινά ποτε 1 2 3 4 5

(1) Δικῶν] ἔτω διώρθωσε Reiskius ἀντὶ τοῦ, δοκῶν· ἀλλὰ καὶ ἔτω, οὐκ ἔχει ὁ λόγος ἐντελῶς τὸ ὀρθόν· ὁ γὰρ, Δὲ, ἑπόμενος τῷ, Μὲν, ἐπισυνάπτειν φιλεῖ τὸ αὐτό· ὅθεν ἄμεινον ἂν εἴη, ὡς ὁ Στέφανος εἴχασε, γράφειν δοκοίην, εἰς εὐκτικόν· εἰδὲ μὴ, ἐξελειπτέος γ' ἂν εἴη ὁ, Δέ· ἵνα ᾖ ἔτως ἔχον. Νέος μὲν καὶ ἄπειρος δικῶν ἔγωγε ἔτι ὢν, δεινῶς ἂν καὶ ἀπόρως εἰκότως ἔχοιμι περὶ τοῦ πράγματος.

γνώμην ἔχων, ἀντίδικος καθέστηκε πρὸς ἐμέ· ᾧ εἰ νομίζει τοῦτο εὐσέβειαν εἶναι, τὸ τὴν μητέρα μὴ προδοῦναι.
6 ἐγὼ δ' ἡγοῦμαι πολὺ ἀνοσιώτερον εἶναι, ἀφεῖναι τὸ τεθνεῶτος τὴν τιμωρίαν· ἄλλως τε ᾧ τὸ μὲν ἐκ προβουλῆς ἀκουσίως ἀποθανόντος, τῆς δ' ἑκουσίως ἐκ προνοίας ἀποκ-
7 τεινάσης. ᾧ ὁ τοῦτό γ' ἐρεῖ, ὡς εὖ οἶδεν, ὅτι οὐκ ἀπέκ-
8 τεινεν ἡ μήτηρ αὐτοῦ τὸν πατέρα τὸν ἡμέτερον. ἐν οἷς μὲν γὰρ αὐτῷ ἐξουσία ἦν σαφῶς εἰδέναι, παρὰ τῆς βασάνου, οὐκ ἠθέλησεν· ἐν οἷς δ' οὐκ ἦν πυθέσθαι, τοῦτ' αὐτὸ προεθυμήθη.

1 γ'. Καίτοι αὐτὸ τοῦτο ἐχρῆν, ὃ ᾧ ἐγὼ προὐκαλούμην, προθυμηθῆναι, ὅπως τὸ πραχθὲν ἢ ἀληθὲς, ἐπεξελ-
2 θεῖν. μὴ ὁμολογούντων γὰρ τῶν ἀνδραπόδων, ἔτός τ' εὖ εἰδὼς ἂν ἀπελογεῖτο, ᾧ ἀντέσπευδε πρὸς ἐμὲ, ᾧ ἡ μήτηρ αὐτοῦ ἀπήλλακτο ἂν ταύτης τῆς αἰτίας. ὅπου δὲ μὴ ἠθέλησεν ἔλεγχον ποιήσασθαι τῶν πεπραγμένων, πῶς περί γ' ὧν οὐκ ἠθέλησε πυθέσθαι, ἐγχωρεῖ αὐτῷ περὶ
3 τούτων εἰδέναι; πῶς ἂν περὶ τούτων, ᾧ δικάζοντες, αὐτὸν εἰκὸς εἰδέναι, ὧν γε τὴν ἀλήθειαν οὐκ εἴληφε; τί
4 ποτε ἀπολογήσεσθαι μέλλει μοι; ἐκ μὲν γὰρ τῆς τῶν ἀνδραπόδων βασάνου εὖ ἤδει, ὅτι οὐχ οἷόν τ' ἦν αὐτῇ σωθῆναι· ἐν δὲ τῷ μὴ βασανισθῆναι ἡγεῖτο τὴν σωτηρίαν εἶναι· τὰ δὲ γενόμενα ἐν τούτῳ ἀφανισθῆναι ᾠήθησαν.
5 πῶς ἂν εὔορκα ἀντομωμοκὼς ἔσαι, φάσκων εὖ εἰδέναι, ὃς οὐκ ἠθέλησε σαφῶς πυθέσθαι, ἐμοῦ ἐθέλοντος τῇ δικαιοτάτῃ βασάνῳ χρήσασθαι περὶ τούτου τοῦ πράγματος;

(6) Ἐκ προβουλῆς ἀκουσίως] μὴ θέλων ἐξ ἐπιβουλῆς τῆς γυναικός· ἀκουσίως δὲ ἀντὶ τοῦ, ἀκουσίας ἔγραψα· ᾧ γὰρ ἂν εἴη ἐπιθετικὸν, εἴγε τὸ μὲν προβουλεῦσαι, εἰς τὴν γυναῖκα ἀνεφέρεται· τὸ δὲ ἀκούσιον, εἰς τὸν ἄνδρα· προβουλὴ δὲ ᾧ πρόνοια ταὐτόνεσι· (7) ὡς εὖ οἶδε] οὕτω διώρθωσε Ρ[1]εἴσκης ἀντὶ τοῦ, ὡς ἐν εἶδεν.

(1) Ὅπως τὸ πραχθὲν ἢ ἀληθὲς] ἵνα τὸ πραχθὲν γένηται φανερὸν, ὥσπερ ἐστὶν ἀληθές· (6) τοῦτο μὲν ἠθέλησα] ἢ τὸν, Μὲν, τρεπτέον εἰς τὸν, Γάρ· ἢ προσθεντέον τὸ, Οὕς, κατ' ἀρχάς· ἄλλως γὰρ ἀτελῶς τι ἂν ἔχοι· (6) τὰ ἀνδράποδα] προσέθηκα τὸ ἄρθρον, ἀπαιτούμενον ἀναγκαίως· (6) εἰληφότα] ᾧ ὅτι ὁ πατὴρ εἴληφεν αὐτὴν ἐπ' αὐτοφώρῳ μεμηχανημένην αὐτῷ θάνατον· (6) ἀλλ' ἐπὶ φίλτροις] ἵνα μᾶλλον αὐτὴν ἀγαπᾷ.

(2) Α[2] ἐγὼ ἐπερωτῶμι λέγοιεν] οὕτω διώρθωσε Ρ[1]εἴσκης ἀντὶ τοῦ, ἃ ἐγὼ ἐπερωτῶ μὴ λέγοιεν· ὁ δὲ νῦς· ἵνα μὴ ἀναγκάζοιντο λέγειν ὅ,τι ἂν ἐγὼ ἐρωτῶ, ἀλλ' ἵν' ἔχωσι χρῆσθαι, ἅπερ ἐγὼ γέγραφα ἐν τῷ γραμματείῳ· (2) ᾧ αὐτό μοι τοῦτο] τοῦτο, ἀντὶ τοῦ, τοῦτο, ἔγραψε Ρ[1]εἴσκης, οὐκ ἀναγκαίως· δύναται γὰρ ἀναφέρεσθαι εἰς τοῦτο τὰ ἑξῆς ὡς ἐπεξήγησις· οἷον, τεκμήριον τοῦτο, ὅτι ὀρθῶς ᾧ τλ. (2) ἀναγκάζοι] οἱ δικασταὶ ἀναγκάζοιεν· ἐννοητέον δὲ πρὸ τοῦ ῥήματος ἢ τὸν, ἵνα, ἢ τὸ Εἴθε.

τοῦτο μὲν ἠθέλησα μετὰ τούτων τὰ ἀνδράποδα βασανίσαι, 6
ἃ συνῄδει ᾧ πρότερον τὴν γυναῖκα ταύτην, μητέρα δὲ τούτων, τῷ πατρὶ τῷ ἡμετέρῳ θάνατον μηχανωμένην φαρμάκοις, ᾧ τὸν πατέρα εἰληφότα ἐπ' αὐτοφώρῳ, ᾧ ταύτην οὐκ ἐῶσαν ἄπαρνον· πλὴν οὐκ ἐπὶ θανάτῳ φάσκουσαν διδόναι, ἀλλ' ἐπὶ φίλτροις.

δ'. Διὰ ταῦτα ἐγὼ βάσανον ἠθέλησα ποιήσασθαι 1
περὶ αὐτῶν, γράψας ἐν γραμματείῳ, ἃ ἐπαιτιῶμαι τὴν γυναῖκα ταύτην. βασανισὰς δὲ αὐτὰς τούτους ἐκέλευον γί- 2
νεσθαι ἐμοῦ παρόντος, ἵνα μὴ ἀναγκαζόμενοι, ἃ ἐγὼ ἐπερωτῶμι, λέγοιεν· ἀλλ' ἐξήρκει μοι τοῖς ἐν τῷ γραμματείῳ χρῆσθαι· ᾧ αὐτό μοι τοῦτο τεκμήριον δίκαιον ἔσαι, ὅτι ὀρθῶς ᾧ δικαίως μετέρχομαι τὸν φονέα τοῦ πατρός. εἰ δὲ ἄπαρνοι γίνοιντο, ἢ λέγοιεν μὴ ὁμολογούμενα, ἢ δίκη ἀναγκάζοι τὰ γεγονότα κατηγορεῖν. αὕτη γὰρ ᾧ 3
τοὺς τὰ ψευδῆ παρεσκευασμένους λέγειν, τἀληθῆ κατηγορεῖν ποιήσει. καίτοι εὖ οἶδά γ', εἰ ἦτοι πρὸς ἐμὲ ἐλ- 4
θόντες, ἐπειδὴ τάχιστα αὐτοῖς ἀπηγγέλθη, ὅτι ἐπεξίοιμι τοῦ πατρὸς τὸν φονέα, ἠθέλησαν τὰ ἀνδράποδα, ἃ ἦν αὐτοῖς, παραδοῦναι, ἐγὼ δὲ μὴ ἠθέλησα παραλαβεῖν αὐτὰ, ἐνταῦθ' ἂν μέγιστα τεκμήρια παρείχοντο ὡς οὐκ ἔνοχοί εἰσι τῷ φόνῳ. εἰ γὰρ, τούτων ἐθελόντων διδό- 5

ναι εἰς βάσανον, ἐγὼ μὴ ἐδεξάμην, τούτοις ἂν ἦν ταῦτα
6 τεκμήρια. τὸ αὐτὸ δ' ἦν τοῦτο κ' ἐμοὶ γενέσθω, εἴπερ ἐμοῦ
θέλοντος ἔλεγχον λαβεῖν τοῦ πράγματος, αὐτοὶ μὴ ἠθέ-
7 λησαν δοῦναι. δεινὸν δ' ἔμοιγε δοκεῖ εἶναι, εἰ ὑμᾶς μὲν
ζητοῦσιν αἰτεῖσθαι, ὅπως αὐτῶν μὴ καταψηφίσησθε, αὐτοὶ
δὲ σφίσιν αὐτοῖς ἃ κ' ἠξίωσαν δικασταὶ γενέσθαι, δόντες
8 βασανίσαι τὰ αὐτῶν ἀνδράποδα. περὶ μὲν δὴ τούτων ἃ κ
ἄδηλον, ὅτι αὐτοὶ ἔφευγον τῶν πραχθέντων τὴν σαφή-
νειαν πυθέσθαι. ἤδεσαν γὰρ οἰκεῖον σφίσι τὸ κακὸν ἀνα-
φανησόμενον· ὥστε σιωπῶμενον κ' ἀβασάνιστον αὐτὸ ἐᾶσαι
ἐβουλήθησαν. ἀλλ' ἃ κ ὑμεῖς γε, ὦ ἄνδρες, ἐγωγ' εὖ
οἶδα, ἀλλὰ σαφὲς ποιήσετε. ταῦτα μὲν δὴ μέχρι τούτου.
περὶ δὲ τῶν γενομένων πειράσομαι ὑμῖν διηγήσασθαι τὴν
ἀλήθειαν· δίκη δὲ κυβερνήσειεν.

1 ε'. Ὑπερῴου τι ἦν τῆς ἡμετέρας οἰκίας, ὃ εἶχε Φιλό-
νεως, ὁπότ' ἐν ἄστει διατρίβοι, ἀνὴρ καλός τε κἀγαθὸς,
κ' φίλος τῷ ἡμετέρῳ πατρί· κ' ἦν αὐτῷ παλλακὴ, ἣν ὁ
2 Φιλόνεως ἐπὶ πορνείου ἔμελλε καταστήσαι. ταύτην δ' ἦν,
πυθομένη ἡ μήτηρ τοῦ ἀδελφοῦ, ἐποιήσατο φίλην. αἰσθο-
μένη δ', ὅτι ἀδικεῖσθαι ἔμελλεν ὑπὸ τοῦ Φιλόνεω, μετα-
3 πέμπεται. κ' ἐπειδὴ ἦλθεν, ἔλεξεν αὐτῇ ὡς ἀδικοῖτο
ὑπὸ τοῦ πατρὸς τοῦ ἡμετέρου. εἰ δ' ἐθέλοι πείθεσθαι, ἔφη
ἱκανὴ εἶναι ἐκείνην τε τὸν Φιλόνεων φίλον ποιῆσαι, κ' αὐ-
τῇ τὸν ἐμὸν πατέρα· εἶναι φάσκουσα αὐτῆς μὲν τοῦτο εὕ-
4 ρημα, ἐκείνης δ' ὑπηρέτημα. ἠρώτα δ' αὐτὴν εἰ ἐθέλοι
διακονῆσαί οἱ· κ' ἣ ὑπέσχετο τάχιστα, ὡς οἶμαι. μετὰ
ταῦτα ἔτυχε τὸν Φιλόνεων ἐν Πειραιεῖ ὄντα ἱερὰ θύειν
Διὶ κτησίῳ, ὁ δὲ πατὴρ ὁ ἐμὸς εἰς Νάξον πλεῖν ἔμελ-
5 λε. κάλλιστον δ' ἐδόκει τῷ Φιλόνεῳ, τῆς αὐτῆς ὁδοῦ ἅμα
μὲν προπέμψαι εἰς τὸν Πειραιᾶ τὸν πατέρα τὸν ἐμὸν, φί-
λον ὄντα ἑαυτῷ, ἅμα δὲ, θύσαντα τὰ ἱερὰ, ἑστιάσαι

ἐκεῖνον. ἡ δ' ἓν παλλακὴ τοῦ Φιλόνεω ἠκολούθει τῆς θυσίας 6
ἕνεκεν· κ' ἐπειδὴ δὲ ἦσαν ἐν τῷ Πειραιεῖ, οἷον εἰκὸς,
ἔθυον. κ' ἐπειδὴ αὐτῷ ἐτέθυτο τὰ ἱερὰ, ἐντεῦθεν ἐβου- 7
λεύετο ἡ ἄνθρωπος, ὅπως ἂν αὐτοῖς τὸ φάρμακον δοίη·
πότερα πρὸ δείπνου, ἢ ἀπὸ δείπνου. ἔδοξεν δ' αὐτῇ βου-
λευομένῃ βέλτιον εἶναι μετὰ δεῖπνον δοῦναι, ταῖς Κλυ-
ταιμνήστρας τῆς τότε μητρὸς ὑποθήκαις ἅμα διακονοῦσα.

ς'. Καὶ τὰ μὲν ἄλλα μακρότερος ἂν εἴη λόγος περὶ 1
τοῦ δείπνου ἐμοί τε διηγήσασθαι, ὑμῖν τ' ἀκοῦσαι· ἀλλὰ 2
πειράσομαι τὰ λοιπὰ ὡς ἐν βραχυτάτοις ὑμῖν διηγήσα-
σθαι, ὡς γεγένηται ἡ δόσις τοῦ φαρμάκου. ἐπειδὴ γὰρ 3
ἐδεδειπνήκεισαν, οἷον εἰκὸς, ὁ μὲν θύων Διὶ κτησίῳ,
κἀκεῖνον ὑποδεχόμενος, ὁ δ' ἐκπλεῖν τε μέλλων κ' παρὰ
ἀνδρὶ ἑταίρῳ δειπνῶν, σπονδάς τ' ἐποιοῦντο, κ' λιβανω-
τὸν ὑπὲρ αὐτῶν ἐπετίθεσαν· ἡ δὲ παλλακὴ τοῦ Φιλόνεω, 4
τὴν σπονδὴν ἅμα ἐγχέουσα ἐκείνοις εὐχομένοις, ἃ κ ἔμελ-
λε τελεῖσθαι, ὦ ἄνδρες, ἐνέχει τὸ φάρμακον. κ' ἅμα
οἰομένη δεξιὸν ποιεῖν, πλέον δίδωσι τῷ Φιλόνεῳ· (ἴσως, 5
εἰ δοίη πλέον, μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω.
ἔπω γὰρ ἤδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατωμένη,
πρὶν ἐν τῷ κακῷ ἤδη ἦν). τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ 6
ἔλασσον ἐνέχει. κ' ἐκεῖνοι ἐπειδὴ ἀπέσπεισαν, τὸν ἑαυ-
τῶν φονέα μεταχειριζόμενοι, ἐκπίνουσιν ὑστάτην πόσιν. ὁ
μὲν δὴ Φιλόνεως, εὐθέως παραχρῆμα ἀποθνήσκει· ὁ δὲ 7
πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπίπτει, ἐξ ἧς κ' ἀπώλετο
εἰκοσαῖος. ἀνθ' ὧν ἡ διακονήσασα ἔχει τὰ ἐπιχειρα, ὧν
ἀξία ἦν, οὐδὲν αἰτία οὖσα· (τῷ γὰρ δημοσίνῳ τροχισθεῖ-

(6) Μεταχειριζόμενοι] ὅ ἐστιν ἀγνοοῦντες, τῷ ἑαυτῶν φονεῖ ἐχρῶντο εἰς τὴν ἰδίαν ἑαυτῶν ἀπώλειαν· (7) οὐδὲν αἰτία οὖσα] ὁ γὰρ ἤδη ὅτι θανατη-

σα παρεδόθη). ἡ δ' αἰτία γ', ἡ δὴ καὶ ἐνθυμηθεῖσα, καὶ 8
χειρωγήσασα, ἔξει, ἐὰν ὑμεῖς τε καὶ οἱ θεοὶ θέλωσι.

ζ'. Σκέψασθε ἓν ὅσῳ δικαιότερα δεήσομαι ὑμῶν ἐγὼ, 1
ἢ ὁ ἀδελφός. ἐγὼ μὲν τῷ τεθνεῶτι ὑμᾶς κελεύω καὶ τῷ
ἠδικημένῳ τὸν ἀίδιον χρόνον τιμωρὸς γενέσθαι· ἕτος δὲ 2
τὲ μὲν τεθνεῶτος πέρι ἐδὲν ὑμᾶς αἰτήσεται, ὃς ἄξιος καὶ
ἐλέε καὶ βοηθείας καὶ τιμωρίας παρ' ὑμῶν τυχεῖν, ἀθέως
καὶ ἀκλεῶς πρὸ τῆς εἱμαρμένης ὑφ' ὧν ἥκισα ἐχρῆν τὸν
βίον ἐκλιπών· ὑπὲρ δὲ τῆς ἀποκτεινάσης δεήσεται ἀθέ- 3
μισα, καὶ ἀτέλεσα, καὶ ἀνήκεσα καὶ θεοῖς καὶ ὑμῖν, δεόμε-
νος ὑμῶν, ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισε μὴ κακοτεχνῆσαι.
ὑμεῖς δ' ἐ τῶν ἀποκτεινάντων ἐσὲ βοηθοὶ, ἀλλὰ τῶν ἐκ 4
προνοίας ἀποθνησκόντων, καὶ ταῦτα, ὑφ' ὧν ἥκισα ἐχρῆν
αὐτὲς ἀποθνήσκειν. ἤδη ἓν ἐν ὑμῖν τὄτό ἐσιν ὀρθῶς διαγ- 5
νῶναι, ὃ καὶ ἐποιήσατε. δεήσεται δ' ὑμῶν ἕτος μὲν ὑπὲρ
τῆς μητρὸς αὐτῆ ζώσης τῆς ἐκείνον διαχρησαμένης ἀβέ-
λως τε καὶ ἀθέως, ὅπως δίκην μὴ δῷ, ἂν ὑμᾶς πείθῃ,
ὧν ἠδίκηκεν· ἐγὼ δ' ὑμᾶς ὑπὲρ τὲ πατρός με τεθνεῶ- 6
τος αἰτῆμαι, ὅπως παντὶ τρόπῳ δῷ. ὑμεῖς δὲ, ὅπως δι- 7
δῶσι δίκην οἱ ἀδικῆντες, τέτε γε ἕνεκα καὶ δικασαὶ ἐγέ-
νεσθε καὶ ἐκλήθητε· καὶ ἐγὼ μὲν ἐπεξέρχομαι λέγων, ἵνα
δῷ δίκην ὧν ἠδίκηκε, καὶ τιμωρήσω τῷ τε πατρὶ τῷ ἡμε-
τέρῳ, καὶ τοῖς νόμοις τοῖς ὑμετέροις· (ταύτῃ καὶ ἄξιόν μοι
βοηθῆσαι ὑμᾶς ἅπαντας, εἰ ἀληθῆ λέγω). ἕτος δὲ τἀ- 8
ναντία, ὅπως ἡ τὲς νόμες παριδῆσα μὴ δῷ δίκην ὧν ἠδί-
κηκε, ταύτῃ βοηθὸς καθέζηκε. καίτοι πότερον δικαιό-
τερον τὸν ἐκ προνοίας ἀποκτείναντα δεῖναι δίκην, ἢ μή;

φόρον ἦν τὸ φάρμακον, ἀλλ' ὡς ἐπὶ φίλτροις ἐνέχει· (8) ἡ δὲ αἰτία γ' ἡ δὴ καὶ ἐνθυμηθεῖσα] ὅτως ἔγραψε Reiskius ἀντὶ τᾶ, ἡ δὲ αἰτίατε ἤδη καὶ ἐνθυμηθεῖσα· ὅπερ ὀρθὸν ἦν προσεθείσης τῆς ὑπαρκτικῆς μετοχῆς ὅτωσι· ἡ δὲ αἰτίατε ὅσα, καὶ ἐνθυμηθεῖσα· ὅ ἐσιν, ἐπινοήσασα, ἐφευροῦσα τὸ φάρμακον· (8) ἔξει] τὴν δίκην, τὰ ἐπίχειρα.

καὶ πότερον δικαιότερον οἰκτεῖραι μᾶλλον τὸν τεθνεῶτα, 9
ἢ τὴν ἀποκτείνασαν; ἐγὼ μὲν οἶμαι τὸν τεθνεῶτα. καὶ
γὰρ δικαιότερον καὶ ὁσιώτερον καὶ πρὸς θεῶν καὶ πρὸς ἀν-
θρώπων γένοιτο ὑμῖν.

ἡ. Ἤδη ἓν ἐγὼ ἀξιῶ, ὥσπερ κἀκεῖνον ἀνελεημόνως 1
καὶ ἀνοικτίσως αὕτη ἀπώλεσεν, ἕτω καὶ αὐτὴν ταύτην ἀπο-
λέσθαι ὑπότε ὑμῶν καὶ τᾶ δικαίᾳ. ἡ μὲν γὰρ ἐκθσίως, 2
καὶ βθλεύσασα τὸν θάνατον, ὁ δ' ἀκθσίως καὶ βιαίως ἀπέ-
θανε. πῶς γὰρ ὁ βιαίως ἀπέθανεν, ὦ ἄνδρες, ὅς γε 3
πλεῖν ἔμελλεν ἐκ τῆς γῆς τῆσδε, παράτε ἀνδρὶ αὐτᾶ
φίλῳ ἐσιᾶτο; ἡ δὲ, πέμψασα τὸ φάρμακον, καὶ κελεύ-
σασα ἐκείνῳ δᾶναι πιεῖν, ἀπέκτεινεν ἡμῶν τὸν πατέρα;
πῶς ἓν ταύτην ἐλεεῖν ἄξιόν ἐσιν, ἢ αἰδᾶς τυγχάνειν παρ' 4
ὑμῶν, ἢ ἄλλᾳτε, ἥτις αὐτὴ ἐκ ἠξίωσεν ἐλεῆσαι τὸν
αὐτῆς ἄνδρα, ἀλλ' ἀνοσίως καὶ αἰσχρῶς ἀπώλεσεν; ἕτω 5
δέτοι καὶ ἐλεεῖν ἐπὶ τοῖς ἀκθσίοις παθήμασι μᾶλλον προ-
σήκει ἢ τοῖς ἐκθσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρ-
τήμασι. καὶ ὥσπερ ἐκεῖνον αὕτη, ὅτε θεὰς, ἔθ' ἥρωας,
ἔτ' ἀνθρώπᾳς δείσασα, ἀπώλεσεν, ἕτω καὐτὴ ὑφ' ὑμῶν
καὶ τᾶ δικαίᾳ ἀπολομένη, καὶ μὴ τυχθσα μήτ' αἰδᾶς, μήτ'
ἐλέε μήτ' αἰσχύνης μηδεμιᾶς παρ' ὑμῶν, τῆς δικαιοτάτης
ἂν τύχοι τιμωρίας.

θ'. Θαυμάζω δὲ ἔγωγε τῆς τόλμης τᾶ ἀδελφᾶ, καὶ 1
τῆς διανοίας, τῷ διομόσασθαι ὑπὲρ τῆς μητρὸς εὖ εἰδέ-
ναι μὴ πεποιηκέναι ταῦτα. πῶς γὰρ ἄν τις εὖ εἰδείη, οἷς
μὴ παρεγένετο αὐτός; ὁ γὰρ δήπθ μαρτύρων γ' ἐναν- 2
τίον οἱ ἐπιβθλεύοντες τὲς θανάτᾳς τοῖς πέλας μηχανῶν-
ταί τε καὶ παρασκευάζθσιν, ἀλλ' ὡς μάλισα δύνανται λα-
θραιότατα, καὶ ὡς ἀνθρώπων μηδένα εἰδέναι· οἱ δ' ἐπι-
βθλευόμενοι ὁδὲν ἴσασιν πρὶν ἐν αὐτῷ ὦσι τῷ κακῷ γ'
ἤδη, καὶ γινώσκωσι τὸν ὄλεθρον, ἐν ᾧ εἰσι. τότε δὲ, 3

ἐὰν μὲν δύνωνται, ᾗ μὴ φθάνωσι, πρὶν ἀποθανεῖν, ᾗ φίλους ᾗ ἀναγκαίους τοὺς σφετέρους καλοῦσι ᾗ μαρτύρονται, ᾗ λέγουσιν αὐτοῖς ὑφ' ὧν ἀπόλλυνται, ᾗ ἐπισκήπτουσι τιμωρῆσαι σφίσιν αὐτοῖς ἠδικημένοις· (ἃ καμοὶ παιδὶ ὄντι ὁ πατὴρ, τὴν ἀθλίαν ᾗ τελευταίαν νόσον νοσῶν,
4 ἐπέσκηπτεν). ἐὰν δὲ τούτων ἁμαρτάνωσι, γράμματα γράφουσι, ᾗ οἰκέτας τοὺς σφετέρους αὐτῶν ἐπικαλοῦνται μάρτυρας, ᾗ δηλοῦσιν ὑφ' ὧν ἂν ἀπόλωνται. καμοὶ νέῳ ἔτι ὄντι ταῦτα ἐδήλωσε ᾗ ἐπέσειλεν, ὦ ἄνδρες, ἐ τοῖς
5 ἑαυτοῦ δόλοις. ἐμοὶ μὲν οὖν διήγηται ᾗ βεβοήθηται τῷ τεθνεῶτι ᾗ τῷ νόμῳ· ἐν ὑμῖν δ' ἐστὶ σκοπεῖν τὰ λοιπὰ πρὸς ὑμᾶς αὐτούς, ᾗ δικάζειν τὰ δίκαια. οἶμαι δὲ ᾗ τοῖς θεοῖς τοῖς κάτω μέλειν, οἳ ἠδίκηνται.

ΑΝΤΙΦΩΝΤΟΣ

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Πανταχοῦ μὲν τὴν οἰκείαν Ἀντιφῶν ἐνδείκνυται δύναμιν, μάλιστα δ' ἐν ταύταις ταῖς τετραλογίαις, ἐν αἷς αὐτὸς πρὸς αὑτὸν ἀγωνίζεται. δύο γὰρ ὑπὲρ τοῦ κατηγόρου λόγους εἰπών, δύο ᾗ ὑπὲρ τοῦ λέγοντος ἐμελέτησεν, ὁμοίως ἐν ἀμφοτέροις εὐδοκιμῶν. ἔοικε μὲν οὖν ἕτος ὁ λόγος τῷ Λυσίου λόγῳ τῷ πρὸς Μικίνην γεγραμμένῳ. ἔχει δ' αὐτῷ τὰ τῆς ὑποθέσεως ὧδε. ἀναχωρῶντις ἀπὸ δείπνου, εὑρέθη σὺν τῷ ἀκολούθῳ συγκεκομμένος· μετὰ τὴν αὐτοῦ τελευτὴν συγγενής τις αὐτοῦ κατηγορεῖ ἐχθροῦ αὐτοῦ, ὡς πεποιηκότος τὸν φόνον· ὁ δ' ἀρνεῖται. ὅθεν σοχασμὸς ἡ σάσις ἀτελής, ἐκ μόνου τοῦ προσώπου συνισάμενος. ἡ δὲ τοῦ λόγου διαίρεσις αὕτη. ἐν μὲν τοῖς προοιμίοις τὴν κατάστασιν ὁ λόγος ἔχει, διὰ τὸ μήπω τὴν ὅλην ἠκριβῶσθαι τέχνην. ἀρχόμενος δὲ τῶν ἀγώνων, πρώτῃ

ἐχρήσατο ἀναιρέσει αἰτιῶν, δι' ὧν ἀπέδειξεν, ὅτι ἐδεῖς αὐτῶν τῶν ὀφειλόντων ὑπονοηθῆναι διέφθειρεν. εἶτα περίστησε τὸ πρᾶγμα εἰς τὸ δεῖξαι, ὅτι ἐξ ἐπιβουλῆς ἀπέθανε· ᾗ λοιπὸν ἐμβάλλει εἰς τὴν ποίησιν· τὴν δὲ τῶν ἐλέγχων ἀπαίτησιν λύει τῇ μαρτυρίᾳ τοῦ δόλου. εἶτα παρέκβασις ᾗ ἐπίλογος.

ά. Ὁπόσα μὲν τῶν πραγμάτων ὑπὸ τῶν ἐπιτυχόντων ἐπιβουλεύεται, ἐ χαλεπὰ ἐλέγχεσθαι ἐστίν· ἂν δ' ἱκανῶς μὲν πεφυκότες, ἔμπειροι δὲ τῶν πραγμάτων ὄντες, ἐν δὲ τούτῳ τῆς ἡλικίας καθεστῶτες, ἐν ᾧ κράτιστοι φρονεῖν αὐτῶν εἰς τὰ πράγματ' ὦσι, χαλεποὶ ᾗ γνωσθῆναι ᾗ δειχθῆναι εἰσί. διὰ γὰρ τὸ μέγεθος τοῦ κινδύνου, 1 2
ἐκ πολλοῦ τὴν ἀσφάλειαν, ὧν ἐπιβουλεύουσι, σκοποῦντες, ἐ πρότερον ἐπιχειροῦσιν, ἢ πάσης ὑποψίας φυλακὴν ποιήσωνται. γινώσκοντας οὖν ὑμᾶς χρὴ ταῦτα, κἂν ὁτιοῦν εἰ- 3
κὸς παραλάβητε, σφόδρα πιστεύειν αὐτῷ. ἡμεῖς δ' οἱ ἐπεξερχόμενοι τὸν φόνον, ἐ τὸν αἴτιον ἀφέντες, τὸν ἀναίτιον διώκομεν. σαφῶς γὰρ οἴδαμεν, ὅτι πάσης τῆς πόλεως μιαινομένης ὑπ' αὐτοῦ, ἕως ἂν διωχθῇ, τό τ' ἀσέβημα ἡμέτερον γίνεται, τῆς θ' ὑμετέρας ἁμαρτίας ἡ ποινὴ εἰς ἡμᾶς τοὺς μὴ δικαίως διώκοντας ἀναχωρεῖ.

β'. Ἅπαντος ἕνεκα τοῦ μιάσματος ἀναχωροῦντος εἰς ἡμᾶς, 1
ὡς ἂν δυνώμεθα σαφέστατα, ἐξ ὧν γινώσκομεν, πειρασόμεθα ὑμῖν δηλοῦν, ὡς ἀπέκτεινε τὸν ἄνδρα. ἐδεὶς γὰρ ἂν 2

(1) Ἂν δὲ ἱκανῶς πεφυκότες] ἂν δὲ ἐπιβουλεύωσιν τινὲς ἱκανὴν εὐφυΐαν ἔχοντες ᾗ μὴ ὄντες τῶν τυχόντων, ἔτοι χαλεποὶ ᾗ τλ. (1) ἐν ᾧ κράτιστοι φρονεῖν αὐτῶν] ἐν ᾗ ἡλικίᾳ εἰσὶ κράτιστοι ἑαυτῶν φρονεῖν· οἵ εἰσιν ἐν ᾧ χρόνῳ φρονοῦσι κράτιστα, ἢ πρότερον ἐφρόνουν· (4) τῆς ὑμετέρας ἁμαρτίας] ὁ νοῦς ἕτος ἂν εἴη· μιαινομένης τῆς πόλεως ὑπὸ τούτου τοῦ κακουργήματος, εἰς ἡμᾶς ἔρχεται τὸ ἀσέβημα, εἰ μὴ διώξωμεν τὸν πράξαντα· ᾗ πάλιν ἂν ὑμεῖς καταψηφίσησθε τούτου ἀδίκως, ἡ ποινὴ παρὰ τῶν θεῶν εἰς ἡμᾶς ἀναχωρεῖ, οἳ μὴ δικαίως διώκομεν.

(2) Οὐδεὶς γὰρ ἂν τὸν ἔσχατον κίνδυνον] περὶ τοῦ καταγορευμένου ταῦτα

τὸν ἔσχατον κίνδυνον περὶ τῆς ψυχῆς κινδυνεύων, ἑτοίμην ἡ κατειργασμένην τὴν ὠφέλειαν ἀφῆκεν· ὅτε γὰρ κακέργης εἰκὸς ἀποκτεῖναι τὸν ἄνθρωπον· ἔχοντες γὰρ ἂν τὰ ἱμάτια εὑρέθησαν· οὐ μὴν ὑδὲ παροινήσας ὑδεὶς
3 διέφθειρεν αὐτόν· ἐγινώσκετο γὰρ ἂν ὑπὸ τῶν συμποτῶν· ὑδὲ μὴν ὑδ' ἐκ λοιδορίας· οὐ γὰρ ἀωρὶ τῶν νυκτῶν, ὑδ' ἐν ἐρημίᾳ ἐλοιδορεῖντο· ὑδὲ μὴν ἄλλῳ σοχαζόμενος, ἔτυχε τούτῳ· ὁ γὰρ ἂν σὺν τῷ ἀκολούθῳ διέφθειρεν αὐ-
4 τόν· ἀπολυομένης δὲ τῆς ὑποψίας ἁπάσης, αὐτὸς ὁ θάνατος ἐξ ἐπιβουλῆς ἀποθανόντα μηνύει αὐτόν· ἐπιθέσθαι δὲ τίνα μᾶλλον εἰκός ἐσιν, ἢ τὸν μεγάλα μὲν κακὰ πεπονθότα, ἔτι δὲ μείζονα ἐπιδοξον ὄντα πάσχειν; ἔσι δ' ὁ διωκόμενος ἕτος·

1 γ'. Ἐκ παλαιοῦ γὰρ ἐχθρὸς ὢν αὐτῷ, πολλὰς μὲν ἡ μεγάλας γραφὰς διώξας, ὑδεμίαν εἶλεν· ἔτι δὲ μείζες ἡ πλείας διωχθεὶς, ὑδε πώποτ' ἀποφυγὼν, ἱκανὸν μέρος
2 τῶν ὄντων ἀποβέβληκε· τὰ δ' ἔγγισα, ἱερῶν κλοπῆς δυοῖν ταλάντοιν γεγραμμένος ὑπ' αὐτοῦ, συνειδὼς μὲν αὐτῷ τὸ ἀδίκημα, ἔμπειρος δ' ὢν τῆς τότε δυνάμεως, μνησικακῶν δὲ τῶν ἔμπροσθεν, εἰκότως μὲν ἐπεβούλευσεν, εἰκότως δ' ἀμυνόμενος τὴν ἔχθραν, ἀπέκτεινε τὸν ἄνδρα· ἥ τε γὰρ ἐπιθυμία
3 τῆς τιμωρίας ἀμνήμονα τῶν κινδύνων καθίςησιν αὐτόν· ὅ, τε φόβος τῶν ἐπιφερομένων κακῶν ἐκπλήσσων, θερμότερον ἐπιχειρεῖν ἐπῆρεν· ἤλπιζέ τε τάδε μὲν δράσας, ἡ λήσειν ἀποκτείνας αὐτὸν, ἡ ἀποφεύξεσθαι, τὴν γραφήν·
4 ὅτε γὰρ ἐπεξιέναι ὑδένα, ἀλλ' ἔρημον αὐτὴν ἔσεσθαι· εἴτε ἡ ἁλοίη, τιμωρησαμένῳ κάλλιον ἔδοξεν αὐτῷ ταῦτα πά-

λέγει· ὃς ἱερῶν κλοπῆς γραφὴν φεύγων παρὰ τοῦ φονευθέντος, ἐκινδύνευε περὶ τῆς ψυχῆς· ὡς κατωτέρω· γ', 2. (2) τὴν ὠφέλειαν] τὴν ἀπὸ τοῦ θανάτου ἐκείνου ἀποφυγὴν τῆς γραφῆς. (3) ὑδὲ μὴν ἄλλῳ σοχαζόμενος] ἄλλον σκοπῶν, τοῦτον (τοῦ φονευθέντος) ἔτυχε. (4) ἐπίδοξον ὄντα] προσδοκῶντα πείσεσθαι.

χειν, ἢ ἀνάνδρως μηδὲν ἀντιδράσαντα ὑπὸ τῆς γραφῆς διαφθαρῆναι· σαφῶς δ' ἤδει ἁλωσόμενος αὐτήν· ὁ γὰρ ἂν τόνδε τὸν ἀγῶνα ἐνόμισεν ἀσφαλέσερον εἶναι. 3

δ'. Τὰ μὲν βιασάμενα ταῦτά ἐσιν ἀσεβῆσαι αὐτόν· 1
μάρτυρες δ' εἰ μὲν πολλοὶ παρεγένοντο, πολλὰς ἂν παρεσχόμεθα· ἑνὸς δὲ τοῦ ἀκολούθου παραγενομένου, οἵ τότε ἦκον μαρτυρήσοντες· ἔμπνους γὰρ ἔτι ἀφθεὶς, ἀνακρινόμενος ὑφ' ἡμῶν, τοῦτο μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτός· ἐξελεγχόμενος δ' ὑπότε τῶν εἰκότων, ὑπότε τῶν παραγενομένων, ὑδενὶ τρόπῳ, ὅτε δικαίως, ὅτε συμφερόντως ἀπολύοιτ' ἂν ὑφ' ὑμῶν· οἵτε γὰρ ἐπιβουλεύοντες, ἀνεξέλεγκτοι ἂν εἴησαν, εἰ μήθ' ὑπὸ τῶν παραγενομένων, μήθ' ὑπὸ τῶν εἰκότων ἐξελέγχονται· ἀσύμφορόν θ' ὑμῖν ἐσι τόνδε, μιαρὸν ἡ ἄναγνον ὄντα, εἰς τὰ τεμένη τῶν θεῶν εἰσιόντα μιαίνειν τὴν ἁγνείαν αὐτῶν· ἐπίτε τὰς 4
τραπέζας ἰόντα, συγκαταπιμπλάναι τοὺς ἀναιτίους. ἐκ γὰρ τούτων αἵτε ἀφορίαι γίνονται, ἡ δυσυχεῖς αἱ πράξεις καθίσανται· οἰκείαν ἦν χρὴ τὴν τιμωρίαν ἡγησαμένους, αὐτῷ 5
τούτῳ τὰ τότε ἀσεβήματα ἀναθέντας, ἰδίαν μὲν τὴν συμφορὰν, καθαρὰν δὲ τὴν πόλιν καταςῆσαι.

ΑΝΤΙΦΩΝΤΟΣ

ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΡΑΓΜΑ.

ΥΠΟΘΕΣΙΣ.

Ὁμολογεῖ μὲν τὴν πρώτην ἔχθραν τὴν πρὸς τὸν τεθνη-

(2) Τοῦτο μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτούς] διέφθαρται τὸ χωρίον· ἴσως δὲ γραπτέον ἂν εἴη, τοῦτον μόνον ἔφη τῶν παρόντων γνῶναι, ὅ ἐσι τοῦτον μόνον ἐκ τῶν παρόντων τῷ φόνῳ αὐτὸς ἔγνω· παρεγένοντο γὰρ ἡ ἄλλοι· ὑδε ἀπολ. γ', 1. (2) τῶν εἰκότων] τῶν οἰκετῶν ἐν τῇ ἀρχαίᾳ κεῖται. (3) ἀσύμφορόν θ' ὑμῖν] προσέθηκα τὸν, τε, ἀναγκαῖον εἶναι νομίσας· ἵνα ᾖ· οἵτε γὰρ ἐπιβουλεύοντες ἀνεξέλεγκτοι ἂν εἴησαν, ἡ ὑμῖν ἀσυμφορώτατοι.

κότα ὁ ἀπολογούμενος, ἀρνεῖται δὲ τὸν φόνον· οὐ τεκμήριον τοῦ μὴ πεφονευκέναι ποιεῖται· λέγει γὰρ ὅτι ἐχθρὸς ὢν, ἤδειν πάντως κατ' ἐμοῦ τὴν αἰτίαν ἥξουσαν· διὰ τοῦτο οὐκ ἂν ἐφόνευον· διαβάλλει δὲ καὶ τὴν μαρτυρίαν τοῦ οἰκέτου, ὡς ἐκ παρασκευῆς γεγονυῖαν τῶν δεσποτῶν· ἐκ ἀπίθανον δὲ φησι, κακούργους ἀνελόντας αὐτὸν, ἀποδύσαι τὰ ἱμάτια μὴ φθάσαι.

1 α'. Οὔ μοι δοκῶ ἁμαρτάνειν ἀτυχέσατον ἐμαυτὸν ἡγούμενος εἶναι πάντων ἀνθρώπων· τῶν μὲν γὰρ ἄλλων οἱ δυσυχοῦντες, ὁπόταν μὲν ὑπὸ χειμῶνος πονῶσιν, εὐδίας γενομένης παύονται· ὅταν δὲ νοσήσωσιν, ὑγιεῖς γενόμενοι σώζονται· ἐὰν δέ τις ἄλλη συμφορὰ καταλαμβάνῃ
2 αὐτοὺς, τὰ ἐναντία ἐπιγενόμενα ὀνίνησιν· ἐμοὶ δὲ ζῶντε ἄνθρωπος, ἀνατροπεὺς τοῦ οἴκου ἐγένετο· ἀποθανόντε, κἂν ἀποφύγω, ἱκανὰς λύπας καὶ φροντίδας ἐμβέβληκεν·
3 εἰς τοῦτο γὰρ βαρυδαιμονίας ἥκω, ὥσε οὐκ ἀρκεῖν μοι ἐσὶν, ἐμαυτὸν ὅσιον καὶ δίκαιον παρέχοντα, μὴ διαφθαρῆναι· ἀλλὰ κἂν μὴ τὸν ἀποκτείναντα, εὑρὼν ἐξελέγξω, ἂν οἱ τιμωρεῖντες αὐτῷ ἀδύνατοι εὑρεῖν εἰσὶν, αὐτὸς καταδοκη-
4 θεὶς φονεὺς εἶναι, ἀνοσίως ἀλώσομαι· καὶ ἐμὲ ὡς δεινὸν μὲν, παγχάλεπον φασὶν ἐλέγχεσθαι εἶναι· ὡς δ' ἠλίθιον, ἐξ αὐτῶν, ὧν ἔπραξα, φανερὸν εἶναι ἐργασάμενον
5 τὸ ἔργον· εἰ γὰρ νῦν διὰ τῆς ἔχθρας τὸ μέγεθος εἰκότως ὑφ' ὑμῶν καταδοκεῖμαι, πρὶν ἐργάσασθαι, εἰκότερον ἦν τὸν εἰδότα τὴν ὑποψίαν τὴν νῦν εἰς ἐμὲ ἔσαν, καὶ τῶν ἄλλων εἴ τινα ἔγνων ἐπιβουλεύοντα αὐτῷ, διακωλύειν μᾶλλον, ἢ αὐτὸν ἐργασάμενον εἰς ἐκκσίας καὶ προδήλους
6 ὑποψίας ἐμπεσεῖν· ἔκ τε γὰρ αὐτοῦ τοῦ ἔργου φανερὸς γενόμενος ἀπωλλύμην, λαθὼν τε σαφῶς ἤδειν τήνδε τὴν ὑποψίαν εἰς ἐμὲ ἔσαν.

1 β'. Ἄθλια μὲν ἔγ πάσχω, μὴ ἀπολογεῖσθαι μόνον

βιαζόμενος, ἀλλὰ καὶ τοὺς ἀποκτείναντας φανεροὺς καταστῆσαι· ὅμως δὲ καὶ τοῦτο ἐπιχειρητέον· οὐδὲν γὰρ πικρότερον τῆς ἀνάγκης ἔδοξεν εἶναι· ἔχω δὲ οὐδαμῶς ἄλλως ἐλέγ-
χειν, ἢ ἐξ ὧν τοὺς ἄλλους ὁ κατήγορος ἀπολύων, αὐτὸν 2
τὸν θάνατον φησὶ μηνύειν ἐμὲ τὸν φονέα ὄντα· εἰ γὰρ τούτων αἰτίων δοκόντων εἶναι, ἐν ἐμοὶ τὸ δίκημα φανεῖται, τούτων ὑπόπτων ὄντων, ἔγωγ' εἰκότως καθαρὸς δοκοίην εἶναι· ἔσι δὲ οὐκ ἀπεικὸς (ὡς ἔτοι φασὶν·) ἀλλὰ εἰκὸς, ἀωρὶ τῶν νυκτῶν πλανώμενον, ἐπὶ τοῖς ἱματίοις 3
διαφθαρῆναι· τὸ μὲν γὰρ μὴ ἐκδυθῆναι, οὐδὲν σημεῖόν ἐσιν. εἰ γὰρ μὴ ἔφθησαν περιδύσαντες αὐτὸν, ἀλλά τι- 4
νας πρησιόντας φοβηθέντες ἀπέλιπον, ἐσωφρόνουν, καὶ οὐκ ἐμαίνοντο, τὴν σωτηρίαν τοῦ κέρδους προτιμῶντες· εἰ δὲ μὴ καὶ ἐπὶ τοῖς ἱματίοις διεφθάρη, ἀλλ' ἑτέρους ἰδὼν ἄλλό 5
τι κακὸν ποιοῦντας, ἵνα μὴ μηνυτὴς τοῦ ἀδικήματος γένη-
ται ἀπέθανεν ὑπ' αὐτῶν, τίς οἶδε τόσδε μὴ πολὺ ἧσσον ἐμοῦ μισοῦντας αὐτόν; ἐκείνοις μὲν γὰρ φανερὰ ἦν ἡ ὑπο-
ψία εἰς ἐμὲ ἔσα, ἐγὼ δὲ ὑπὲρ ἐκείνων ὑπαίτιος ἐσόμε- 6
νος σαφῶς ἤδειν· τοῦ δὲ ἀνολέθρου ἡ μαρτυρία πῶς ἀξία πι-
στεύεσθαι ἐσίν; ὑπότε τοῦ κινδύνου ἐκπεπλημμένον αὐτὸν οὐκ εἰκὸς ἦν τοὺς ἀποκτείναντας γνῶναι· ὑπότε τῶν κυ-
ρίων ἀναγινωσκόμενον, ἐπινεῦσαι ἦν εἰκός· ἀπισουμένων δὲ καὶ τῶν ἄλλων δούλων ἐν ταῖς μαρτυρίαις (οὐ γὰρ ἐβα- 7
σανίζομεν αὐτοὺς) πῶς δίκαιον τούτῳ μαρτυροῦντι πι-
στεύσαντας, διαφθεῖραί με;

γ'. Εἰ δέτις τὰ εἰκότα ἀληθέσιν ἴσα ἡγεῖται καταμαρτυρῆσαί μου, ταὐτὸν ἀντιλογισάσθω, ὅτι με εἰκότερον ἦν τὴν ἀσφάλειαν τῆς ἐπιβουλῆς τηροῦντα, φυλάξασθαι, 1

(6) Ὑπότε τῶν κυρίων ἀναγινωσκόμενον] τοῦτο δέ ἐσιν, ἀναπειθόμενον καταμαρτυρῆσαι αὐτοῦ, ὢ ἀθῴου ὄντος.

ᾗ μὴ παραγενέσθαι τῷ ἔργῳ μᾶλλον, ἢ τοῦτον σφαττό-
2 μενον ὀρθῶς γνῶναι· ὡς δὲ οὐδὲ τὸν κίνδυνον οὐκ ἀσφα-
λέστερον τοῦ ἀπὸ τῆς γραφῆς ἡγούμην εἶναι, ἀλλὰ πολ-
λαπλάσιον, εἰ μὴ παρεφρόνουν, διδάξω· ἄλους μὲν γὰρ
τὴν γραφήν, τῆς μὲν οὐσίας ἥδειν ἐκνησόμενος, τῆς δὲ
3 πόλεως ᾗ τοῦ σώματος οὐκ ἐξερούμην· περιγενόμενος δὲ
ᾗ ληφθείς, κἂν ἔρανον παρὰ τῶν φίλων συλλέξας, οὐκ
4 ἂν εἰς τὰ ἔσχατα κακὰ ἦλθον· ἐὰν δὲ νῦν καταληφθεὶς
ἀποθάνω, ἀνόσια ὀνείδη τοῖς παισὶ καταλείψω. ἢ φυ-
γὼν γέρων ᾗ ἄπολις ὢν, ἐπὶ ξενίας πτωχεύσω· οὕτω
5 μὲν ἃ κατηγόρηταί μου, πάντα ἄπιστά ἐστιν· ἀπολύεσθαι
δὲ ὑφ' ὑμῶν, εἰ ᾗ εἰκότως μὲν, ὄντως δὲ μὴ ἀπέκτεινα
τὸν ἄνδρα, πολὺ μᾶλλον δίκαιός εἰμι· ἐγώτε γὰρ φανε-
ρὸν, ὅτι μεγάλα ἀδικούμενος ἠμυνάμην· ἐγὼ γὰρ ἂν ἐδόκουν
6 εἰκότως ἀποκτεῖναι, ἂν καταλαμβάνηται· ἐκ δὲ παντὸς
7 τρόπου ἀπολυόμενος τῆς αἰτίας ἔγωγε, ὅτε εἰς τὰ τεμέ-
νη εἰσιὼν, τὴν ἁγνείαν τῶν θεῶν μιανῶ, οὔτε ὑμᾶς πεί-
8 σων ἀπολῦσαί με, ἀνόσια πράττω· οἱ δὲ διώκοντες μὲν
ἐμὲ τὸν ἀναίτιον, τὸν δ' αἴτιον ἀφιέντες, τῆς τε ἀφορίας
αἴτιοι γίνονται, ὑμᾶς τε ἀσεβεῖς εἰς τοὺς θεοὺς πείθοντες

(1) Ἢ τοῦτον σφαττόμενον] ἢ ὀρθῇ τῇ ὄψει, ὅ ἐστιν ὀφθαλμοφανῶς ἰδεῖν τοῦτον σφαττόμενον· μεμαρτύρηται γὰρ ὑπὸ τοῦ ἀκολούθου ἀνωτέρω (κατηγ. δ', 2.) ὅτι τοῦτον μόνον ἐκ τῶν παρόντων ἐκεῖνος ἔγνω. (2) ἐκ ἀσφαλέστερον] ἴδε ἐν τῇ κατηγορίᾳ· γ', 5. (3) περιγενόμενος δὲ καὶ ληφθείς] ἴσως δὲ γραπτέον· ληφθεὶς δὲ (ἱερῶν κλοπῆς δηλονότι) ᾗ περιγενόμενος (μὴ καταδικασθεὶς θανάτῳ, ἀλλὰ μόνον τῆς οὐσίας στερηθεὶς) κἂν ἔρανον ᾗ τλ. (4) ἐπὶ ξενίας] ἴσως ἐπὶ τῆς ξένης· εἰμὶ ἐξειλῆφθαι ἀντὶ τοῦ νῦν ἐκ τῆ συνηθείᾳ λεγομένου, ξενιτείας. (5) εἰ ᾗ εἰκότως μὲν, ὄντως δὲ μὴ] ᾗ εἰ δοκῶ μὲν ἐκ τῶν εἰκότων, ἃ μὴν τῷ ὄντι ἀπέκτεινε· εἰκὸς γὰρ κἀκεῖνο ὑπὲρ ἐμοῦ, ὅτι μεγάλα ἀδικούμενος ἠμυνάμην· ἄλλως γὰρ ἐκ ἂν εἰκαζόμην ὑφ' ὑμῶν ἀποκτεῖναι· (6) καταλαμβάνηται] διέφθαρται καὶ τοῦτο· ὁ δὲ ῥήτωρ ἀναπληροῦν πειρᾶται ὧδί· ἀλλ' οὐδ' ὄντως ἀπέκτεινα· ὁ γὰρ ἀληθῶς ἀποκτείνας ταχ' ἄν καταλαμβάνηται· ἀλλὰ τῆς ὑγιάσεως τοῦ χωρὶς Οἰδιπόδου χρεία.

καταξῆναι, πάντων, ὧν ἐμὲ ἄξιον φασὶ παθεῖν εἶναι, δικαιοί εἰσι τυγχάνειν.

δ'. Τούτους μὲν οὖν τούτων ἀξίους ὄντας, ἀπίστους ἡγεῖ- 1
σθε· ἐμὲ δὲ ἐκ τῶν προειργασμένων γνώσεσθε οὔτε τῶν
ᾗ προσηκόντων ὀρεγόμενον, ἀλλὰ τἀναντία τούτων πολ-
λὰς μὲν καὶ μεγάλας εἰσφορὰς εἰσφέροντα, πολλὰ δὲ
τριηραρχοῦντα, λαμπρῶς δὲ χορηγοῦντα, πολλοὺς δὲ
ἐρανίζοντα, μεγάλας δὲ ὑπὲρ πολλῶν ἐγγύας ἀποτίνον-
τα· τήν τε οὐσίαν οὐ δικαζόμενον, ἀλλ' ἐργαζόμενον κεκ-
τημένον. φιλοθύτην δὲ ᾗ νόμιμον ὄντα· τοιούτου δὲ ὄντος
μου μηδὲν ἀνόσιον, μηδὲ αἰσχρὸν καταγνῶτε· εἰ δὲ ὑπὸ 2
ζῶντος ἐδιωκόμην. ἐκ ἂν μόνον ὑπ' ἐμαυτοῦ ἀπελογέμην,
ἀλλ' αὐτόντε τοῦτον, ᾗ τοὺς τούτῳ μὲν βοηθοῦντας,
παρ' ἐμοῦ δὲ ὠφελεῖσθαι ζητοῦντας, ἐφ' οἷς κατηγορεῖται
μου, ἀπέδειξα ἂν ἀδικοῦντας.

ε'. Ταῦτα μὲν οὖν ἐπιεικέστερον παρήσω· δέομαι δ' ὑ- 1
μῶν, ὦ ἄνδρες, τῶν μεγίστων κριταὶ ᾗ κύριοι ἐλεήσαν-
τας τὴν ἀτυχίαν μου, ἰατροὺς γενέσθαι αὐτῆς· ᾗ μὴ 2
συνεπιβάντας τῇ τούτων ἐπιθέσει, περιϊδεῖν ἀδίκως ᾗ ἀ-
θέως διαφθαρέντα με ὑπ' αὐτῶν.

ΑΝΤΙΦΩΝΤΟΣ

ΕΚΚΑΤΗΓΟΡΙΑΣ ΟΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Τὰ εἰρημένα ὑπὸ τοῦ κατηγορουμένου λύει ἐνταῦθα· ὡς ἔτε ἄπιστος ἡ μαρτυρία τοῦ οἰκέτου· οὔτε ἀπίθανον ὄν, ἀλλὰ ᾗ ἔνδοξον ποιῆσαι τὸν φόνον, διακινδυνεύειν μέλλοντα ὑπ' αὐτοῦ

(2) Τοιούτου δὲ ὄντος μου] ὄτως ἔγραψα ἀντὶ τοῦ, τούτου ὄντος μου· (3) ἐφ' οἷς] διὰ ταῦτα ζητοῦνται χρηματίζεσθαι παρ' ἐμοῦ, ἐφ οἷς με κατηγοροῦσι.

τὴν ἐσίαν ἀπολέσαι· τὰς προτάσεις δὲ λύει κατὰ περιτροπήν· ἐκείνῳ γὰρ εἰπόντος, ὅτι ἀτυχής εἰμι, περιτρέπει, λέγων ὅτι ἡ ἀτυχία παρ' αὐτῷ ἀδικεῖται.

1 ά. Ἥτε ἀτυχία ἀδικεῖται ὑπ' αὐτοῦ, ἣν προϊσάμενος τῆς κακουργίας, ἀφανίσαι τὴν αὐτοῦ μιαρίαν ζητεῖ· ὑπό τε ὑμῶν οὐκ ἄξιος ἐλεεῖσθαί ἐσιν, ἀκούσιον μὲν τῷ παθόντι περιθεὶς τὴν συμφοράν, ἑκουσίως δὲ αὐτὸς εἰς κινδύνους κατα-
2 σὰς· ὡς μὲν ἓν ἀπέκτεινε τὸν ἄνδρα, ἐν τῷ προτέρῳ λόγῳ ἀπεδείξαμεν· ὡς δὲ οὐκ ὀρθῶς ἀπελογήθη, νῦν πειρασό-
3 μεθα ἐλέγχοντες. εἴτε γὰρ προσιόντας τινὰς ἰδόντες οἱ ἀποκτείναντες αὐτοὺς, ἀπολιπόντες ᾤχοντο, φεύγοντες πρότερον, ἢ ἀπέδυσαν, οἱ ἐντυχόντες ἂν αὐτοῖς, εἰ καὶ τὸν δεσπότην τεθνεῶτα εὗρον, τόν γε θεράποντα, ὃς ἔμπνους ἀρθεὶς ἐμαρτύρει, ἔτι ἔμφρονα εὑρόντες, σαφῶς ἀνακρί-
4 ναντες τοὺς ἐργασμένους, ἤγγειλαν ἂν ἡμῖν, καὶ οὐκ ἦτος τὴν αἰτίαν εἶχεν· εἴτε ἄλλοι τινὲς ἕτερόν τι κακουργοῦντες, ὀφθέντες ὑπ' αὐτοῦ, ἵνα μὴ γνωσθῶσι, διέφθειραν αὐτὸς, ἅμα τῷ τούτων φόνῳ τὸ κακούργημα ἂν ἐκηρύσσετο, καὶ εἰς τούτους ἂν ἡ ὑποψία ἦκεν· οἵτε ἧσσον κινδυνεύοντες τῶν μᾶλλον ἐν φόβῳ ὄντων, οὐκ οἶδ' ὅπως ἂν μᾶλλον
5 ἐπεβούλευσαν αὐτῷ· τοὺς μὲν γὰρ ὅ,τε φόβος, ἥτε ἀ-

(2) Νῦν πειρασόμεθα ἐλέγχοντες] ἤτοι γραπτέον, ἐλέγχειν· ἢ προσθετέον τι ἔτι οἷον, νῦν πειρασόμεθα ἀποδεῖξαι ἐλέγχοντες αὐτὸν ψευσάμενον· (3) αὐτοὺς] τὸν δεσπότην καὶ τὸν οἰκέτην· (3) οἱ ἐντυχόντες αὐτοῖς, ἀντὶ τοῦ, αὐτῷ ἔγραψα· ὅπερ ῥᾴσκης ἔτρεψεν εἰς τὸ, αὐτῶν, διαιρετικῶς ἀποδιδοὺς πρὸς τὰ ἑπόμενα· (4) οἵτε ἧσσον κινδυνεύοντες·] εἶτ' ἄλλοι τινὲς ἦσαν ἐπαπειλήσαντες γραφήσεσθαι ὑπ' ἐκείνῳ, ὃς ἐσι κίνδυνος ἧσσων τοῦ νῦν ἐπαπειλοῦντος τῷ φονεῖ τούτῳ; οὐκ οἶδ' ὅπως πρυέκριναν ἐπιβουλεύσαντες αὐτῷ, τὸ τῷ μείζονι τῶν κινδύνων περιπεσεῖν ἀντὶ τοῦ ἐλάσσονος· (5) τοὺς μὲν γὰρ] τοὺς κακουργοῦντας· ὁ δὲ Ῥᾴσκης ἐννοεῖ τοὺς μᾶλλον ἐν φόβῳ ὄντας· ἀλλ' εἰ τοῦτο ἦν, γραπτέον κατωτέρω, ἥ,τε ἀδικία οὐκ ἱκανὴ, προσθέντας δηλονότι τὴν ἄρνησιν.

δικία ἱκανὴ ἦν παῦσαι τῆς προθυμίας· τοῖς δὲ ὅ,τε κίνδυνος, ἥτε αἰσχύνη μείζων ἔσατῆς διαφορᾶς, εἰ καὶ διενοήθησαν ταῦτα πρᾶξαι, ἀρκοῦσα ἦν σωφρονίσαι τὸ θυμούμενον τῆς γνώμης.

β'. Οὐκ ὀρθῶς δὲ τὴν τοῦ ἀκολούθου μαρτυρίαν ἄπιστον 1
λέγουσιν εἶναι· οὐ γὰρ ἐπὶ ταῖς τοιαύταις μαρτυρίαις βασανίζονται, ἀλλ' ἐλεύθεροι ἀφίενται· ὁπόταν δὲ ἢ 2
κλέψαντες ἀπαρνῶνται, ἢ συγκρύπτωσι τοῖς δεσπόταις, τότε, βασανίζοντες ἀξιοῦμεν ἀληθῆ λέγειν αὐτούς· οὐδὲ μὴν ἀπογενέσθαι ἢ παραγενέσθαι εἰκότερον αὐτόν ἐσιν· εἰ γὰρ ἀπεγένετο, τὸν μὲν κίνδυνον οὐ τὸν αὐτὸν ἔμελ- 3
λε καὶ παρὼν κινδυνεύειν· πῶς γὰρ ἂν αὐτῶν ὁ λιφθεὶς τοῦτον ἂν τὸν ἐπιβουλεύσαντα ἤλεγχεν ὄντα; τὸ δ' ἔργον 4
ἧσσον πράσσειν, ἑδεὶς ὅσις τῶν παρόντων οὐκ ἂν ὀκνηρότερος εἰς τὴν πρᾶξιν ἦν.

γ'. Ὡς δ' οὐκ ἐλάσσω, ἀλλὰ πολὺ μείζω τὸν ἀπὸ 1
τῆς γραφῆς κίνδυνον, ἢ τόνδε, ἡγεῖτο εἶναι, διδάξω· τὸ μὲν γὰρ ἁλῶναι καὶ ἀποφυγεῖν ἀμφοτέρας τὰς διώξεις, ἐν ἴσαις ἐλπίσι θῶμεν αὐτῷ εἶναι· μὴ παραχθῆναι δὲ τὴν γραφὴν, οὐδεμίαν ἐλίδα γ' εἶχε τούτου ζῶντος· οὐ 2
γὰρ ἂν ἐπείθετο αὐτῷ· εἰς δὲ τὸν κίνδυνον ἤξειν οὐκ ἤλπισε· λήσειν γὰρ ἐδόκει ἀποκτείνας αὐτόν· ἀξιῶν δὲ, διὰ τὸ φανερὰν εἶναι τὴν ὑποψίαν αὐτῷ, μὴ καταδοκεῖ-

(3) Πῶς γὰρ ἂν ὁ ληφθεὶς αὐτῶν] αὐτῶν τῶν φονέων. καί τοι ἀνωτέρω ἀδέπω εἶπεν, ὅτι ἐλήφθη τις τῶν φονευσάντων· (4) τὸ δὲ ἔργον ἧσσον πράσσειν] τῶν παρόντων φονέων πάντως ἀτολμότερον τοῦ νῦν κρινομένου ἦν εἰς τὸ πράσσειν τὸ ἔργον· ὅ ἐσι, πάντες οἱ ἄλλοι ἧσσον ἂν ἐτόλμησαν, ἢ αὐτός.

(1) Τὸ μὲν γὰρ ἁλῶναι] προσέθηκα τὸ Γὰρ. (1) μὴ παραχθῆναι τὴν γραφὴν] μὴ ἀχθῆναι εἰς δικαστήριον· ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται, παραχρῆναι· (2) οὐ γὰρ ἂν ἐπείθετο αὐτῷ] δεομένῳ ἀφεθῆναι· (3) ἑδεὶς γὰρ ἂν ἐπεβούλευσεν] εἰ ἱκανὴ ἦν δηλονότι ἡ ὑποψία ἀποτρέψαι αὐτοὺς τῆς ἐπιθέσεως· ἄμεινον δὲν ἦν γράφειν ἄνωθεν αὐτούς· εἰ γὰρ τοῦτο — ἱκανὴ ἦν ὑποψία ἀποτρέ-

3 σθαι ὑφ ὑμῶν, οὐκ ὀρθῶς ἀξιοῖ· ὃ γὰρ τοῦτον ἐν τοῖς μεγίστοις κινδύνοις ὄντα ἱκανὴ ἦν ὑποψία ἀποσρέψαι τῆς ἐπιθέσεως· ὃδεὶς γὰρ ἐπεβάλευσεν αὐτῷ· πῶς γὰρ ἄν τις τῶν ἧσσον κινδυνευόντων, ὑποψίαν μᾶλλον τῷ κινδύνῳ φοβέμενος, ἧσσον ἢ ἕτος ἡγεῖτο αὐτῷ· αἱ δ' εἰσφοραὶ ϗ χορηγίαι, ἱκανὸν μὲν εὐδαιμονίας σημεῖόν ἐσι, τῷ δὲ μὴ
4 ἀποκτεῖναι, τἀναντία· περὶ γὰρ αὐτῆς τῆς εὐδαιμονίας τρέμων μὴ ἀποσερηθῇ, εἰκότως μὲν, ἀνοσίως δὲ ἀπέκτεινε τὸν ἄνδρα.

1 δ'. Φάσκων δὲ ὃ τὲς εἰκότως, ἀλλὰ τὲς ὄντως ἀποκτείναντας φονέας εἶναι, περὶ μὲν τῶν ἀποκτεινάντων ὀρθῶς λέγει, εἴπερ ἐγένετο φανερὸν ἡμῖν τίνες ἦσαν οἱ
2 ἀποκτείναντες αὐτόν· μὴ δεληλωμένων δὲ τῶν ἀποκτεινάντων, ὑπὸ τῶν εἰκότων ἐλεγχόμενος, ἕτος ἂν, ϗ ὃδεὶς ἕτερος, ἀποκτείνας αὐτὸν εἴη· ὃ γὰρ ἐπὶ μαρτύρων,
3 ἀλλὰ κρυπτόμενα πράσσεται ταῦτα· ἕτω δὲ φανερῶς ἐκ τῆς αὐτῷ ἀπολογίας ἐλεγχθεὶς διαφθείρας αὐτὸν, ὃδὲν ἕτερον ὑμῶν δεῖται, ἢ τὴν αὐτῷ μιαρίαν εἰς ὑμᾶς αὐτὲς
4 ἐκτρέψαι· ἡμεῖς δὲ ὑμῶν δεόμεθα μὲν ὃδὲν, λέγομεν δ' ὑμῖν, εἰ μήτε ἐκ τῶν εἰκότων, μήτε ἐκ τῶν μαρτυρμένων ἕτος νῦν ἐλέγχεται, οὐκ ἔσιν ἔτι τῶν δοκμένων ἔ-
5 λεγχος ὃδείς· ἀδίκως δ' ἀπολυομένε τέτε ὑφ' ὑμῶν, ἡμῖν προστρόπαιος ὁ ἀποθανὼν ὃκ ἔσαι, ὑμῖν δὲ ἐνθύμιος
6 γενήσεται· σαφῆ μὲν ἕν τὸν θάνατον γινώσκοντες, φανερῶς δὲ τὰ ἴχνη τῆς ὑποψίας εἰς τῦτον φέροντα, πισῶς

ψαι τῆς ἐπιθέσεως, ὃδείς γ' ἂν ἐπεβάλευσεν αὐτῷ. (3) πῶς γὰρ ἄντις] πας, ἀντὶ τε, πῶς, δεῖν γράφειν εἰκάζει Γείσκης· ϗ εἰκότως· εἰ δὲ μὴ, ἐρωτηματικῶς σικτέον μετὸν τὸ αὐτῷ· (3) ἧσσον ἡγεῖτο αὐτῷ] ἐπιθετέον εἶναι, αὐτῷ· ἢ τοιῦτότι· (3) αἱ δὲ εἰσφοραὶ ϗ χορηγίαι· ἐβάλετο γὰρ εἰσφέρειν τῇ πόλει ϗ χορηγεῖν, ϗ ἐντεῦθεν εὐδαίμων νομίζεθαι, ἀποφυγὼν τὴν γραφήν· ἢ ἀλλὰς, ὑσίας ἐκτῆναι, ϗ ἕτω πτωχεύειν ἐπὶ ξενίας· ὅπερ προσεδόκα πείσεθαι, εἰ ἀποκτείναι· (5) ἐνθύμιος] δῆλον ὅτι ταὐτοὶ τῷ προσραπαῖος, οἷον ὑπὸ φῆ συνειδήσει μένων ἀνεξάλειπτος.

δὲ τε ἀκολέθε μαρτυρέντος, πῶς ἂν δικαίως ἀπολύοιτε αὐτόν;

1 ε. Ταῦτα ἓν εἰδότες βοηθεῖτε μὲν τῷ ἀποθανόντι, τιμωρεῖσθε δὲ τὸν ἀποκτείναντα· ἀγνεύετε δὲ τὴν πόλιν· 2 τρία γὰρ ἀγαθὰ πράξετε· ἐλάσσες μὲν τὲς ἐπιβελεύοντας κατασήσετε, πλείες δὲ τὲς τὴν εὐσέβειαν ἐπιτηδεύοντας· ἀπολύεσθε δ' αὐτοὶ τῆς ὑπὲρ τέτε μιαρίας.

ΑΝΤΙΦΩΝΤΟΣ

ΕΞΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ιδὲ (φησὶν) ἐγὼ ϗ ἡ ἀτυχία με· δεικτικῶς δὲ λέγει ἑαυτὸν αἰνιττόμενος· ἕτος (φησὶν) ἐγὼ παραδίδωμι ἐμαυτὸν ϗ τῇ ἀτυχίᾳ με ϗ τῇ τέτων κακεργίᾳ· τεκμήριον δὲ τε μὴ πεποιηκέναι τίθησιν ὁ ἀπολογέμενος τὸ μηδαμῦ προελθεῖν ἐκείνης τῆς νυκτὸς, ϗ περὶ τέτε πάντας τὲς παῖδας εἰς βάσανον παραδίδωσιν.

1 ά. Ιδὲ ἐγὼ τῇτε ἀτυχίᾳ, ἣν ὃ δικαίως αἰτιῶμαι ὡς ἕτοί φασιν, ἐκὼν ἐμαυτὸν ἐγχειρίζω, τῇτε τέτων ἔχθρᾳ, δεδιὼς μὲν τὸ μέγεθος τῆς διαβολῆς αὐτῶν, πισεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ, τῇτε ἀληθείᾳ τῶν ἐξ ἐμῦ πραχθέντων· ἀποσερέμενος δὲ ὑπ' αὐτῶν μηδὲ τὰς 2 παρέσας ἀτυχίας ἀνακλαύσασθαι πρὸς ὑμᾶς, ἀπορῶ εἰς ἥντινα ἄλλην σωτηρίαν χρή με καταφυγεῖν· καινότατα 3 γὰρ (εἰ χρὴ καινότατα μᾶλλον ἢ κακεργότατα εἰπεῖν) διαβάλλεσί με· κατήγοροι γὰρ ϗ τιμωροὶ φόνε προσποιέμενοι εἶναι, ὑπεραπολογέμενοι τῆς ὑποψίας πάσης τῆς

(2) ἀπολύεσθε δὲ αὐτοὶ·] ἀπολύεσθε δὲ αὐτοὶ τῆς ὑπὲρ τέτε σωθέντος ὑμῖν προσριβησομένης μιαρίας.
(1) Ὡς ἕτοί φασι] ὡς δῆθεν δικαίως αἰτιῶμαι.

ἀληθῆς, διὰ τὴν ἀπορίαν τῆ ἀποκτείναντος αὐτὸν, ἐμὲ
4 φονέα φασὶν εἶναι· δρῶντες δὲ τἀναντία, ὧν προστέτακται
αὐτοῖς, φανερὸν ὅτι ἀδίκως ἐμὲ μᾶλλον ἀποκτείναι ζητῆ-
5 σιν, ἢ τὸν φονέα τιμωρεῖσθαι· ἐμὲ δὲ προσῆκεν ἑδὲν ἄλ-
λο ἢ πρὸς τὴν μαρτυρίαν τῆ ἀκολέθε ἀπολογηθῆναι· ἐ
γὰρ μηνυτὴς, ἑδὲ ἐλεγκτὴς τῶν ἀποκτεινάντων εἰμὶ, ἀλ-
λὰ διωκόμενος ἀποκρίνομαι· ὅμως δὲ περιεργαστέον, ἵνα
ἐκ παντὸς τρόπε τέτες τε ἐπιβελεύοντάς μοι, ἐμαυτόν τε
ἀπολυόμενον ἐπιδείξω τῆς ὑποψίας.

1 β'. Τὴν μὲν ἓν ἀτυχίαν· ἣ με διαβάλλεσιν, εἰς εὐ-
τυχίαν αἰτῆμαι μετασῆναι· ἀξιῶ δ' ὑμᾶς ἀπολύσαντάς με
2 μακαρίσαι μᾶλλον, ἢ καταλαβόντας ἐλεῆσαι· φασὶ δὲ
τῶν μὲν ἐντυχόντων παιομένοις αὐτοῖς ἑδένα ὄντινα ἐκ εἰ-
κότερον εἶναι, σαφῶς πυθόμενον τὲς διαφθείραντας αὐ-
3 τὲς εἰς οἶκον ἀγγεῖλαι, ἢ ἀπολιπόντας οἴχεσθαι· ἐγὼ
δὲ ἑδένα ἕτω θερμὸν ἐ ἀνδρεῖον ἄνθρωπον εἶναι δοκῶ,
ὄντινα ἐκ ἂν ἀωρὶ τῆς νυκτὸς νεκροῖς ἀσπαίρεσι συντυ-
χόντα, πάλιν ὑποσρέψαντα φεύγειν μᾶλλον, ἢ πυνθα-
4 νόμενον τὲς κακέργες, τῆς ψυχῆς κινδυνεῦσαι· τέτων
δὲ μᾶλλον ἃ εἰκὸς ἦν δρασάντων, οἱ μὲν ἐπὶ τοῖς ἱμα-
τίοις διαφθείραντες αὐτὲς, ἐκ ἂν ἔτι εἰκότως ἀφίοιντο·
5 ἐγὼ δὲ ἀπήλλαγμαι τῆς ὑποψίας· εἰ δὲ ἐκηρύσσοντο,

(4) δρῶντες δὲ τἀναντία, ὧν προσέτακται αὐτοῖς.] προσέτακται γὰρ αὐτοῖς ἀποδεῖξαι τὲς ἐργασαμένες τὸν φόνον ἐ παραδῆναι τέτον τοῖς δικασαῖς· ἕτοι δὲ τἀναντίον δοκῆσι ποιεῖν, ὑπεραπολογέμενοι μὲν τῶν ὑπόπτων, εἰς ἐμὲ δὲ μεταφέροντες τὴν αἰτίαν. (5) προσῆκεν ἑδὲν ἄλλο] ἐγὼ μὲν ἓν ἑδὲν ἄλλο ὤφειλον ἀπολογηθῆναι, ἢ πρὸς μόνην τὴν μαρτυρίαν τῆ ἀκολέθε (τί γάρ μοι μέλει μηνύσαι τὲς δράσαντας, ἐν ᾧ διώκομαι, ἀλλ' ἃ διώκω τινάς;) ὅμως λεκτέον ἐ πλέονι, ὧν μοι προσῆκε, ἵνα ἐ τὴν ἐπιβελὴν αὐτῶν ἴδητε, ἐ ἐμὲ ἀπολύητε.

(1) Ἧ με διαβάλλεσι] ἐν ᾗ, καθ' ἣν· ἄμεινον δ' ἦν γράφειν, ἥν· διαβάλλεσι γὰρ ἐμὲ, ὡς ἐκ εἰμὶ ἀτυχὴς· ἀλλ' ἡ ἀτυχία ἀδικεῖται ὑπ' ἐμῦ. (3) τῆς ψυχῆς κινδυνεῦσαι] κίνδυνος γὰρ ἦν ἐν νυκτὶ περαιτέρω ζητεῖν τὲς κακέργες τε· ἀναφέρονται δὲ ταῦτα πάντα εἰς τὸν δεύτερον τῆς κατηγο-

ἢ μὴ, ἄλλοι τινὲς κακῆργοι ἅμα τῷ τέτων φόνῳ, τίς οἶ-
δεν; ἐδενὶ γὰρ ἐπιμελὲς ἦν σκοπεῖν ταῦτα· ἀφανῆς δὲ 6
ὄντος τῆ κηρύγματος, ἐδὲ ὑπὸ τέτων τῶν κακέργων
ἄπιστον διαφθαρῆναι αὐτόν· τῆ δὲ θεράποντος πῶς χρὴ
πιστοτέραν τὴν μαρτυρίαν ἢ τῶν ἐλευθέρων ἡγεῖσθαι; οἳ 7
μὲν γὰρ ἀτιμῶνταί τε, ᾗ χρήμασι ζημιῦνται, ἐὰν μὴ
τἀληθῆ δοκῶσι μαρτυρῆσαι· ὁ δὲ ἐκ ἔλεγχον παρασ-
χὼν οὐδὲ βάσανον, οὐ δίκην δώσει, εἴ τις ἔλεγχος ἔσαι·
ἀκινδύνως τε ἔτός γε μέλλων μαρτυρεῖν, ἐδὲν θαυμασὸν
ἔπαθεν, εἰ ὑπὸ τῶν κυρίων, ἐχθρῶν μοι ὄντων, πειθεὶς,
καταψεύδεταί με· ἐγώ τε ἀνόσι ἂν πάχοιμι, εἰ, μὴ πι- 8
σῶς καταμαρτυρηθεὶς, διαφθαρείην ὑφ' ὑμῶν· μὴ παρα-
γενέσθαι δέ με τῷ φόνῳ ἀπιστότερον ἢ παραγενέσθαι
φασὶν εἶναι· ἐγὼ δ' ἐκ ἐκ τῶν εἰκότων, ἀλλ' ἔργῳ δηλώ- 9
σω οὐ παραγενόμενος.

γ'. Ὁπόσοι γὰρ δῆλοι ἢ δοῦλάι μοι εἰσὶ, πάντας πα- 1
ραδίδωμι βασανίσαι· ᾗ ἐὰν μὴ φανῶ ταύτῃ τῇ νυκτὶ ἐν
οἴκῳ καθεύδων, ἢ ἐξελθών ποι, ὁμολογῶ φονεὺς εἶναι·
ἡδὲ νὺξ οἰκ ἄσημος· τοῖς γὰρ Διϊπολίοις ὁ ἀνὴρ ἀπέθα- 2
νε· περὶ δὲ τῆς εὐδαιμονίας, ἧς ἕνεκα τρέμοντά με φασὶν
εἰκότως ἀποκτεῖναι αὐτὸν, πολὺ τἀναντία ἐσί· τοῖς γὰρ
ἀτυχοῦσι νεωτερίζειν συμφέρει· ἐκ γὰρ τῶν μεταβολῶν
ἐπίδοξος ἡ δυσπαργία μεταβάλλειν αὐτοῖς ἐσί· τοῖς δ' ευ-
τυχῆσιν, ἀτρεμίζειν ᾗ φυλάττειν τὴν παῆσαν εὐπρα-
γίαν· μεθισαμένων γὰρ τῶν πραγμάτων, δυσχεῖς ἐξ 3

ρίας· ἀ, 4. (7) εἴτις ἔλεγχος ἔσαι] εἴτις ἐξελεγχθεὶς ποιήσας τὸν φόνον, ὁ καταμαρτυρήσας ἐμᾶ ἀκολέθος ἃ δώσει δίκην, ἐφ' οἷς μ' κατεψεύσατο, ἀποθανὼν ἤδη.

(2) ἐν τοῖς Διϊπολίοις] ἑορτάτις, ὡς Ἁρποκρατίων φησὶν, Ἀθήνησιν ἦν τὰ Διίπολια, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ τᾶ χορευτᾶ· (2) περὶ δὲ τῆς εὐδαιμονίας] ἵνα μὴ τὴν ὁσίαν ἐν τῇ γραφῇ ἀπολέσω· (2) αὐτοῖς ἐσι] ἅτως ἔτρεψα τὸ αὐτῶν, εἰς τὸ, αὐτοῖς, ἵν' ᾖ, ἐκ γὰρ τῶν μεταβολῶν ἐλπίζεται

εὐτυχέντων καθίσανται. ἐκ δὲ τῶν εἰκότων προσποιέμενοί με ἐλέγχειν, οὐκ εἰκότως, ἀλλ' ὄντως φονέα μέ φασι τοῦ ἀνδρὸς εἶναι. τὰ δὲ οἰκότα ἄλλα πρὸς ἐμοῦ μᾶλλον ἀ-
4 ποδέδεικται. ὅ,τε γὰρ καταμαρτυρῶν μου ἄπιστος ἐλήλεγκται ὤν· ὅτε ἔλεγχος οὐκ ἔστι· τότε τεκμήρια, ἐμὰ, οὐ
5 τότου, ὄντα ἐδήλωσα· τότε ἴσχυε τοῦ φόνου οὐκ εἰς ἐμὲ φέροντα, ἀλλ' εἰς τοὺς ἀπολυομένους, ἀποδέδεικται ὑπ' αὐτῶν. πάντων δὲ τῶν κατηγορηθέντων ἀπίστων ἐλεγχθέντων, οὐκ, ἐὰν ἀποφύγω, οὐκ ἔστιν ἐξ ὧν ἐλεγχθήσονται οἱ κακουργοῦντες· ἀλλ', ἐὰν ἐλεγχθῶ, ὀδεμία ἀπολογία τοῖς διωκομένοις ἀρκέσαι ἔστιν.

1 δ'. Οὕτω δὲ ἀδίκως διώκοντές με, αὐτοὶ μὲν ἀνοσίως ἀποκτεῖναι ζητοῦντες, καθαροὶ φασὶν εἶναι· ἐμὲ δὲ, ὃς
2 εὐσεβεῖν ὑμᾶς πείθω, ἀνόσια δρᾶν λέγουσιν. ἐγὼ δὲ καθαρὸς ὢν πάντων τῶν ἐγκλημάτων, ὑπὲρ ἐμαυτοῦ ἐπισκήπτω, αἰδεῖσθαι τὴν τῶν μηδὲν ἀδικούντων εὐσέβειαν. ὑπὲρ δὲ τοῦ ἀποθανόντος, ἀναμιμνήσκων τὴν ποινὴν, παραινῶ ὑμῖν μὴ, τὸν ἀναίτιον καταλαβόντας, τὸν αἴτιον
3 ἀφεῖναι. ἀποθανόντος γὰρ ἐμοῦ, οὐδεὶς ἔτι τὸν αἴτιον ζητήσει. ταῦτα οὖν σεβόμενοι, ὁσίως καὶ δικαίως ἀπολύετέ με· καὶ μὴ, μετανοήσαντες, τὴν ἁμαρτίαν γνῶτε. ἀνίατος γὰρ ἡ μετάνοια τῶν τοιούτων ἐστίν.

αὐτοῖς μεταβαλεῖν εἰς εὐτυχίαν· (4) ὅ,τε ἔλεγχος οὐκ ἔστι] οὐ γὰρ ζῇ ὁ οἰκέτης ὥστε βασανίσαι καὶ λαμβεῖν τὸν ἔλεγχον, εἰ ἀληθῆ μεμαρτύρηκε· (5) οὐκ, ἐὰν ἀποφύγω] ἐὰν ἐγὼ ἀποφύγω νῦν, τοῦτο οὐ συναναιρεῖ καὶ τὸ ἐξελεγχειν τοὺς κακουργοῦντας· ἀλλ' ἐὰν καταδικασθῶ, οὐδεὶς τῶν διωκομένων ἀδίκως ἀπολογηθήσεται· τοιοῦτοι ἡ μὲν ἐμὴ ἀθώωσις οὐκ ὠφελήσει τοῦ λοιποῦ τοὺς κακούργους· ἡ δὲ ἐμὴ καταδίκη ἀναιρεῖ τὴν ἀπολογίαν τῶν ἀδικουμένων· εἰ γὰρ μὴ σωθῶ ἐγὼ, οὐδεὶς δύναται σωθῆναι.

(2) Τὴν ποινὴν] τὴν θείαν ἐκδίκησιν, τιμωρίαν, μέχρις οὗ τιμωρηθῇ ὁ δράσας τὸν φόνον.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΕΞΗΣ ΤΕΤΡΑΛΟΓΙΑΣ.

Δύο παῖδες ἐν γυμνασίοις ἠκόντιζον. συνέβη δὲ τὸν μὲν ἐντέχνως ἀφεῖναι τὸ βέλος. τὸν δ' ἕτερον ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου δραμόντα, πληγῆναι. τελευτήσαντος τοῦ παιδὸς, ὁ τούτου πατὴρ κατηγορεῖ τοῦ βαλόντος ὡς ἀνδροφόνου. ὁ δὲ μετατίθησι τὴν αἰτίαν τῆς πληγῆς ἐπὶ τὸν δραμόντα. ὅθεν οἱ μὲν ἀντέγκλημα, τὴν φάσιν· οἱ δὲ, μετάφασιν λέγουσιν.

ΑΝΤΙΦΩΝΤΟΣ

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

Τὰ μὲν ὁμολογούμενα τῶν πραγμάτων ὑπό τε τοῦ 1
νόμου κατακέκριται, ὑπό τε τῶν ψηφισαμένων, οἳ κύριοι πάσης τῆς πολιτείας εἰσίν· ἐὰν δέ τι ἀμφισβητήσιμον ᾖ, τοῦτο ὑμῖν, ὦ ἄνδρες πολῖται, προσέτακται διαγνῶναι. οἶμαι μὲν οὖν οὐδὲ ἀμφισβητήσειν πρὸς ἐμὲ τὸν διωκόμε- 2
νον. ὁ γὰρ παῖς μου ἐν γυμνασίῳ ἀκοντιωθεὶς διὰ τῶν πλευρῶν ὑπὸ τούτου τοῦ μειρακίου, παραχρῆμα ἀπέθανεν. ἑκόντα μὲν οὖν οὐκ ἐπικαλῶ ἀποκτεῖναι, ἄκοντα δέ. ἐμοὶ δὲ 3
οὐκ ἐλάσσω τοῦ ἑκόντος ἄκων τὴν συμφορὰν κατέσησε. τῷ δὲ ἀποθανόντι, αὐτῷ μὲν ἐνθύμιον, τοῖς δὲ ζῶσι προσέθηκε. ὑμᾶς δὲ ἀξιῶ ἐλεοῦντας μὲν τὴν ἀπαιδίαν τῶν 4
γονέων, οἰκτείροντας δὲ τὴν ἄωρον τοῦ ἀποθανόντος τελευτὴν, εἴργοντας οὗ ὁ νόμος εἴργει τὸν ἀποκτείναντα, μὴ περιορᾶν ἅπασαν τὴν πόλιν ὑπὸ τούτου μιαινομένην.

(3) Τῷ δὲ ἀποθανόντι, αὐτῷ μὲν ἐνθύμιον, τοῖς δὲ ζῶσι προσέθηκε] διέφθαρται λαμπρῶς τὸ χωρίον· ὁ Reiskius ἐπειράσατο συνάψαι ὧδέπως· τῷ μὲν ἀποθανόντι τελευτὴν ἄωρον, ἑαυτῷ δὲ ἐνθύμιον, τοῖς δὲ ζῶσι μῦσος προσέθηκε.

ΑΝΤΙΦΩΝΤΟΣ

ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ τῦ ἀκοντίσαντος πατὴρ ἑαυτῷ φησὶν αἴτιον γενέσθαι τὸν ἀποθανόντα τῦ φόνυ. φερομένυ γὰρ τῦ ἀκοντίυ ὑπέδραμεν ὑπὸ τὸν σκοπόν. ὅθεν ἂν αὐτὸν ἑαυτῦ φονέα νομίζεσθαι. ἔστι δ' ἡ στάσις, μετάστασις, ἢ συγγνώμης, ὥς τινες ἐνόμιζον.

1 ά. Νῦν δὴ φανερόν μοι, ὅτι αὐταὶ αἱ συμφοραὶ ἢ χρεῖαι τές τε ἀπράγμονας εἰς ἀγῶνας, τές τε ἡσυχίυς τολμᾶν τάτε ἄλλα παρὰ φύσιν λέγειν ἢ δρᾶν βιάζονται. 2 ἐγὼ γὰρ ἥκιστα τοιῦτος ὢν, ἢ βυλόμενος εἶναι, εἰ μὴ πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην, παρὰ τὸν ἄλλον τρόπον, ὑπὲρ πραγμάτων ἀπολογεῖσθαι, ὧν ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρίβειαν ἔγνων, ἔτι δὲ ἀπορωτέρως διάκειμαι, ὡς χρὴ ὑμῖν ἑρμηνεῦσαι 3 ταῦτα. ὑπὸ δὲ σκληρᾶς ἀνάγκης βιαζόμενος, ἢ αὐτὸς εἰς τὸν ὑμέτερον ἔλεον, ὦ ἄνδρες δικασταὶ, καταπεφευγὼς, δέομαι ὑμῶν, ἐὰν ἀκριβέστερον, ἢ ὡς σύνηθες, ὑμῖν δόξω εἰπεῖν, μὴ, διὰ τὰς προειρημένας τύχας ἀποδεξαμένες με τὴν ἀπολογίαν, δόξῃ, ἢ μὴ ἀληθείᾳ, 4 τὴν κρίσιν ποιήσασθαι. ἡ μὲν γὰρ δόξα τῶν πραχθέντων, πρὸς τῶν λέγειν δυναμένων ἐστίν· ἡ δὲ ἀλήθεια, πρὸς τῶν δίκαια ἢ ὅσια πρασσόντων.

1 β'. Ἐδόκει μὲν ἓν ἔγωγε ταῦτα παιδεύων τὸν υἱὸν, ἐξ ὧν μάλιστα τὸ κοινὸν ὠφελεῖται, ἀμφοῖν τε ἡμῖν ἀγα-

(2) Ἐγὼ δὲ ἥκιστα ὢν τοιῦτος ἢ βυλόμενος εἶναι] ἐγὼ δὲ οὐδ' ὢν, οὐδὲ βυλόμενος εἶναι τοιῦτος πολυπράγμων ἐν δίκαις· (2) εἰ μὴ πολύ γε ἔψευσμαι] τῦτο δέ ἐστιν, ὡς ἐμαυτὸν πείθω, κατὰ τὴν ἐμὴν γνώμην, εἰ μὴ τῆς ἀληθείας ἀπολέλειμμαι.

(1) Ἀμφοῖν τε ἡμῖν] ἐμοί τε ἢ τῷ παιδί.

θὸν ἔμελλεν ἀποβήσεσθαι· συμβέβηκε δὲ πολὺ παρὰ γνώμην τέτων. τὸ γὰρ μειράκιον ἐχ ὕβρει, οὐδὲ ἀκολασίᾳ, ἀλλὰ μελετῶν μετὰ τῶν ἡλίκων ἀκοντίζειν ἐπὶ τῷ γυμνασίῳ, ἔβαλε μὲν, οὐκ ἀπέκτεινε δὲ οὐδένα, κατά γε τὴν ἀλήθειαν ὧν ἔπραξεν· ἄλλῃ δ' εἰς αὐτὸν ἁμαρτόντος εἰς ἀκυσίας αἰτίας ἦλθεν. εἰ μὲν γὰρ τὸ ἀκόντιον ἔξω τῶν ὅρων τῆς αὐτῦ πορείας ἐπὶ τὸν παῖδα ἐξενεχθὲν ἔτρωσεν αὐτὸν, οὐδεὶς ἡμῖν λόγος ὑπελείπετο μὴ φονέας εἶναι· τῦ δὲ παιδὸς ὑπὸ τὴν τῦ ἀκοντίυ φορὰν ὑποδραμόντος, ἢ τὸ σῶμα προσήσαντος τῷ σκοπῷ τυχεῖν, ὁ δὲ ὑπὸ τὸ ἀκόντιον ἐλθὼν ἐβλήθη, ἢ τὴν αἰτίαν ἐχ ἡμετέραν ἔσαν προσέβαλεν ἡμῖν· διὰ δὲ τὴν ὑποδρομὴν βληθέντος τῦ παιδὸς, τὸ μὲν μειράκιον ἐ δικαίως ἐπικαλεῖται (οὐδένα γὰρ ἔβαλε τῶν ἀπὸ σκοπῦ ἀφεσώτων) ὁ δὲ παῖς, εἴπερ ἐξὼς φανερὸς ὑμῖν ἐστι μὴ βληθεὶς, ἀκυσίως ὑπὸ τὴν φορὰν τῦ ἀκοντίυ ὑπελθὼν, ἔτι σαφεστέρως δηλῦται διὰ τὴν αὐτῦ ἁμαρτίαν ἀποθανών. ἐ γὰρ ἂν ἐβλήθη, ἀτρεμίζων ἢ μὴ διατρέχων. ἀκυσίᾳ δὲ τῦ φόνυ ἐξ ἀμφοῖν ἡμῖν ὁμολογυμένυ γενέσθαι, ἐκ τῆς ἁμαρτίας ὁποτέρυ αὐτῶν ἐστιν; ἔτι δὲ σαφέστερον ὁ φονεὺς ἐλεγχθείη· οἵτε γὰρ ἁφαμαρτάνοντες ὧν ἂν ἐπινοήσωσίτι δρᾶσαι, ἕτοι πράκτορες τῶν ἀκυσίων εἰσίν· οἱ δὲ ἑκυσίόντι δρῶντες ἢ πάσχοντες, ἕτοι τῶν παθημάτων αἴτιοι γίγνονται.

γ'. Τὸ μὲν τοίνυν μειράκιον περὶ οὐδένα ἥμαρτεν οὐδέν. 1

(4) ὁ δὲ — ἐβλήθη] εἰ μὴ ἐλλείπει ἢ ἕτερόντι, διωρθωτέον ἂν εἴη ταῦθ' ἅτωσί· ὁ δὲ παῖς — ὑποδραμὼν, ἢ τὸ σῶμα προσήσας τῷ τυχεῖν τῷ σκοπῷ, ὑπό τε τὸ ἀκόντιον ἐλθὼν, ἐβλήθη· (5) ἐπικαλεῖται] ἐγκαλεῖται· (5) ἀπὸ σκοπῦ] πόρρω τῦ σκοπῦ· (5) φανερὸς ὑμῖν ἐστι μὴ βληθεὶς] εἴπερ ὑμῖν δοκεῖ, ὅτι οὐκ ἂν ἐβλήθη ὁ παῖς, εἰ ἔμενε κατὰ χώραν, ἐκ τῦτο φανερώτερον, ὅτι ἁμαρτὼν αὐτὸς ἀπέθανεν, ὑπελθὼν τὰ ἀκόντιον· (6) ἐξ ἀμφοῖν] τῦτε μειρακίυ ἢ τῦ παιδός· (6) ἐκ τῆς ἁμαρτίας ὁποτέρυ] ποτέρῳ τοῖν δυοῖν ἀποδῶμεν τὴν ἁμαρτίαν;

ὅτε γὰρ ἀπειρημένον, ἀλλὰ προσεταγμένον ἐξεμελέτα· ὅτε ἐν γυμναζομένοις, ἀλλ' ἐν τῇ τῶν ἀκοντιζόντων τάξει ἠκόντιζεν· ὅτε τῷ σκοπῷ ἁμαρτὼν, εἰς τὸς ἀφεστῶτας ἀκοντίσας, τῷ παιδὸς ἔτυχεν, ἀλλὰ πάντα ὀρθῶς, ὡς ἐπενόει, δρῶν, ἔδρασε μὲν οὐδὲν ἀκέσιον, ἔπαθε δὲ, 2 διακωλυθεὶς τῷ σκοπῷ τυχεῖν. ὁ δὲ παῖς, βουλόμενος προδραμεῖν, τῷ χώρῳ διαμαρτὼν, ἐν ᾧ διατρέχων ἂν 3 ἂν ἐπλήγη, περιέπεσεν οἷς οὐκ ἤθελεν· ἀκουσίως δὲ ἁμαρτὼν εἰς ἑαυτὸν, οἰκείαις συμφοραῖς κέχρηται. τῆς δ' ἁμαρτίας τετιμωρημένος ἑαυτὸν, ἔχει τὴν δίκην· οὐ συνηδομένων μὲν, οὐδὲ συνευθελόντων ἡμῶν, συναλγούντων δὲ καὶ συλλυπουμένων. τῆς δὲ ἁμαρτίας εἰς τοῦτο ἡκούσης, 4 τὸ ἔργον οὐχ ἡμέτερον, ἀλλὰ τοῦ ἐξαμαρτόντος ἐστί. τό, τε πάθος εἰς τὸν δράσαντα ἐλθὸν, ἡμᾶς μὲν ἀπολύει τῆς αἰτίας· τὸν δὲ δράσαντα, δικαίως ἅμα τῇ ἁμαρτίᾳ τετιμώρηται.

1 δ'. Ἀπολύει δὲ καὶ ὁ νόμος ἡμᾶς, ᾧ πιστεύομεν, ἐργοντι μήτε ἀδίκως μήτε δικαίως ἀποκτείνειν, ὡς φονέα 2 με διώκει. ὑπὸ μὲν γὰρ αὐτοῦ τοῦ τεθνεῶτος ἁμαρτίας ὅδε ἀπολύεται, μηδὲ ἀκουσίως ἀποκτεῖναι αὐτόν· ὑπὸ δὲ τοῦ διώκοντος οὐδ' ἐπικαλούμενος ὡς ἑκὼν ἀπέκτεινεν, ἀμφοῖν ἀπολύεται τοῖν ἐγκλημάτοιν, μήτ' ἄκων μήθ' ἑκὼν ἀποκτεῖναι. ἀπολυόμενος δὲ ὑπότε τῆς ἀληθείας τοῦ 3 νόμου, ὑπότε τῶν πραχθέντων, καθ' ὃν διώκεται, οὐδὲ τῶν ἐπιτηδευμάτων ἕνεκα δίκαιοι τοιούτων κακῶν ἀξιοῦσθαι 4 ἐσμέν. ἔτός τε γὰρ ἀνόσια πείσεται, τὰς οὐ προσηκούσας φέρων ἁμαρτίας, ἐγώτε, μᾶλλον μὲν οὐδὲν, ὁμοίως δὲ τούτῳ ἀναμάρτητος ὤν, εἰς πολλαπλασίας τούτου συμφο- 5 ρὰς ἥξω. ἐπίτε γὰρ τῇ τούτου διαφθορᾷ ἀβίωτον τὸ λειπόμενον τοῦ βίου διάξω, ἐπίτε τῇ ἐμαυτοῦ ἀπαιδίᾳ ζῶν ἔτι κατορυχθήσομαι.

ε. Ἐλεοῦντες οὖν τοῦδε μὲν τοῦ νηπίου τὴν ἀναμάρτητον 1 συμφορὰν, ἐμοῦ δὲ τοῦ γηραιοῦ καὶ ἀθλίου τὴν ἀπροσδόκητον κακοπάθειαν, μὴ, καταψηφισάμενοι, δυσμόρους ἡμᾶς κατασήσητε, ἀλλ' ἀπολύοντες εὐσεβεῖτε. ὅτε γὰρ 2 ἀποθανὼν συμφοραῖς περιπεσὼν, οὐκ ἀτιμώρητος ἐσίν· ἡμεῖς τε οἱ δίκαιοι τὰς τούτου ἁμαρτίας συμφέρειν ἐσμέν. τήν τε ἐν εὐσέβειαν τούτων τῶν πραχθέντων καὶ τὸ δίκαιον 3 αἰδέμενοι, ὁμοίως καὶ δικαίως ἀπολύετε ἡμᾶς· καὶ μὴ ἀθλιωτάτω δύο πατέρα καὶ παῖδα ἀώροις συμφοραῖς περιβάλητε.

ΑΝΤΙΦΩΝΤΟΣ
ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ά. Ὅτι μὲν αὐτὴ ἡ χρεία παρὰ φύσιν καὶ λέγειν καὶ 1 δρᾶν ἅπαντας ἀναγκάζει, ἔργῳ καὶ οὐ λόγῳ δοκεῖ μοι σημαίνειν ἔτος. ἥκιστα γὰρ ἔνεστι τῷ ἔμπροσθεν χρόνῳ ἀναιδὴς καὶ τολμηρὸς ὤν, νῦν ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠνάγκασαι λέγειν, οἷα οὐκ ἄν ποτε ᾤμην ἐγὼ τοῦτον εἰπεῖν. ἐγώτε γὰρ, πολλῇ ἀνοίᾳ χρώμενος, οὐκ ἂν ὑπέλαβον 2 τοῦτον ἀντειπεῖν. οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντιδοὺς ἤλεγξας, τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἂν ἀπεξέρησα,

(1) Κατασήσητε] ἔτως ἔτρεψα εἰς ὑποτακτικὸν ἀντὶ τοῦ, κατασήσετε· (2) οὐκ ἀτιμώρητός ἐστι] αὐτὸς γὰρ ἥμαρτεν, ἢ αὐτὸς ἔπαθεν· οὐκοῦν τετιμώρηκεν ἑαυτῷ τὴν ἑαυτοῦ μετελθὼν ἁμαρτίαν· (2) συμφέρειν] σὺν τούτοις φέρειν· (3) τὴν τῶν πραχθέντων εὐσέβειαν] τὸ πάνθ' ὁσίως τὰ περὶ τὸ ἀκόντιον πρᾶξαι τὸ μειράκιον.

(1) Ἔργῳ καὶ οὐ λόγῳ] οὐ μόνῳ λόγῳ εἰπὼν (ἐν ἀρχῇ τῆς ἀπολογίας) ἀλλὰ καὶ ἔργῳ δείξας ἐξῆς· (2) οὐδὲ γὰρ ἄν] εἰ γὰρ μὴ ὑπελάμβανον τοῦτο, οὐκ ἂν τοῦ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἀπεξέρησα· τὸ δὲ, ἕνα λόγον ἀντιδοὺς ἤλεγξας, διέφθαρται· ὁ δὲ Γρύσκης πειρᾶται διορθοῦν ὧδί· οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντὶ δυοῖν ἔλεξα· ἀλλ' οὐκ ἔχει ἀρκούντως· ὁ γὰρ νοῦς, οἶμαι, ἀπαιτεῖ ὧδέπως· οὐδὲ γὰρ ἂν οὕτω τὸν λόγον ἐπιτόμως λέξας, τὸ

ἕτός τε, μὴ τολμῶν, ἐκ ἂν προεῖχε τῷ διπλασίῳ με, ἕνα μὲν πρὸς ἕνα λόγον ἀπολογήθεις, ἃ δὲ κατηγόρη-
3 σεν, ἀναποκρίτως εἰπών. τοσοῦτον δὲ προέχων ἐν τοῖς λόγοις ἡμῶν, ἔτι δὲ ἐν οἷς ἔπρασσε πολλαπλάσια τούτων, ἕτος μὲν ἐχ ὁσίως δεῖται ὑμῶν συχνῶς, τὴν ἀπο-
4 λογίαν ἀποδέχεσθαι αὐτῷ· ἐγὼ δὲ δράσας μὲν ἐδὲν κακὸν, παθὼν δὲ ἄθλια ᾗ δεινὰ, ᾗ νῦν ἔτι δεινότερα τούτων ἔργῳ ᾗ λόγῳ, εἰς τὸν ὑμέτερον ἔλεον καταπεφευγὼς, δέομαι ὑμῶν, ὦ ἄνδρες, ἀνοσίων μὲν ἔργων τι-
μωροὶ, ὁσίων δὲ διαγνώμονες, μὴ ἔργα φανερὰ ὑπὸ πονηρᾶς λόγων ἀκριβείας πειθέντες, ψευδῆ τὴν ἀλήθειαν
5 τῶν πραχθέντων ἡγήσησθε. ἡ μὲν γὰρ, πιθότερον ἢ ἀληθέστερον σύγκειται, ἡ δ', ἀδολώτερον ᾗ ἀδυνατώτερον λεχθήσεται.

1 β'. Τῷ μὲν ἓν δικαίῳ πιστεύων, ὑπερορῶ τῆς ἀπολογίας, τῇ δὲ σκληρότητι τοῦ δαίμονος ἀπιστῶν, ὀρρωδῶ. μὴ ἐ μόνον τῆς χρείας τοῦ παιδὸς ἀποστερηθῶ. ἀλλὰ ᾗ
2 αὐθέντην προκαταγνωσθέντα ὑφ' ὑμῶν ἐπίδω αὐτόν. εἰς τοῦτο γὰρ τόλμης ᾗ ἀναιδείας ἥκει, ὥστε τὸν μὲν βαλόντα ᾗ ἀποκτείναντα ἔτε τρῶσαι ἔτε ἀποκτεῖναι φησὶ, τὸν δὲ ἔτε ψαύσαντα τοῦ ἀκοντίου, ἔτε ἐπινοήσαντα ἀκοντίσαι, ἁπάσης μὲν γῆς ἁμαρτόντα, πάντων δὲ σωμάτων,
3 διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι λέγει τὸ ἀκόντιον. ἐγὼ δὲ ἐκοσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν, πιθότερος ἄν μοι δοκῶ εἶναι, ἢ ἕτος, ὃς μήτε βαλεῖν μήτε ἀποκτεῖ-

ἤμισυ ᾗ τλ. (2) μὴ τολμῶν] εἴπερ μὴ ἐτόλμα ἀναιδῶς λέγειν· (4) ἐγὼ δὲ δράσας] ἕτως ἔτρεψα εἰς μετοχὴν ἀντὶ τοῦ, ἔδρασε. (4) ἀνοσίων μὲν] προσέθηκα τὸν, μὲν, ὡς προσήκοντα τῷ χωρίῳ· (4) μὴ ἔργα φανερὰ] κατιδόντες· ἢ τοιοῦτό τι ἐλλειπει· ἢ γᾶν γραπτέον ἀντὶ τοῦ, πειθέντες, μεταπεισθέντες.

(1) Αὐθέντην] αὐτὸν ἑαυτὸν διαχρησάμενον, εἴτ' ἂν φονεύσαντα· οἷον αὐτοφόντην· (3) κατηγορῶν] εἴπερ κατηγόρει αὐτοῦ, ὅτι αὐτὸς ἀπέκτεινεν

ναι φησὶ τὸ μειράκιον. ὁ μὲν γὰρ ἐν τούτῳ τῷ καιρῷ κα- 4
λούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο τοῖς ἀκοντίζουσι τὰ ἀκόντια, [ἀναιρεῖται] διὰ τὴν τοῦ βαλόντος ἀκολασίαν πολεμίῳ τῷ τότε βέλει περιπεσὼν, ἐδὲν εἰς ἐδέν' ἁμαρτὼν, ἀθλίως ἀπέθανεν. ὁ δὲ περὶ τὸν τῆς ἀ- 5
ναιρέσεως καιρὸν πλημμελήσας, ἐ τοῦ σκοποῦ τυχεῖν ἐκωλύθη, ἀλλ' ἄθλιον ᾗ πικρὸν σκοπὸν ἐμοὶ ἀκοντίσας, ἑκὼν μὲν ἐκ ἀπέκτεινεν, ἀκουσίως δὲ ἐχ ἧσσον, ἢ ἑκουσίως, ἀπέκτεινέ με τὸν παῖδα. τὸ παράπαν δ' ἀρνούμενος 6
μὴ ἀποκτεῖναι αὐτὸν, ἐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαι φησὶν, ὃς ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν.

γ'. Ἀλλὰ τίς ὁ βαλών ἐστιν; ὁ φόνος ἓν ἀνήκει εἰς 1
τὸς θεωμένους, ἢ εἰς τὸς παιδαγωγούς· ὧν ἑδεὶς ἑδὲν κατηγορεῖ. ἐ γὰρ ἀφανὴς, ἀλλὰ ᾗ λίαν φανερὸς ἔμοιγε 2
αὐτοῦ ὁ θάνατός ἐστιν. ἐγὼ δὲ τὸν νόμον ὀρθῶς ἀγορεύειν φημὶ, τοὺς ἀποκτείναντας κολάζεσθαι. ὅ,τε γὰρ ἄκων ἀποκτείνας, ἀκουσίως κακοῖς περιπεσεῖν δίκαιός ἐστιν· ὅ,τε διαφθαρεὶς, ἑδὲν ἧσσον ἀκουσίως βλαφθεὶς, ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος. ἐ δίκαιος δὲ ἀποφυγεῖν ἐστι διὰ 3
τὴν ἀτυχίαν τῆς ἁμαρτίας. εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμελείας τοῦ θεοῦ ἡ ἀτυχία γίνεται, ἁμάρτημα ἓσα, τῷ ἁμαρτόντι συμφορὰ δικαία γενέσθαι ἐστίν· εἰ δὲ θεία 4
κηλὶς τῷ δράσαντι προσπίπτει ἀσεβοῦντι, ἐ δίκαιον τὰς θείας προσβολὰς διακωλύειν γίνεσθαι.

δ'. Ἔλεξαν δὲ ᾗ ὡς ἐ πρέπει χρησὰ ἐπιτηδεύοντας 1

ἑκουσίως· (4) ὃ ὑπεδέχετο] δοκεῖ δ' ὁ παιδοτρίβης ἕτος καθῆσθαι ἐκεῖ παρὰ τῷ σκοπῷ ὑποδεχόμενος τὰ βέλη ᾗ ἀναιρῶν αὐτὰ μετὰ τὸ βληθῆναι· τοῦτο γὰρ βούλεται ᾗ κατωτέρω μικρὸν τοῦ, περὶ τὸν καιρὸν τῆς ἀναιρέσεως· (4) ἀναιρεῖται] ἢ ἐξαλειπτέον ἐστὶ τοῦτο, ἢ προσθετέον τὸν, Καὶ, κατωτέρω πρὸ τοῦ, ἑδέν· οἷον, ᾗ ἑδὲν εἰς ἑδέν' ἁμαρτών· (5) ἑκὼν μὲν ἐκ ἀπέκτεινε] ἕως ἦν, ἑκὼν μὲν ἐκ ἂν εἴποιμι.

αὐτὲς, κακῶν ἀξιῶσθαι· ἡμεῖς δὲ πῶς ἂν πρέποντα πάχοιμεν, εἰ μηδὲν ὑποδεέστερα τούτων μελετῶντες, θανάτῳ ζημιώμεθα; φάσκων δὲ ἀναμάρτητος εἶναι, ᾗ ἀξιῶν τὰς συμφορὰς τῶν ἁμαρτόντων εἶναι, ᾗ μὴ εἰς τὲς ἀναμαρτήτες ἐκτρέπεσθαι, ὑπὲρ ἡμῶν λέγει· ὅ,τε γὰρ παῖς μὲ εἰς ἑδένα ἑδὲν ἁμαρτὼν, ὑπὸ τέτε τῦ μειρακίε ἀποθανὼν, ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος· ἐγώτε, τῦδε μᾶλλον ἀναμάρτητος ὢν, δεινὰ πείσομαι, ἃ ὁ νόμος δίδωσί μοι, μὴ τυχὼν παρ' ὑμῶν. ὡς δὲ ἑδὲ τῆς ἁμαρτίας τῦδε, τῷ ἀκουσίως ἀποκτεῖναι, ἐξ ὧν αὐτοὶ λέγουσιν, ἀπολύεται, ἀλλὰ κοινὰ ἀμφότερα ταῦτα ἀμφοῖν αὐτοῖν ἐστι, δηλώσω. εἰ γὰρ ὁ παῖς διὰ τὸ ὑπὸ τὴν φορὰν τῦ ἀκοντίε ἐλθεῖν, ᾗ μὴ ἀτρέμας ἑσάναι, φονεὺς αὐτὸς αὐτῦ δίκαιος εἶναι ἐστὶν, ἑδὲ τὸ μειράκιον καθαρὸν τῆς αἰτίας ἐστίν· ἀλλ', εἴπερ τέτε μὴ ἀκοντίζοντος, ἀλλ' ἀτρέμα ἑστῶτος, ἀπέθανεν ὁ παῖς. ἐξ ἀμφοῖν δὲ τῦ φόνε γενομένε, ὁ μὲν παῖς εἰς αὐτὸν ἁμαρτὼν, μᾶλλον ἢ κατὰ τὴν ἁμαρτίαν, ἑαυτὸν τετιμώρηται, (τέθνηκε γάρ.) ὁ δὲ συλλήπτωρ ᾗ κοινωνὸς εἰς τὲς ἃ προσήκοντας τῆς ἁμαρτίας γενόμενος, πῶς δίκαιος ἀζήμιος ἀποφυγεῖν ἐστιν; ἐκ δὲ τῆς αὐτῶν τῶν ἀπολογεμένων ἀπολογίας μετόχε τῦ μειρακίε ὄντος τῦ φόνε, ἐκ ἂν δικαίως ἑδὲ ὁσίως ἀπολύοιτε αὐτόν. ὅτε γὰρ ἡμεῖς, οἱ διὰ τὴν τέτων ἁμαρτίαν διαφθαρέντες, αὐθένται καταγνωσθέντες, ὅσια, ἀλλ' ἀνόσι' ἂν πάθοιμεν ὑφ' ὑμῶν· ἔθ' οἱ θανατώσαντες

(3) Ὡς δὲ ἑδὲ τῆς ἁμαρτίας τῦδε] ὡς δὲ ἑδὲ τὸ μειράκιον ἀθῷόν ἐστι τῆς ἁμαρτίας τῦδε τῦ παιδὸς διὰ τὸ ἀκουσίως ἀποκτεῖναι, ὡς αὐτοί λέγουσιν, ἀλλὰ κοινὴ ἡ ἁμαρτία ἀμφοτέροις τοῖς παισὶ γίνεται, δηλώσω· (3) κοινὰ ἀμφότερα] ἥτε ἁμαρτία, ᾗ ἡ ταύτης ποινή· (4) ἀλλ' εἴπερ] ἀλλὰ τοῦ ἦν καθαρὸς, εἴπερ ᾗ τλ. (5) εἰς τὲς ἃ προσήκοντας] εἰς ὃς ἃ προσῆκεν ἁμαρτεῖν.

ἡμᾶς, μὴ εἰργόμενοι τῶν προσηκόντων, εὐσεβοῖντ' ἂν ὑπὸ τῶν ἀπολυσάντων τὲς ἀνοσίες. πάσης δ' ὑπὲρ πάντων τῆς κηλίδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τέτων ποιητέα ἐστί. καταλαβόντες μὲν γὰρ αὐτὸν, ᾗ εἴρξαντες ὧν ὁ νόμος εἴργει, καθαροὶ τῶν ἐγκλημάτων ἔσεσθε· ἀπολύσαντες δὲ, ὑπαίτιοι καθίσεσθε. 8

ε'. Τῆς ἓν ὑμετέρας εὐσεβείας ἕνεκα ᾗ τῶν νόμων ἀπάγοντες τιμωρεῖσθε αὐτόν· αὐτοί τε μὴ μεταλάβητε τῆς τέτε μιαρίας. ἡμῖν δὲ τοῖς γονεῦσιν, οἳ ζῶντες κατορώρυγμεθα ὑπ' αὐτῦ, δόξῃ γ' ἂν ἐλαφροτέραν τὴν συμφορὰν καταᾠήσατε. 1 2

ΑΝΤΙΦΩΝΤΟΣ
ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

α'. Τέτον μὲν εἰκὸς πρὸς τὴν ἑαυτῦ κατηγορίαν προσέχοντα τὸν νῦν, μὴ μαθεῖν τὴν ἀπολογίαν μὲ. ὑμᾶς δὲ χρὴ γινώσκειν, ὅτι ἡμεῖς μὲν οἱ ἀντίδικοι κατ' εὔνοιαν κρίνοντες τὸ πρᾶγμα, εἰκότως δίκαια ἑκάτεροι αὐτὲς οἰόμεθα λέγειν· ὑμᾶς δὲ ὁσίως ὁρᾶν προσήκει τὰ πραχθέντα. ἐκ τῶν λεγομένων γὰρ ἡ ἀλήθεια σκεπτέα αὐτῶν ἐστίν. ἐγὼ δὲ, εἰ μέντι ψεῦδος εἴρηκα, ὁμολογῶ ᾗ τὰ ὀρθῶς εἰρημένα προσδιαβάλλειν ἄδικα εἶναι· εἰ δὲ ἀληθῆ μὲν, λεπτὰ δὲ ᾗ ἀκριβῆ, ἐκ ἐγὼ ὁ λέγων, ἀλλ' ὁ πράξας, τὴν ἀπέχθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστι. θέλω δὲ ὑμᾶς πρῶτον μαθεῖν, ὅτι ἐκ ἐάντις φάσκῃ ἀποκτεῖναι, τέτ' ἔστιν, ἀλλ' ἐάντις ἐλεχθῇ. ἔτος δὲ ὁμολογῶν τὸ ἔργον ὡς ἡμεῖς λέγομεν γενέσθαι, ὑπὲρ τῦ ἀποκτείναντος ἀμφισβητεῖ· ὃν ἀδύνατον ἀλλαχόθεν ἢ 1 2 3 4

(7) μὴ εἰργόμενοι τῶν προσηκόντων] ἃν προσήκει εἴργεσθαι· (7) εὐσεβοῖντ' ἂν] εὐσεβῆ ᾗ ὀρθὰ ἀπολαμβάνοιεν.

ἐκ τῶν πραχθέντων δηλοῦσθαι. χρετλιάζει δὲ, κακῶς ἀκούειν φάσκων τὸν παῖδα, εἰ μήτε ἀκοντίσας, μήτ' ἐπινοήσας, ἀυθέντης ὢν ἀποδέδεικται· ᾧ δ' πρὸς τὰ λεγόμενα ἀπολογεῖται. δ γὰρ ἀκοντίσαι δὲ βαλεῖν αὐτόν φημι τὸν παῖδα, ἀλλ' ὑπὸ τὴν πληγὴν τῷ ἀκοντίῳ ὑπελθόντα, ἐχ ὑπὸ τῷ μειρακίῳ, ἀλλ' ὑφ' ἑαυτῷ διαφθαρῆναι. δ γὰρ ἀτρεμίζων ἀπέθανε. τῆς δὲ διαδρομῆς αἰτίας ταύτης γινομένης, εἰ μὲν ὑπὸ τῷ παιδοτρίβῃ καλόμενος διέτρεχεν, ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν εἴη· εἰ δ' ὑφ' ἑαυτῷ πειθθεὶς ὑπῆλθεν, αὐτὸς ὑφ' ἑαυτῷ διέφθαρται. θέλω δὲ μὴ πρότερον ἐπ' ἄλλον λόγον ὁρμῆσαι, ἢ τὸ ἔργον ἔτι φανερώτερον καταξῆσαι, ὁποτέρῳ αὐτῶν ἐστι.

β'. Τὸ μὲν μειράκιον ἑδενὸς μᾶλλον τῶν συμμελετώντων ἐστὶ τῷ σκοπῷ ἁμαρτόν. ἑδὲ τῶν ἐπικαλουμένων τι διὰ τὴν αὐτῷ ἁμαρτίαν δέδρακεν. ὁ δὲ παῖς, ᾧ ταὐτὰ τοῖς συνθεωμένοις ὁρῶν, ἀλλ' εἰς τὴν ὁδὸν τῷ ἀκοντίῳ ὑπελθὼν, σαφῶς δηλοῦται παρὰ τὴν αὐτῷ ἁμαρτίαν περισσοτέροις ἀτυχήμασι τῶν ἀτρεμιζόντων περιπέσων. ὁ μὲν γὰρ ἀφεὶς, ἑδὲν ἂν ἥμαρτεν, μηδενὸς ὑπὸ τὸ βέλος ὑπελθόντος· αὐτὸς δ' ἐκ ἂν ἐβλήθη μετὰ τῶν θεωμένων ἑκών. ὡς δ' ἑδενὸς μᾶλλον τῶν συνακοντιζόντων μέτοχός ἐστι τῷ φόνῳ, διδάξω. εἰ γὰρ διὰ τὸ τῶτον ἀκοντίζειν ὁ παῖς ἀπέθανε, πάντες ἂν οἱ συμμελετῶντες συμπράκτορες εἴησαν τῆς αἰτίας. ἤτοι γὰρ ᾧ διὰ τὸ μὴ ἀκοντίζειν ἐκ ἔβαλον αὐτὸν, ἀλλὰ διὰ τὸ μηδένα ὑπὸ τὸ ἀκόντιον ὑπελθεῖν. ὁ δὲ νεανίσκος ἑδὲν περισσὸν τῶτων ἁμαρτὼν, ὁμοίως τῶτοις ἐκ ἂν ἔβαλεν αὐτὸν, ἀτρέμα σὺν τοῖς θεωμένοις ἑστῶτα. ἔστι δὲ ἑδὲ τὸ ἁμάρτημα τῶτο τῷ παιδὸς μόνον, ἀλλὰ ᾧ ἡ ἀφυλαξία. ὁ μὲν γὰρ ἑδένα ὁρῶν διατρέχοντα, πῶς ἂν ἐφυλάξατο μηδένα βαλεῖν;

ὁ δ' ἰδὼν τὸς ἀκοντίζοντας, εὐπετῶς ἂν ἐφυλάξατο μηδένα μὴ βαλεῖν. ἐξῆν γὰρ αὐτῷ ἀτρέμας ἑσάναι. τὸν δὲ νόμον, ὃν παραφέρουσιν, ἐπαινεῖν δεῖ. ὀρθῶς γὰρ ᾧ δικαίως τὸς ἀκουσίως ἀποκτείναντας, ἀκουσίοις παθήμασι κολάζει.

γ'. Τὸ μὲν ἓν μειράκιον ἀναμάρτητον ὂν, ἐκ ἂν δικαίως ὑπὲρ τῷ ἁμαρτόντος κολάζοιτο. ἱκανὸν γὰρ αὐτῷ ἐστὶ, τὰς αὑτῷ ἁμαρτίας φέρειν. ὁ δὲ παῖς ταῖς αὑτῷ ἁμαρτίαις διαφθαρεὶς, ἅμα ἥμαρτέ τε ᾧ ὑφ' ἑαυτῷ ἐκολάσθη. κεκολασμένῳ δὲ τῷ ἀποκτείναντος, ἐκ ἀτιμώρητος ἐστὶν, ἔχοντός γε τὴν δίκην τῷ φονέως. ἐκ ἐὰν ἓν ἀπολύσητε ἡμᾶς, ἀλλ' ἐὰν καταλάβητε, ἐνθύμιον ὑπολείψεσθε. ὁ μὲν γὰρ αὐτὸς τὰς αὑτῷ ἁμαρτίας φέρων, ἑδενὶ ἑδὲν προσρόπαιον καταλείψει· ὁ δὲ καθαρὸς τῆς αἰτίας. ὃς ἐὰν διαφθαρῇ, τοῖς καταλαμβάνουσι μεῖζον τὸ ἐνθύμιον γενήσεται. εἰ δὲ αὐθέντης ἐκ τῶν λεγομένων ἐπιδείκνυται, ἐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοι ἐσμὲν, ἀλλ' ἡ πρᾶξις τῶν ἔργων. ὀρθῶς δὲ τῶν ἐλέγχων ἐλεγχόντων τὸν παῖδα αὐθέντην ὄντα, ὁ νόμος ἀπολύων ἡμᾶς τῆς αἰτίας, τὸν ἀποκτείναντα καταλαμβάνει.

δ'. Μήτε ἓν ἡμᾶς εἰς μὴ προσηκόσας συμφορὰς ἐμβάλητε, μήτε αὐτοὶ ταῖς τέτων ἀτυχίαις βοηθέντες, ἐναντία τῷ δαίμονος γνῶτε. ἀλλ', ὥσπερ ὅσιον ᾧ δι-

(7) Μηδένα μὴ βαλεῖν] ὥστε τὸν ἀκοντίζοντα μὴ βαλεῖν μηδένα· ἢ ὅπως μηδεὶς τῶν ἀκοντιζόντων βάλῃ τινα· πυκνὸς δὲ ὁ λόγος ᾧ πεπιεσμένος ᾧ οἷόν περ Θουκυδίδειος· (7) ἀκουσίοις παθήμασι] τουτέστι μετριωτέροις τῶν ἑκουσίων· ἦσαν γὰρ αἱ τιμωρίαι ῥηταὶ χωρὶς μὲν τῶν ἑκουσίων, χωρὶς δὲ τῶν ἀκουσίων ἁμαρτημάτων.

(1) Τὰς αὑτῷ ἁμαρτίας φέρειν] εἴτινας ἑτέρας ἔπραξέ τις· (3) ὁ δὲ καθαρὸς τῆς αἰτίας·] ἔσιξε τελείαν ἐνταῦθα, ἵν' ἀποδιδοῖτο ἡ εὐθεῖα ἀνωτέρω εἰς τὸ καταλείψει· οἷον, ἀλλ' ὁ καθαρὸς τῆς αἰτίας τὰς ἀλλοτρίας ἁμαρτίας φέρων προσρόπαιον καταλείψει· ἄμεινον ἀλλ' ἂν ἐξαλεῖψαι τὸ, ὃς· ἵνα ᾖ· ἐὰν δὲ ὁ καθαρὸς τῆς αἰτίας διαφθαρῇ· ᾧ τλ.

καιον, μεμνημένοι τῦ πάθες, ὅτι διὰ τὸν ὑπὸ τὴν φοράν τῦ ἀκοντίε ὑπελθόντα ἐγένετο, ἀπολύετε ἡμᾶς. ἐ γὰρ αἴτιοι τῦ φόνε ἐσμέν.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΕΞΗΣ ΤΕΤΡΑΛΟΓΙΑΣ.

Νέος ϗ πρεσβύτης ἐκ λοιδορίας συμπεσόντες ἀλλήλοις, ἐμάχοντο. ἰσχυρότερον δὲ τῦ νέε πλήξαντος, τέθνηκεν ὁ πρεσβύτης· ϗ περὶ τύτε κατηγορεῖτις τῦ νέε, ὡς τὸν φόνον πεποιηκότος. ὁ δὲ, πρῶτον τὸν πρεσβύτην ἀδίκων ἄρξαι λέγει χειρῶν. ὅθεν ἀντέγκλημα ἡ ϛάσις γίνεται.

ΑΝΤΙΦΩΝΤΟΣ

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ, ΠΕΡΙ ΤΟΥ ΛΕΓΟΝΤΟΣ ΑΜΥΝΕΣΘΑΙ.

1 ά. Νενόμισαι μὲν ὀρθῶς τὰς φονικὰς δίκας περὶ πλείϛε τὲς κρίνοντας ποιεῖσθαι, διώκειν τε ϗ μαρτυρεῖν κατὰ τὸ δίκαιον· μήτε τὲς ἐνόχες ἀφιέντας, μήτε τὲς
2 καθαρὲς εἰς ἀγῶνα καθιϛάντας. ὅ,τε γὰρ θεὸς βελόμενος ποιῆσαι τὸ ἀνθρώπινον γένος, τὲς πρῶτον γενομένες ἔφυσεν ἡμῶν, τροφέας τε, ϗ παρέδωκε τὴν γῆν ϗ τὴν θάλασσαν, ἵνα μὴ ϛάνει τῶν ἀναγκαίων προαποθνήσκοιμεν τῆς γηραιᾶ τελευτῆς.

1 β. Ὅϛις ἓν τύτων ὑπὸ τῦ θεῦ ἀξιωθεὶς, τῦ βίε ἡμῶν ἀνόμως τινὰ ἀποκτείνει, ἀσεβεῖ μὲν περὶ τὲς θεὲς,
2 συγχεῖ δὲ τὰ νόμιμα τῶν ἀνθρώπων. ὅ,τε γὰρ ἀποθανὼν, ϛερόμενος ὧν ὁ θεὸς ἔδωκεν αὐτῷ, εἰκότως θεῦ τιμωρίαν ὑπολείπει τὴν τῶν ἀλιτηρίων δυσμένειαν· ἣν οἱ

(2) Τροφέας τε] ϗ ὀρχηγές· ἢ τοιῦτό τι ἐλλείπειν δοκεῖ.

παρὰ τὸ δίκαιον κρίνοντες ἢ μαρτυρῆντες, συνασεβῆντες τῷ ταῦτα δρῶντι, ἐ προσῆκον μίασμα εἰς τὲς ἰδίες οἴκες εἰσάγονται. ἡμεῖς τε οἱ τιμωροὶ τῶν διεφθαρμένων, 3
εἰ δι' ἄλλην τινὰ ἔχθραν τὲς ἀναιτίες διώκοιμεν, τῷ μὲν ἀποθανόντι ἐ τιμωρῆντες, δεινὲς ἀλιτηρίες ἕξομεν τὲς τῶν ἀποθανόντων προσροπαίες. τὲς δὲ καθαρὲς ἀδίκως 4
ἀποκτείνοντες, ἔνοχοι τῦ φόνε τοῖς ἐπιτιμίοις ἐσμέν. ὑμᾶς τε ἄνομα δρᾶν πείθοντες, ϗ τῦ ὑμετέρε ἁμαρτήματος ὑπαίτιοι γιγνόμεθα.

γ'. Ἐγὼ μὲν ἓν δεδιὼς ταῦτα, εἰς ὑμᾶς παράγων 1
τὸν ἀσεβήσαντα, καθαρὸς τῶν ἐγκλημάτων εἰμί. ὑμεῖς 2
δὲ ἀξίως τῶν προειρημένων, τῇ κρίσει προσέχοντες τὸν νῦν, ἀξίαν δίκην τῦ πάθες τῷ εἰργασμένῳ ἐπιθέντες, ἅπασαν τὴν πόλιν καθαρὰν τῦ μιάσματος κατασήσετε. εἰ μὲν γὰρ ἄκων ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγ- 3
γνώμης τυχεῖν τινος· ὕβρει δὲ ϗ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρεσβύτην, τύπτων τε ϗ πυίγων, ἕως τῆς ψυχῆς ἀπεσέρησεν αὐτὸν, ὡς μὲν ἀποκτείνας, τῦ φόνε τοῖς ἐπιτιμίοις ἔνοχός ἐϛιν· ὡς δὲ συγχέων ἅπαντα τῶν γε- 4
ραιοτέρων τὰ νόμιμα, ἐδενὸς ἁμαρτεῖν, οἷς οἱ τοιῦτοι κολάζονται, δίκαιός ἐϛιν.

δ'. Ὁ μὲν τοίνυν νόμος ὀρθῶς ὑμῖν τιμωρεῖσθαι πα- 1
ραδίδωσιν αὐτόν· τῶν δὲ μαρτύρων ἀκηκόατε, οἳ παρῆσαν παροινῦντι αὐτῷ. ὑμᾶς δὲ χρὴ τήν τε ἀνομίαν τῦ πα- 2
θήματος ἀμύνοντας, τήν τε ὕβριν κολάζοντας ἀξίως τῦ πάθες, τὴν βελεύσασαν ψυχὴν ἀνταφελόϛαι αὐτόν.

ΑΝΤΙΦΩΝΤΟΣ

ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ, ΟΝ ΩΣ ΑΜΥΝΟΜΕΝΟΣ ΑΠΕΚΤΕΙΝΕΝ.

ΥΠΟΘΕΣΙΣ.

Ἡ σάσις, μετάσασις. μεταφέρει γὰρ ἐπὶ τὸν θεραπεύσαντα ἰατρὸν τὸν φόνον. τὸ γὰρ ἀντεγκληματικὸν, ὡς παρεπόμενον ἔλαβεν.

1 ά. Ὅτι μὲν βραχεῖς τὰς λόγας ἐποιήσαντο, ἃ θαυμάζω αὐτῶν· (ἃ γὰρ, ὡς μὴ πάθωσιν, ὁ κίνδυνος αὐτοῖς ἐστιν, ἀλλ' ὡς ἐμὲ, μὴ δικαίως, δι' ἔχθραν διαφθείρωσιν) ὅτι δ' ἐξισᾶν τοῖς μεγίστοις ἐγκλήμασιν ἤθελον τὸ πρᾶγμα, ἃ ὁ ἀποθανὼν αἰτῷ αἴτιος, ἢ μᾶλλον ἢ ἐγὼ, ἐγένετο, εἰκότως ἂν ἀγανακτεῖν μοι δοκῶ.
2 ἄρχων γὰρ χειρῶν ἀδίκων, ἢ παροινῶν εἰς ἄνδρα πολὺ αὐτᾶ σωφρονέστερον, ἐχ αὐτῷ μόνον τῆς συμφορᾶς, ἀλλὰ ἢ ἐμοὶ αἴτιος τᾶ ἐγκλήματος γέγονεν.

1 β'. Οἶμαι μὲν ἕν ἔγωγε ἅτε δίκαια τέτας ἅθ' ὅσια δρᾶν, ἐγκαλέντας ἐμοί. τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, εἰ μὲν ἢ λίθῳ ἢ ξύλῳ ἠμυνάμην αὐτὸν, ἠδίκεν μὲν ἐδ' ἕτως· (ἃ γὰρ ταυτὰ, ἀλλὰ μείζονα ἢ πλείονα δίκαιοι
2 οἱ ἄρχοντες ἀντιπάσχειν εἰσίν). ταῖς δὲ χερσὶ τυπτόμενος ὑπ' αὐτᾶ, ταῖς χερσὶν ἅπερ ἔπαχον ἀντιδρῶν, πότερα
3 ἠδίκεν; εἶεν. ἐρεῖ δὲ, ἀλλ' ὁ νόμος, εἴργων μήτε ἀδίκως μήτε δικαίως ἀποκτείνειν, ἔνοχον τᾶ φόνα τοῖς ἐπιτιμίοις ἀποφαίνει σε ὄντα. ὁ γὰρ ἀνὴρ τέθνηκεν. ἐγὼ δὲ ἢ δεύ-

(1) Οἱ ἄρχοντες] χειρῶν ἀδίκων· (2) πότερα ἠδίκεν;] ὡς τυπτόμενος, ἢ ὡς τύπτων ἐκ τῆς χειρός; ἀλλ' οὐκ ἀκολουθεῖ κατὰ τρόπον ταῦτα τῷ λόγῳ· διὸ ἕμοιγε γραπτέον ἂν εἴη· πῶς ἂν ἠδίκεν;

τερον ἢ τρίτον ἐκ ἀποκτεῖναι φημί. εἰ μὲν γὰρ ὑπὸ τῶν 4
πληγῶν ὁ ἀνὴρ παραχρῆμα ἀπέθανεν, ὑπ' ἐμᾶ μὲν, δικαίως δ' ἂν ἐτεθνήκει· (ἃ γὰρ ταυτὰ, ἀλλὰ μείζονα ἢ πλείονα οἱ ἄρξαντες δίκαιοι ἀντιπάσχειν εἰσί.) νῦν δὲ πολ- 5
λαῖς ἡμέραις ὕστερον πονηρῷ ἰατρῷ ἐπιτρεφθεὶς, διὰ τὴν τᾶ ἰατρᾶ μοχθηρίαν, ἢ ἃ διὰ τὰς πληγὰς, ἀπέθανε. προλεγόντων γὰρ αὐτῷ τῶν ἄλλων ἰατρῶν, εἰ ταύτην 6
τὴν θεραπείαν θεραπεύσοιτο, ὅτι, ἰάσιμος ὢν, διαφθαρήσοιτο, δι' ὑμᾶς τὰς συμβάλας διαφθαρεὶς, ἐμοὶ ἀνόσιον ἔγκλημα προσέβαλεν.

γ'. Ἀπολύει δέ με ἢ ὁ νόμος καθ' ὃν διώκομαι. τὸν 1
γὰρ ἐπιβαλεύσαντα κελεύει φονέα εἶναι. ἐγὼ μὲν ἕν πῶς ἂν ἐπιβαλεύσαιμι αὐτῷ, εἰ μὴ ἐπεβαλεύθην ὑπ' αὐτᾶ; τοῖς γὰρ αὐτοῖς ἀμυνόμενος αὐτὸν ἢ τὰ αὐτὰ δρῶν ἅπερ 2
ἔπαχον, σαφὲς ὅτι τὰ αὐτὰ ἐπεβάλευσα ἢ ἐπεβαλεύθην. εἰ δέ τις ἐκ τῶν πληγῶν τὸν θάνατον οἰόμενος γε- 3
νέθαι, φονέα με αὐτᾶ ἡγεῖται εἶναι, ἀντιλογισάσθω, ὅτι διὰ τὸν ἄρξαντα αἱ πληγαὶ γενόμεναι, τᾶτον αἴτιον τᾶ θανάτα, ἢ ἐκ ἐμὲ, ἀποφαίνεσιν ὄντα. ἃ γὰρ ἂν ἠμυ- 4
νάμην μὴ τυπτόμενος ὑπ' αὐτᾶ. ἀπολυόμενος δὲ ὑπόγε τᾶ ἄρξαντος τῆς πληγῆς, ἐγὼ μὲν ἑδενὶ τρόπῳ φονεὺς αὐτᾶ εἰμί· ὁ δὲ ἀποθανὼν, εἰ μὲν ἀτυχίᾳ τέθνηκεν, 5
τῇ ἑαυτᾶ ἀτυχίᾳ κέχρηται· (ἠτύχησε γὰρ, ἄρξας τῆς πληγῆς) εἰ δ' ἀβελίᾳ τινὶ, τῇ ἑαυτᾶ ἀβελίᾳ διέφθαρται. ἃ γὰρ εὖ φρονῶν ἔτυπτέ με.

δ'. Ὡς μὲν ἕν ἃ δικαίως κατηγορᾶμαι, ἐπιδέδεικ- 1
ταί μοι. ἐθέλω δὲ τὰς κατηγορᾶντάς με πᾶσιν οἷς, ἐγκαλᾶσιν, ἐνόχως αὐτὰς ὄντας ἐπιδεῖξαι. καθαρῷ μέν μοι τῆς αἰτίας ὄντι φόνον ἐπιβαλεύοντες, ἀποσερᾶντες δέ με τᾶ βία, ὃν ὁ θεὸς παρέδωκέ μοι, περὶ τὸν θεὸν ἀσεβᾶσιν. ἀδίκως δὲ θάνατον ἐπιβαλεύοντες, τά τε νόμιμα 2

3 συγχέωσι, φονεῖς τέ μ' γίνονται. ἀνοσίως δ' ἀποκτεῖναι ὑμᾶς με πείθοντες, ἢ τῆς ὑμετέρας εὐσεβείας αὐτοὶ φονεῖς εἰσι.

1 ε. Τέτοις μὲν ἕν ὁ θεὸς ἐπιθείη τὴν δίκην· ὑμᾶς δὲ χρὴ, τὸ ὑμέτερον σκοπέντας, ἀπόλῦσαί με μᾶλλον ἢ καταλαβεῖν βέλεσθαι. ἀδίκως μὲν γὰρ ἀπολυθεὶς, διὰ τὸ μὴ ὀρθῶς διδαχθῆναι ὑμᾶς ἀποφυγὼν, τῷ μὴ διδάξαντος, ἢ ἐχ ὑμέτερον τὸν προσρόπαιον τῷ ἀποθανόντος
2 κατασήσω· μὴ ὀρθῶς δὲ καταληφθεὶς ὑφ' ὑμῶν, ὑμῖν ἢ ἀ τέτῳ τὸ μήνιμα τῶν ἀλιτηρίων προσρίψομαι. ταῦτ'
3 ἕν εἰδότες, τετοισὶ τὸ ἀσέβημα τῦτο ἀναθέντες, αὐτοί τε καθαροὶ τῆς αἰτίας γένεσθε, ἐμέτε ὁσίως ἢ δικαίως ἀπολύετε. ἕτω γὰρ ἂν καθαρώτατοι πάντες οἱ πολῖται εἴημεν.

ΑΝΤΙΦΩΝΤΟΣ

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἐν τέτοις, φησὶ, θαυμάζω ὅτι ἐκ εἰκὸς ἄρξαι χειρῶν ἀδίκων τὸν πρεσβύτερον. εἶτα ὅτι ἢ εἰ ἕτως ἔχει, ὁ μέχρι φόνε ἀμυνόμενος, ὑπεύθυνος. ἢ περὶ τῦ ἰατρῦ, ὡς δι' ἀπειρίαν ἐσφάλη, ἀνεύθυνος ὤν.

1 α. Τῦτό γε ἀ θαυμάζω, ἀνόσια δράσαντα, ὅμοια οἷς εἴργασαι λέγειν· ὑμῖν τε συγγινώσκω βελομένοις τὴν ἀκρίβειαν τῶν πραχθέντων μαθεῖν, τοιαῦτα ἀνέχε-
2 σθαι ἀκέοντας αὐτῦ, ἃ ἐκβάλλεσθαι ἄξιά ἐσι. τὸν γὰρ ἄνδρα ὁμολογῶν τύπτειν τὰς πληγὰς ἐξ ὧν ἀπέθανεν, αὐτὸς τῦ τεθνηκότος ἕ φησι φονεὺς εἶναι. ἡμᾶς δὲ τὸς τιμωρῦντας αὐτῷ, ζῶν τε ἢ βλέπων, φονέας αὐτῦ φη-

σὶν εἶναι. θέλω δὲ ἢ τἄλλα παραπλήσια ἀπολογηθέντα 3
τέτοις ἐπιδεῖξαι αὐτόν. εἶπε δὲ πρῶτον μὲν, εἰ ἢ ἐκ τῶν πληγῶν ἀπέθανεν ὁ ἀνὴρ, ὡς ἐκ ἀπέκτεινεν αὐτόν. τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, τῦτον αἴτιον τῶν πραχ- 4
θέντων γενόμενον, καταλαμβάνεσθαι ὑπὸ τῦ νόμε· ἄρξαι δὲ τὸν ἀποθανόντα.

β'. Μάθετε δὴ πρῶτον μὲν, ὅτι ἄρξαι ἢ παροινεῖν 1
τὸς νεωτέρες τῶν πρεσβυτέρων εἰκότερόν ἐσι. τὸς μὲν γὰρ ἥτε μεγαλοφροσύνη τῦ γένες, ἥτε ἀκμὴ τῆς ῥώμης, ἥτε ἀπειρία τῆς μέθης ἐπαίρει τῷ θυμῷ χαρίζεσθαι· τὸς δὲ ἥτε ἐμπειρία τῶν παρανομεμένων, ἥτε ἀσθένεια 2
τῦ γήρως, ἥτε δύναμις τῶν νέων φοβῦσα, σωφρονίζει· ὡς δὲ ἀ τοῖς αὐτοῖς, ἀλλὰ τοῖς ἐναντιωτάτοις ἠμύνατο αὐτὸν, αὐτὸ τὸ ἔργον σημαίνει. ὁ μὲν γὰρ, ἀκμαζέσῃ 3
τῇ ῥώμῃ τῶν χειρῶν χρώμενος, ἀπέκτεινεν· ὁ δὲ ἀδυνάτως τὸν κρείσσονα ἀμυνόμενος, ἀδὲ σημεῖον ἀδὲν ὑπολιπὼν, ὧν ἠμύνατο, ἀπέθανεν. εἰ δὲ ταῖς χερσὶν ἀπέκ- 4
τεινε ἢ ἀ σιδήρῳ, ὅσον αἱ χεῖρες τῦ σιδήρε οἰκειότεραι τέτῳ εἰσὶ, τοσέτῳ μᾶλλον φονεύς ἐσιν. ἐτόλμησε δὲ εἰ- 5
πεῖν ὡς ὁ ἄρξας τῆς πληγῆς ἢ μὴ διαφθείρας, μᾶλλον τῦ ἀποκτείναντος φονεύς ἐσι. τῦτον γὰρ βελευτὴν τῦ θανάτε φησὶ γενέσθαι. ἐγὼ δὲ πολὺ τἀναντία τέτων φη- 6
μὶ. εἰ γὰρ αἱ χεῖρες, ἃ διανοέμεθα, ἑκάτῳ ἡμῶν ὑπηρετῦσιν, ὁ μὲν πατάξας ἢ μὴ ἀποκτείνας, τῆς πληγῆς βελευτὴς ἐγένετο. ὁ δὲ θανασίμως τύπτων, τῦ θανάτε. ἐκ γὰρ ὧν ἐκεῖνος διανοηθεὶς ἔδρασεν, ὁ ἀνὴρ τέθνηκεν. ἐσὶ δὲ ἡ μὲν ἀτυχία, τῦ πατάξαντος· ἡ δὲ συμ- 7

(1) Ἡ μεγαλοφροσύνη τῦ γένες] ἀ κατανοῶ τὸ γένος τῦτο, ὅπως ἰδιάζοι τῷ νεωτέρῳ, εἴγε τῦ αὐτῦ ἢ τῷ πρεσβυτέρῳ προσήκει· εἰκάζω δ' ἔγωγε, ὅτι δεῖ γράφειν μᾶλλον, γάνυς, ἢ μένυς αὐτὶ τῦ, γένυς· ἵνα ᾖ τὸ ἀπὸ μέθης προερχόμενον φύσημα· οἷον ἢ, Βάκχε ἀμπέλε γένυς· εἰδὲ μὴ, γραπτέον, ἥβυς, ἢ ἡλικίας. (2) τῶν παρανομεμένων] τῶν παρανόμως γιγνομένων.

φορὰ, τῦ παθόντος. ὁ μὲν γὰρ ἐξ ὧν ἔδρασεν ἐκεῖνος, διαφθαρεὶς, ὑ τῇ ἑαυτῦ ἁμαρτίᾳ, ἀλλὰ τῇ τῦ πατάξαντος χρησάμενος, ἀπέθανεν. ὁ δὲ, μείζω ὧν ἤθελε πράξας, τῇ ἑαυτῦ ἀτυχίᾳ ὃν ὐκ ἤθελεν ἀπέκτεινεν.

γ'. Τὸ δὲ τῦ ἰατρῦ φάσκων αὐτὸν ἀποθανεῖν, θαυμάζω, ὅτι ὐχ ὑφ' ἡμῶν τῶν συμβυλευσάντων ἐπιτρεφθῆναι φησὶν αὐτὸν διαφθαρῆναι. ὑ γὰρ εἰ μὴ ἐπετρέψαμεν, ὑπ' ἀθεραπείας ἂν ἔφη διαφθαρῆναι αὐτόν. εἰ δ' ἔτι ὑ ὑπὸ τῦ ἰατρῦ ἀπέθανεν, ὡς ὐκ ἀπέθανεν, ὁ μὲν ἰατρὸς ὑ φονεὺς αὐτῦ ἐσιν (ὁ γὰρ νόμος ἀπολύει αὐτόν). διὰ δὲ τὰς τύτυ πληγὰς ἐπιτρεψάντων ἡμῶν αὐτῷ, πῶς ἂν ἄλλός τις, ἢ ὁ βιασάμενος ἡμᾶς χρῆσθαι αὐτῷ, φονεὺς εἴη ἄν; ἕτος δὲ φανερῶς ἐλεγχόμενος ἐκ παντὸς τρόπυ ἀποκτεῖναι τὸν ἄνδρα, εἰς τῦτο τόλμης ὑ ἀναιδείας ἥκει, ὥσ' ὐκ ἀρκεῖν αὐτῷ ἐσιν ὑπὲρ τῆς αὐτῦ ἀσεβείας ἀπολογεῖσθαι, ἀλλὰ ὑ ἡμᾶς, οἳ τὸ τύτυ μίασμα ἐπεξερχόμεθα, ἀθέμιτα ὑ ἀνόσια δρᾶν φησί. τύτῳ μὲν ἓν πρέπει ὑ ταῦτα ὑ ἔτι τύτυ δεινότερα λέγειν, τοιαῦτα δεδρακότι. ἡμεῖς δὲ τὸν θάνατον φανερὸν ἀποδεικνύντες, τήν τε πληγὴν ὁμολογυμένην, ἐξ ἧς ἀπέθανε, τόν τε νόμον εἰς τὸν πατάξαντα τὸν φόνον ἀνάγοντα, ἀντὶ τῦ παθόντος ἐπισκήπτομεν ὑμῖν, τῷ τύτυ φόνῳ τὸ μήνιμα τῶν ἁλιτηρίων ἀνεσαμένυς, πᾶσαν τὴν πόλιν καθαρὰν τῦ μιάσματος κατασῆσαι.

ΑΝΤΙΦΩΝΤΟΣ

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ά. Ὁ μὲν ἀνὴρ, ὑ καταγνὺς αὐτὸς ἑαυτῦ, ἀλλὰ τὴν σπυδὴν τῶν κατηγόρων φοβηθεὶς, ὑπεξέση. ἡμῖν δὲ

(1) Ὁ μὲν ἀνὴρ] ὁ τὸν φόνον εἰργασμένος, ὑ ἀπολογηθεὶς πρῶτον· ἕτος

τοῖς φίλοις ζῶντι ἢ ἀποθανόντι εὐσεβέσερον ἀμύνειν αὐτῷ. ἄρισα μὲν ἓν αὐτὸς ὑπὲρ αὐτῦ ἀπελογεῖτο. ἐπεὶ δὲ τάδε ἀκινδυνότερον ἔδοξεν ἡμῖν εἶναι, οἷς μέγισον ἂν πένθος γένοιτο σερηθεῖσιν αὐτῦ, ἀπολογητέον. δοκεῖ δέ μοι περὶ τὸν ἄρξαντα τῆς πληγῆς τὸ ἀδίκημα εἶναι. ὁ μὲν ἓν διώκων ὐκ εἰκόσι τεκμηρίοις χρώμενος, τῦτον τὸν ἄρξαντα φησὶν εἶναι. εἰ μὲν γὰρ, ὥσπερ βλέπειν μὲν τοῖς ὀφθαλμοῖς, ἀκύειν δὲ τοῖς ὠσὶν, ἕτω κατὰ φύσιν ἦν ὑβρίζειν μὲν τὺς νέυς, σωφρονεῖν δὲ τὺς γέροντας. ὐδὲν ἂν τῆς ὑμετέρας κρίσεως ἔδει· (αὐτὴ γὰρ ἡ ἡλικία τὸν νέον κατέκρινε) νῦν δὲ, πολλοὶ μὲν νέοι σωφρονῦντες, πολλοὶ δὲ πρεσβύται παροινῦντες, ὐδὲν μᾶλλον τῷ διώκοντι ἢ τῷ φεύγοντι τεκμήριον γίνεται. κοινῦ δὲ τῦ τεκμηρίυ ἡμῖν ὄντος, τύτῳ τῷ παντὶ προέχομεν· οἱ γὰρ μάρτυρες τῦτον φασὶν ἄρξαι τῆς πληγῆς. ἄρξαντος δὲ τύτυ, ὑ τῶν ἄλλων ἁπάντων κατηγορυμένων, ἀπολύεται τῆς αἰτίας. εἴτε γὰρ ὁ πατάξας διὰ τὴν πληγὴν βιασάμενος ὑμᾶς ἐπιτρεφθῆναι ἰατρῷ, μᾶλλον τῦ ἀποκτείναντος φονεύς ἐσιν, ὁ ἄρξας τῆς πληγῆς φονεὺς γίνεται. ἕτος γὰρ ἠνάγκασε τόν τε ἀμυνόμενον ἀντιτύπτειν, τόν τε πληγέντα ἐπὶ τὸν ἰατρὸν ἐλθεῖν. ἀνόσια γὰρ ὅδε διωκόμενος πάθοι, εἰ μήτε ἀποκτείνας ὑπὲρ τῦ ἀποκτείναντος, μήτε ἄρξας ὑπὲρ τῦ ἄρξαντος φονεὺς ἔσαι. ἔσι

νῦν ὑ πάρεσιν· ἕτερος δέ τις τῶν αὐτῦ φίλων ἀπολογεῖται· (2) ἐπεὶ δὲ τὰ δε] τῦτο τὸ ὑπεκσῆναι αὐτὸν τῦ ἀγῶνος· (4) πολλοὶ σωφρονῦντες — γίνεται·] ἢ τὰ μετοχικὰ τρεπτέα εἰς ἀπερέμφατα, ἢ τὸ, γίνεται, εἰς τὸ, γίνονται· (5) τύτῳ] καὶ ἐκεῖνο τὸ ἑξῆς· τὸ δὲ, τῷ παντὶ, κατὰ πάντα τρόπον· (5) κατηγορημένων] αὐτῦ· οἷον ὀρθῶς αὐτῷ ἀποδιδομένων· (6) εἴτε γὰρ ὁ πατάξας — φονεὺς γίνεται] πῶν τὸ χωρίον τυτὶ ἀνακόλυθον· ὑ τὸ καταρχον, εἴτε, ἀπαιτεῖ ἕτερον τοιῦτον ἐπιφερόμενον· ὃ ὐκ ἂν ῥᾳδίως εἰκάσειέ τις. διορθωτέον ἀλλ' ὃν ἂν εἴη ἐκ τῶν ἐνόντων ὠδί· ὑ γὰρ ὁ πατάξας ὑ διὰ τὴν πληγὴν βιασάμενος ὑμᾶς ἐπιτρέψαι ἰατρῷ φονεύς ἐσιν, ἀλλ' ὁ ἄρξας τῆς πληγῆς μᾶλλον τῦ φονεύσαντος φονεὺς γίνεται.

δὲ οὐδὲ ὁ ἐπιβουλεύσας οὐδὲν μᾶλλον ὁ διωκόμενος τοῦ διώ-
9 κοντος. εἰ γὰρ ὁ μὲν ἄρξας τῆς πληγῆς, τύπτειν ᾗ μὴ ἀποκτείνειν διενοήθη, ὁ δὲ ἀμυνόμενος ἀποκτεῖναι, ἕτος ἂν ὁ ἐπιβουλεύσας εἴη. νῦν δὲ ὁ ἀμυνόμενος, τύπτειν ᾗ οὐκ ἀποκτεῖναι διανοηθείς, ἥμαρτεν εἰς ἃ οὐκ ἐβούλετο πατάξας.

1 β'. Τῆς μὲν οὖν πληγῆς βουλευτὴς ἐγένετο, τὸν δὲ θάνατον πῶς ἐπεβούλευσεν, ὅντινα ἀκουσίως ἐπάταξεν; οἰκεῖον δὲ τὸ ἁμάρτημα τῷ ἄρξαντι μᾶλλον ἢ τῷ ἀμυνο-
2 μένῳ ἐστίν. ὁ μὲν γὰρ ἃ ἔπαθεν ἀντιδρᾶν ζητῶν, ὑπ' ἐκείνου βιαζόμενος ἐξήμαρτεν· ὁ δὲ διὰ τὴν αὐτοῦ ἀκολασίαν πάντα δρῶν ᾗ πάσχων, ᾗ τῆς ἑαυτοῦ ᾗ τῆς ἐκείνου
3 ἁμαρτίας, δικαιότερος φονεὺς εἶναί ἐστιν. ὡς δὲ οὐδὲ κρείσσων ὢν, ἀλλὰ πολὺ ὑποδεέστερος ὢν ἔπαθεν ἠμύνετο, διδάξω. ὁ μὲν, ὑβρίζων ᾗ παροινῶν, πάντ' ἔδρα, καὶ
4 οὐδὲν ἠμύνατο· ὁ δὲ, μὴ πάσχειν, ἀλλὰ ἀπωθεῖσθαι ζητῶν, ἅτε ἔπαθεν ἀκουσίως ἔπαθεν, ἅτ' ἔδρασε τὰ παθήματα βουλόμενος διαφυγεῖν, ἐλασσόνως ἢ κατ' ἀξίαν τὸν ἄρξαντα ἠμύνετο, ᾗ οὐκ ἔδρα. εἰ δὲ κρείσσων ὢν τὰς χεῖρας, κρεισσόνως ἠμύνετο ἢ ἔπαθεν, οὐδ' οὕτω δίκαιος
5 ὑφ' ὑμῶν καταλαμβάνεσθαι ἐστί. τῷ μὲν γὰρ ἄρξαντι πανταχοῦ μεγάλα ἐπιτίμια ἐπίκειται, τῷ δὲ ἀμυνομένῳ,
6 οὐδαμοῦ οὐδὲν ἐπιτίμιον γέγραπται. πρὸς δὲ τὸ μὴ δικαίως μήτε ἀδίκως ἀποκέκριται. οὐ γὰρ ὑπὸ τῶν πληγῶν, ἀλλ'

(1) Ὅντινα ἀκουσίως] πῶς ἐπεβούλευσε τὸν θάνατον ἐκείνῳ, ὅντινα οὐκ ἐκ προβουλῆς οὐδ' ἐκ προνοίας ἐπάταξεν; (2) ζητῶν] ὅτως ἔγραψα ἀντὶ τοῦ, ζητῶν· ἁμάρτημα ἴσως τοῦ τύπτω· (2) ἐξήμαρτεν] πατάξας αὐτὸν καιρίως, ὅπερ ἦν κίνδυνος· (3) ὁ μὲν ὑβρίζων] ὁ μὲν γὰρ κρείσσων ὢν, ὑβρίζων μόνον, οὐκ ἂν ἐπάταξε· ὁ δὲ ὑποδεέστερος, ἀποφυγεῖν ζητῶν, ἔλαττον ἂν ἔδρασε, ἢ ἔπαθε· (4) ᾗ ὁ ἀποκτείνας] οὐδὲν ἧττον τοῦ θανόντος ἐστὶ προσρόπαιον τοῖς αἰτίοις· τουτέστι, ᾗ ὁ φονεύσας ᾗ ὁ φονευθεὶς ἀπὸ τοῦ ἴσου ᾗ ἐξ ἡμισείας ἐστὶ προσρόπαιον· ὅτος δ' εἴπερ ἀνοσίως διαφθαρῇ ὅλον τὸ μίασμα καθίσηι τοῖς αἰτίοις.

ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν, ὡς οἱ μάρτυρες μαρτυροῦσιν. ἔστι δὲ καὶ ἡ τύχη τοῦ ἄρξαντος, καὶ οὐ τοῦ 7
ἀμυνομένου. ὁ μὲν γὰρ ἀκουσίως πάντα δράσας ᾗ παθὼν, ἀλλοτρίᾳ τύχῃ κέχρηται· ὁ δὲ ἑκουσίως πάντα πράξας, 8
ἐκ τῶν αὐτοῦ ἔργων τὴν τύχην προσαγόμενος, τῇ αὐτοῦ ἀτυχίᾳ ἥμαρτεν.

γ'. Ὡς μὲν οὖν οὐδὲν ἔνοχος τῶν κατηγορημένων ὁ 1
διωκόμενος ἐστὶν, ἀποδέδεικται. εἰ δέ τις κοινὴν μὲν τὴν ἀτυχίαν αὐτῶν ἡγούμενος εἶναι, μηδὲν ἀπολύσιμον μᾶλλον ἢ καταλήψιμον ἐκ τῶν λεγομένων γινώσκει αὐτῶν ὄντα, ᾗ ἕτως ἀπολύειν μᾶλλον ἢ καταλαμβάνειν δι- 2
καιόν ἐστι. τόν τε γὰρ διώκοντα οὐ δίκαιον καταλαμβάνειν, μὴ σαφῶς διδάξαντα, ὅτι ἀδικεῖται· τόν τε φεύγοντα ἀνόσιον ἁλῶναι, μὴ φανερῶς ἐλεγχθέντα ἃ ἐπικαλεῖται. ἕτωσι ἐκ παντὸς τρόπου τῶν ἐγκλημάτων ἀπολυομένου τοῦ 3
ἀνδρὸς, ἡμεῖς ὁσιώτερον ὑμῖν ἐπισκήπτομεν ὑπὲρ αὐτοῦ, μὴ, τὸν φονέα ζητοῦντας κολάζειν, τὸν καθαρὸν ζητεῖν ἀποκτείνειν. ὅ,τε γὰρ ἀποκτείνας, τοῦ θανόντος οὐδὲν ἧσ- 4
σον τοῖς αἰτίοις προσρόπαιόν ἐστιν· ἕτός τε ἀνοσίως διαφθαρεὶς, διπλάσιον καθίσῃσι τὸ μίασμα τοῖς ἀποκτείνασιν αὐτόν. ταῦτα ἓν δεδιότες, τὸν μὲν καθαρὸν ὑμέτερον ἡγεῖσθε εἶναι ἀπολύειν τῆς αἰτίας· τὸν 5
δὲ μιαρὸν τῷ χρόνῳ ἀποδόντες φῆναι, τοῖς ἔγγιστα τιμωρεῖσθαι ὑπολείπετε. οὕτω γὰρ δικαιότατα ᾗ ὁσιώτατα πράξαιτ' ἄν.

ΑΝΤΙΦΩΝΤΟΣ

ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΗΡΩΔΟΥ ΦΟΝΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἕλος τις Μιτυληναῖος ἀνὴρ ἐξ Ἀθηνῶν κατ' αὐτὴν ἀνή-

γετο Ἡρώδῃ εἰς τὴν Αἶνον· ὡς δὲ πλέυντες ἐγένοντο ἐν τῇ Μηθύμνῃ τῆς Λέσβε, ἐπειδὴ ἀσέγαστον ἦν τὸ πλοῖον, εὑροντες ἕτερον ἐσεγασμένον μετέβησαν. εἰσελθόντων δὲ αὐτῶν ἐν αὐτῷ, ἐξῆλθε περὶ τὴν ἑσπέραν ὁ Ἡρώδης, καὶ ἐκέτι εἰσῆλθεν. ἐπανελθόντος ὧν αὐτῆ τῆ Ἕλε μόνε, οἱ συγγενεῖς τῆ τελευτήσαντος ἐγράψαντο μὲν τὸν Ἕλον ὡς κακέργον, ἐν δὲ τῷ δικασηρίῳ ἀγωνιζόμενοι εἶπον· ὅτι καὶ ἀπέκτεινεν αὐτόν. ὁ δὲ τὸ μὲν τῆς κακεργίας ἔγκλημα ἀπολύεται παραγραφικῶς, λέγων κακέργες εἶναι τὲς κλέπτας καὶ λωποδύτας, ὧν ἐδὲν ἀπέδειξάν με ποιήσαντα. μεταβαίνει δὲ εἰς τὴν ὑπὲρ τῆ φόνε ἀπολογίαν, καὶ εοχασικῶς ἀγωνίζεται. τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλες, κοινά.

Ε'.

1 ά. Ἐβελόμην, ὦ ἄνδρες, τὴν δύναμιν τῆ λέγειν, καὶ τὴν ἐμπειρίαν τῶν πραγμάτων, ἐξ ἴσε μοι καθεζάναι τῇ τε συμφορᾷ καὶ τοῖς κακοῖς τοῖς γεγενημένοις. νῦν δὲ τῆ μὲν πεπείραμαι πέρα τῆ προσήκοντος, τῆ δὲ ἐνδεής
2 εἰμι μᾶλλον τῆ συμφέροντος. ᾧ μὲν γάρ με ἔδει κακοπαθεῖν τῷ σώματι μετὰ τῆς αἰτίας τῆς ἐ προσηκέσης, ἐν-
3 ταυθοῖ ἐδέν με ὠφέλησεν ἡ ἐμπειρία· ᾧ δέ με δεῖ σωθῆναι μετὰ τῆς ἀληθείας εἰπόντα τὰ γενόμενα, ἐν τέτῳ με βλάπτει ἡ τῆ λέγειν ἀδυναμία. πολλοὶ γὰρ ἤδη τῶν ἐ δυναμένων λέγειν, ἄπιστοι γενόμενοι τοῖς ἀληθέσιν, αὐτοῖς τέτοις ἀπώλοντο, ἐ δυνάμενοι δηλῶσαι αὐτά.
4 πολλοὶ δὲ τῶν λέγειν δυναμένων, πιστοὶ γενόμενοι τῷ
5 ψεύδεσθαι, τέτῳ ἐσώθησαν, διότι ἐψεύσαντο. ἀνάγκη ἦν, ὅτάν τις ἄπειρος ἦ τῆ ἀγωνίζεσθαι, ἐπὶ τοῖς τῶν κα-

(1) Νῦν δὲ τῆ μὲν πεπείραμαι] τῆ ἐν συμφορᾷ γενέσθαι, ὥσε καὶ ἔμπειρον ἐντεῦθεν γενέσθαι· τῆ δὲ ἐνδεὴς εἰμί· τῆ δύνασθαι λέγειν. (2) ᾧ μὲν γὰρ ἔδει με κακοπαθεῖν·] ἐν τῇ εἰρκτῇ, ὅσον εἰκάσαι ἐκ τῶν ἑπομένων· ἴσε κατωτέρω· δ'. 5 καὶ ε'. 3. (3) ᾧ δέ με δεῖ σωθῆναι] ἐν τῷ δικασηρίῳ.

τηγόρων λόγοις εἶναι μᾶλλον, ἢ ἐπ' αὐτοῖς τοῖς ἔργοις καὶ τῇ ἀληθείᾳ τῶν πραγμάτων.

β'. Ἐγὼ οὖν. ὦ ἄνδρες, αἰτήσομαι ὑμᾶς· οὐχ ἅ- 1
περ οἱ πολλοὶ τῶν ἀγωνιζομένων, ἀκροᾶσθαι σφῶν αὐτῶν αἰτοῦνται, σφίσι μὲν αὐτοῖς ἀπιστοῦντες, ὑμῶν δὲ προκατεγνωκότες ἄδικόν τι (εἰκὸς γὰρ, ἐν ἀνδράσι γε ἀγαθοῖς, καὶ ἄνευ τῆς αἰτήσεως τὴν ἀκρόασιν ὑπάρχειν τοῖς φεύγουσιν, ἅπερ καὶ οἱ διώκοντες ἔτυχον ἄνευ αἰτήσεως) τάδε δὲ δέομαι ὑμῶν τοῦτο μὲν συγγνώμην ἔχειν 2
μοι, ἐάν τι τῇ γλώσσῃ ἁμάρτω, καὶ ἡγεῖσθαι ἀπειρίᾳ μᾶλλον αὐτῆ, ἢ ἀδικίᾳ ἡμαρτῆσθαι· τοῦτο δὲ, ἐάν τι ὀρθῶς εἴπω, ἀληθείᾳ μᾶλλον ἢ δεινότητι εἰρῆσθαι· οὐ γὰρ 3
δίκαιον οὔτ' ἔργῳ ἁμαρτόντα, διὰ ῥήματα σωθῆναι, οὔτ' ἔργῳ ὀρθῶς πράξαντα, διὰ ῥήματα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα, τῆς γλώττης ἁμάρτημά ἐσι· τὸ δ' ἔργον, τῆς γνώμης· ἀνάγκη δὲ κινδυνεύοντα περὶ αὐτῷ, καί πε τι καὶ ἐξαμαρτεῖν· ἐ γὰρ μόνον τῶν λεγομένων ἀνάγκη 4
ἐνθυμεῖσθαι, ἀλλὰ καὶ τῶν ἐσομένων· ἅπαντα γὰρ τὰ ἐν ἀδήλῳ ἔτ' ὄντα, ἐπὶ τῇ τύχῃ μᾶλλον ἀνάκειται ἢ τῇ προνοίᾳ· ταῦτ' οὖν ἔκπληξιν πολλὴν παρέχειν ἀνάγκη ἐσὶ 5
τῷ κινδυνεύοντι· ὁρῶ γὰρ ἔγωγε καὶ τὲς πάνυ ἐμπείρες τῆ ἀγωνίζεσθαι, πολλῷ χεῖρον ἑαυτῶν λέγοντας, ὅταν ἔν τινι κινδύνῳ ὦσιν· ὅταν δ' ἄνευ κινδύνων τὶ διαπράσσωνται, 6
μᾶλλον ὀρθεμένες· ἡ μὲν ἓν αἴτησις, ὦ ἄνδρες, καὶ νομίμως καὶ ὁσίως ἔχεσα, καὶ ἐν τῷ ὑμετέρῳ δικαίῳ ἐχ ἧσσον ἢ ἐν τῷ ἐμῷ.

γ'. Περὶ δὲ τῶν κατηγορεμένων ἀπολογήσομαι καθ' 1
ἕκασον· πρῶτον μὲν ἓν, ὡς παρανομώτατα καὶ βιαιότατα εἰς τόνδε τὸν ἀγῶνα καθέσηκα, τοῦτο ὑμᾶς διδάξω· ἐ τῷ φεύγειν ἂν τὸ πλῆθος τὸ ὑμέτερον· (ἐπεὶ κἂν ἀνομό- 2

(1) Οὐ τῷ φεύγειν ἂν τὸ πλῆθος τὸ ὑμέτερον] ἐχ ἵν' ἀποφύγοιμι τὴν ψῆφον τῆ πλήθες τῶν ἐνταυθοῖ συνελθόντων· ἐπεὶ ὑμῖν γε ἂν καὶ ἀνομοτοις ἂν

τοις ὑμῖν ᾗ μὴ κατὰ νόμον μηδένα ἐπιτρέψαιμι περὶ τοῦ σώματος τοῦ ἐμοῦ διαψηφίσασθαι, ἕνεκά γε τοῦ πιστεύειν ἐμοίτε μηδὲν ἐξημαρτῆσθαι εἰς τόδε τὸ πρᾶγμα, ᾗ ὑμᾶς 3 γνώσεσθαι τὰ δίκαια) ἀλλ' ἵνα ᾖ τεκμήρια ὑμῖν ᾗ τῶν ἀλλων πραγμάτων ᾗ τῶν εἰς ἐμὲ ἡ τούτων βιαιότης ᾗ παρανομία· πρῶτον μὲν γὰρ κακοῦργος ἐνδεδειγμένος, φόνου δίκην φεύγω· ὃ οὐδεὶς πώποτ' ἔπαθε τῶν ἐν τῇ γῇ ταύ- 4 τῃ· ᾗ ὡς μὲν ὁ κακοῦργός εἰμι, οὐδ' ἔνοχος τῷ τῶν κακούργων νόμῳ, αὐτοὶ ἕτοι τοῦτο μάρτυρες γεγένηνται· περὶ γὰρ τῶν κλεπτῶν ᾗ λωποδυτῶν ὁ νόμος κεῖται· ὧν 5 οὐδὲν ἐμοὶ προσὸν ἀπέδειξαν· ἕτως εἴς γε ταύτην τὴν ἀπαγωγὴν νομιμωτάτην ᾗ δικαιοτάτην πεποιήκασιν ὑμῖν τὴν 6 ἀποψήφισίν μου· φασὶ δὲ αὐτό τε τὸ ἀποκτείνειν, μέγα κακούργημα εἶναι, ᾗ ἐγὼ ὁμολογῶ μέγισόν γε· ᾗ τὸ ἱεροσυλεῖν ᾗ τὸ προδιδόναι τὴν πόλιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν 7 ἑκάστου οἱ νόμοι κεῖνται· ἐμοὶ δὲ πρῶτον μὲν, οὗ τοῖς ἄλλοις ἐῖργεσθαι προαγορεύουσι τοῖς τοῦ φόνου φεύγουσι τὰς δίκας ἐν- ταυθὶ πεποιήκασιτὴν κρίσιν, ἐν τῇ ἀγορᾷ· ἔπειτα τίμησίν 8 μοι ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείναντα ἀνταποθανεῖν, οὐ τοῦ ἐμοὶ συμφέροντος ἕνεκα, ἀλλὰ τοῦ σφίσιν αὐτοῖς λυσιτελοῦντος· ᾗ ἐνταῦθα ἔλασσον ἔνειμαν τῷ τεθνηκότι 9 τῶν ἐν τῷ νόμῳ κειμένων· ὃ δ' ἕνεκα, γνώσεσθε προϊόντος τοῦ λόγου· ἔπειτα δὲ, (ὃ πάντας οἶμαι ὑμᾶς ἐπίστασθαι) ἅπαντα τὰ δικαστήρια ἐν ὑπαίθρῳ δικάζει τὰς δίκας τοῦ φόνου· οὐδενὸς ἄλλου ἕνεκα, ἢ ἵνα τοῦτο μὲν οἱ δικασταὶ μὴ

ἐπιτρέψαιμι περὶ ἐμοῦ ψηφίσασθαι· διότι πιστεύω, ὅτι κἀγὼ οὐδὲν ἐξήμαρτον, ᾗ ὑμεῖς γνώσεσθε τὰ δίκαια. (3) ᾗ τῶν εἰς ἐμὲ] γεγενημένων κακῶν· ἢ ἐξαλειπτέον τὸν, Καί. (3) κακοῦργος ἐνδεδειγμένος] κακοῦργοι ἦσαν οἱ κλέπται ᾗ λωποδύται· ὧν ἡ δίκη ἔνδειξις ᾗ ἐνδείκνυσθαι (ἰδε ἐν τῷ Δημοσθένους Λεξικῷ) καλεῖται· τῶν δὲ φονέων, ἀπαγωγὴ φόνου. (5) δικαιοτάτην — ἀποψήφισίν μου] ἀπαγαγόντες γάρ με ἐνταῦθα, ὡς μὲν πρὸς φονέα δικάζονται τὴν δὲ κακουργίαν ἀποψηφίζονται· ἔδει γὰρ αὐτοὺς, εἴπερ, ἐν ἰδίῳ δικαστηρίῳ με κρίνειν περὶ κακουργίας.

ἴωσιν εἰς τὸ αὐτὸ τοῖς μὴ καθαροῖς τὰς χεῖρας· τοῦτο δὲ, 10 ὁ διώκων τὴν δίκην τοῦ φόνου, ἵνα μὴ ὁμορρόφιος γένηται τῷ αὐθέντῃ.

δ'. Σὺ δὲ τοῦτο μὲν, παρελθὼν τοῖτον τὸν νόμον, 1 τἐναντίον τοῖς ἄλλοις πεποίηκας· τοῦτο δὲ, δέον σε διομόσασθαι ὅρκον τὸν μέγισον ᾗ ἰσχυρότατον, ἐξώλειαν αὐτῷ ᾗ γένει ᾗ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον, ἢ μὴν μὴ ἄλλα κατηγορήσειν ἐμοῦ, ἢ εἰς αὐτὸν τὸν φόνον, ὡς ἔκτεινα· ἐν ᾧ ἔτ' ἂν κακὰ πολλὰ εἰργαμένος ἡλισκόμην, 2 ἄλλῳ ἢ αὐτῷ τῷ πράγματι, ἔτ' ἂν πολλὰ ἀγαθὰ εἰργασμένος, τούτοις ἄν ἐσωζόμην τοῖς ἀγαθοῖς· ἃ σὺ παρ- 3 ελθὼν, αὐτὸς σεαυτῷ τοὺς νόμους ἐξευρὼν, ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ οἱ μάρτυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν ὅρκον σοι διομοσαμένους, ᾗ ἁπτομένους τῶν σφαγίων, καταμαρτυρεῖν ἐμοῦ· ἔπειτα 4 κελεύεις τοὺς δικασὰς ἀνωμότοις πιστεύσαντας τοῖς μαρτυροῦσι, φόνου δίκην καταγνῶναι, ὃς σὺ αὐτὸς ἀπίστους κατέστησας, παρελθὼν τοὺς κειμένους νόμους, ᾗ λέγων χρῆναι αὐτοῖς τὴν σὴν παρανομίαν κρείσσω γενέσθαι αὐτῶν τῶν νόμων· λέγεις δὲ ὡς ἐκ ἂν παρέμεινα εἰ ἐλελύμην, 5 ἀλλ' ᾠχόμην ἂν ἀπιών, ὥσπερεὶ ἄκοντά με ἀναγκάσας εἰσελθεῖν εἰς τὴν γῆν ταύτην· καίτοι ἐμοὶ εἰ μηδὲν διέ- 6 φερε τῆσδε τῆς πόλεως, ἴσον ἦν μοι ᾗ προσκληθέντι μὴ ἐλθεῖν, ἀλλ ἐρήμην ὄφλειν τὴν δίκην· ἕτω δ' ἀπολογησαμένῳ τὴν προτέραν ἐξεῖναι ἐξελθεῖν· ἅπασι γὰρ τοῦτο κοινόν ἐστι· σύ δὲ ὃ τοῖς ἄλλοις Ἕλλησι κοινόν ἐστιν, ἰδίᾳ 7 ζητεῖς με μόνον ἀποστερεῖν, αὐτὸ σαυτῷ νόμον θέμενος·

(1) Ἐξώλειαν αὐτῷ] ἀρχαϊσμὸς ἀντὶ τοῦ, σαυτῷ· ἕτω δὲ ᾗ ἐπὶ πρώτου προσώπου κατωτέρω, 19, 1. (3) ἃ σὺ παρελθὼν] ταῦτα σὺ παρελθὼν· ἡ γὰρ συνέχεια ἄνωθεν ἕτω· δέον σε διομόσασθαι ἐξώλειαν σεαυτῷ ᾗ τλ. ταῦτα σὺ παρελθὼν — κατηγορεῖς.

1 ε΄. Καίτοι τές γε νόμες, οἳ κεῖνται περὶ τῶν τοιύτων,
πάντας ἂν οἶμαι ὁμολογῆσαι κάλλιςα νόμων ἁπάντων κεῖ-
σθαι ᾗ ὁσιώτατα· ὑπάρχει μέν γε αὐτοῖς ἀρχαιοτάτοις
εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τὲς αὐτὲς εἶναι ἀεὶ περὶ
τῶν αὐτῶν· ὅπερ μέγιςόν ἐςι σημεῖον νόμων καλῶς κειμέ-
2 νων· ὁ γὰρ χρόνος ᾗ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα
ἐκδιδάσκει τὲς ἀνθρώπες· ὥςε ἃ δεῖ ὑμᾶς ἐκ τῶν τὲ κα-
τηγόρε λόγων τὲς νόμες καταμανθάνειν, εἰ καλῶς ὑμῖν
κεῖνται ἢ μή· ἀλλ' ἐκ τῶν νόμων τὲς τὲ κατηγόρε λό-
γες, εἰ ὀρθῶς ᾗ νομίμως ὑμᾶς διδάξουσι τὸ πρᾶγμα, ἢ
3 ἄ· ἔτως οἵγε νόμοι κάλλιςα κεῖνται οἱ περὶ φόνε, ἓς ἐδεὶς
πώποτε ἐτόλμησε κινῆσαι· σὺ δὲ μόνος δὴ τετόλμηκας
γενέσθαι νομοθέτης ἐπὶ τὰ πονηρότατα· ᾗ ταῦτα παρελ-
4 θὼν, ζητεῖς με ἀδίκως ἀπολέσαι· ἃ δὲ σὺ παρανομεῖς,
αὐτὰ ταῦτα μέγισά μοι μαρτύριά ἐσιν· εὖ γὰρ ᾔδεις,
ὅτι ἐδεὶς ἂν ἦν σοι, ὃς ἐκεῖνον τὸν ὅρκον διομοσάμενος
ἐμὲ κατεμαρτύρησεν· ἔπειτα δὲ οὐχ ὡς πισεύων τῷ
πράγματι, ἀναμφισβητήτως ἕνα τὸν ἀγῶνά περὶ τοῦ
πράγματος ἐποιήσω. ἀλλὰ ἀμφισβήτησιν ᾗ λόγον ὑπε-
5 λίπε, ὡς ᾗ τοῖς τότε δικασαῖς ἀπισήσων· ὥτε μηδέν μοι
ἐνθάδε μηδὲ πλέον εἶναι μηδ' ἀποφυγόντι, ἀλλ' ἐξεῖναί
σοι λέγειν, ὅτι κακῦργος ἀπέφυγον, ἀλλ' ᾗ τὲ φόνε τὴν
δίκην· ἑλὼν δ' ἄν, ἀξιώσεις με ἀποκτεῖναι, ὡς τὲ φόνε
6 τὴν δίκην ὠφληκότα· καίτοι πῶς ἂν εἴη τύτων δεινότερα
μηχανήματα, εἰ ἡμῖν μὲν ἅπαξ ἀποφυγῆσιν οἱ αὐτὸς κίν-

(3) Καὶ ταῦτα παρελθὼν] ᾗ κατὰ ταῦτα παρελθὼν εἰς τὲς δικασάς· εἰ δὲ ἐκλάβοιμεν τὸ, παρελθὼν, ἀντὶ τῦ, παραβάς, ὃκ οἶδ' ὅ,τι βύλεται λέγειν τὸ, ταῦτα· ὅπερ ἀντὶ τῦ, ἅτω, ταύτῃ, ἐπιῤῥηματικῶς πως ἐκληφθὲν, οἶμαι, ἐῤῥῶται· ἢ ἀναφορικῶς πρὸς τὸ, πονηρότατα. (4) ἕνα τὸν ἀγῶνα] περὶ μόνε τῦ φόνε δηλονότι, ἀλλ' ἅμα ᾗ περὶ κακῦργήματος. (5) ὅτι κακῦργος] ὅτι ὡς κακῦργος· ἢ γραπτέον μᾶλλον κακυργίας.

δυνος ὑπολείπεται, τύτῳ δὲ πάλιν εἰς ἡμᾶς ἐπηρεάζειν
ἐξέσαι;

ς΄. Ἔτι δὲ μάλ' ἐδέθην, ὦ ἄνδρες, παρανομώτατα 1
ἁπάντων ἀνθρώπων· ἐθέλοντος γάρ με ἐγγυητὰς τρεῖς
καθισάναι κατὰ τὸν νόμον, ἔτως ἔτοι διεπράξαντο τῦτο
ὥςε μὴ ἐγγενέσθαι μοι ποιῆσαι· τῶν δὲ ἄλλων ξένων, ὅςις
πώποτε ἠθέλησε καθσῆσαι ἐγγυητὰς, ἐδεὶς πώποτ' ἐ-
δέθη· καίτοι οἱ ἐπιμεληταὶ τῶν κακύργων τῷ αὐτῷ 2
χρῶνται νόμῳ τύτῳ· ὥςε ᾗ ἔτος κοινὸς τοῖς ἄλλοις πᾶ-
σιν ὢν, ἐμοὶ μόνῳ ἐπέλιπε μὴ ὠφελεῖσθαι τῦδε τῦ νόμε·
τύτοις γὰρ ἦν τοῦτο συμφέρον· πρῶτον μὲν, ἀπαρασ- 3
κευότατον γενέσθαι με, μὴ δυνάμενον διαπράσσεσθαι τἀ-
μαυτῦ πράγματα· ἔπειτα, κακοπαθεῖν τῷ σώματι· τές
τε φίλες προθυμοτέρες ἔχειν τὲς ἐμαυτῦ τύτοις τὰ ψευ-
δῆ μαρτυρεῖν, ἢ ἐμοὶ τἀληθῆ λέγειν, διὰ τὴν τῦ σώμα-
τος κακοπάθειαν· ὄνειδός τε αὐτῷ τε ἐμοὶ περιέσεισαν ᾗ 4
τοῖς ἐμοῖς προσήκεσιν εἰς τὸν βίον ἅπαντα· ἔτωσὶ μὲν
δὴ πολλοῖς ἂν σωθεὶς τῶν νόμων τῶν ὑμετέρων ᾗ τοῦ δι-
καίε, καθέσηκα εἰς τὸν ἀγῶνα· ὅμως μέντοι γε ᾗ ἐκ 5
τύτων πειράσομαι ἐμαυτὸν ἀναίτιον ἐπιδεῖξαι· καίτοι χαλε-
πόν γε τὰ ἐκ πολλῦ κατεψευσμένα ᾗ ἐπιβεβελευμένα, ταῦ-
τα παραχρῆμα ἀπελέγχειν· ἃ γάρ τις μὴ προσεδόκησεν,
ἐδὲ φυλάξασθαι ἐγχωρεῖ. Ἐγὼ δὲ τὸν μὲν πλῦν ἐποιησά- 6
μην ἐκ τῆς Μιτυλήνης, ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων,
ᾧ Ἡρώδης ἔτος, ὃν φασιν ὑπ' ἐμῦ ἀποθανεῖν· ἐπλέομεν

(2) Τῦδε τῦ νόμε] ἃ καταγνῶ ὅπη ἀποδοτέον τὴν γενικὴν ταύτην· ᾗ ὅπως περιττῶς εἰσέφρησεν εἰς τὸν λόγον· ὁ γὰρ νῦς, οἶμαι, ἄνωθεν ἔχει ὧδε· ὥςε ᾗ ἔτος ὁ νόμος κοινὸς ὢν τοῖς πᾶσι, μόνῳ ἐμοὶ τῆς κοινωνίας ταύτης ἃ μεταδέδωκεν, ὥςε κἀμὲ ὠφελεῖσθαι ὑπ' αὐτῦ· δύναται ἀλλ' ἔν ᾗ τὸ ὠφελεῖσθαι πρὸς γενικὴν φέρεσθαι μετασιασικῶς κατὰ τὸ ἀπολαύειν ᾗ ἀναθαι· τὸ δὲ, τῦδε τῦ νόμε, ἕως τὸ μὲν, τῦδε, ἀντὶ ἀναφορικῆς, αὐτῦ· τὸ δὲ, νόμε, ἐπεξήγησις ἑτέρας χειρός. (4) περιέσεισαν] ὅ,τε νῦς ᾗ ἡ τῦ λόγε συνέχεια ἀπαιτοίη μᾶλλον περιςεῖσαι, ἢ περιςῆναι.

δὲ τὴν εἰς Αἶνον, ἐγὼ μέν, ὡς τὸν πατέρα· (ἐτύγχανε
7 γὰρ ἐκεῖ ὢν τότε) ὁ δ' Ἡρώδης ἀνδράποδα Θρᾷξιν ἀν-
θρώποις ἀπαλύσων· συνέπλει δὲ τά τε ἀνδράποδα ἃ ἔδει
αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷκες οἱ λυσόμενοι· τούτων δ'
ὑμῖν τοὺς μάρτυρας παρέξομαι· ΜΑΡΤΥΡΕΣ.

1 ζ'. Ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ, αὕτη· ἐτύ-
χομεν δὲ χειμῶνι τινὶ χρησάμενοι, ὑφ' οὗ ἠναγκάσθημεν
καταχθεῖν εἰς τῆς Μηθυμναίας τι χωρίον, ἔνθα τὸ πλοῖον
ὥρμει τοῦτο, εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτὸν τὸν
2 Ἡρώδην· καὶ πρῶτον μὲν αὐτὰ ταῦτα σκοπεῖτε, ὅτι μὴ
προνοίᾳ μᾶλλον ἐγίνετο ἢ τύχῃ· ὅτε γὰρ πείσας τὸν ἄν-
δρα ἐδαμοῦ ἀπελέγχομαι σύμπλουν μοι γενέσθαι, ἀλλ' αὐ-
τὸς καθ' αὑτὸν τὸν πλοῦν πεποιημένος, πραγμάτων ἕνε-
3 κεν ἰδίων· ἔτ' ἔν ἡγῶ ἄνευ προφάσεως ἱκανῆς φαίνομαι
τὸν πλοῦν ποιησάμενος εἰς τὴν Αἶνον, ὅτε καταχόντες εἰς
τὸ χωρίον τοῦτο ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ' ἀνάγκῃ
4 χρησάμενοι· ἔτ' αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετάβασις
ἐγένετο εἰς τὸ ἕτερον πλοῖον ἑδενὶ μηχανήματι ἀδ' ἁπά-
5 τῃ· ἀλλ' ἀνάγκη καὶ τοῦτο ἐγίγνετο· ἐν ᾧ γὰρ ἐπλέομεν,
ἀσέγαστον ἦν τὸ πλοῖον· εἰς ὃ δὲ μετέβημεν, ἐσεγασμένον.
τοῦ δὲ ὑετοῦ ἕνεκα ταῦτ' ἦν· τούτων δ' ὑμῖν μαρτυρίας πα-
ρέξομαι· ΜΑΡΤΥΡΕΣ.

1 η'. Ἐπειδὴ δὲ μετέβημεν εἰς τὸ ἕτερον πλοῖον, ἐπί-
νομεν· καὶ ὁ μέν ἐσι φανερὸς ἐκβὰς τοῦ πλοίου· καὶ ἐκ εἰσ-
βὰς πάλιν· ἐγὼ δὲ τὸ παράπαν ἐκ ἐξέβην τοῦ πλοίου τῆς
νυκτὸς ἐκείνης· τῇ δ' ὑσεραία, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνὴρ,
ἐζητεῖτο ἑδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων, ἢ καὶ ὑπ' ἐμοῦ· καὶ
2 εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως· καὶ εἴς
τε τὴν Μιτυλήνην ἐγὼ αἴτιος ἦν πεμφθῆναι ἄγγελον,

(1) Αὐτὸν τὸν Ἡρώδην] ἑτέρας χειρὸς ἐπεξήγησίς ἐσι τὸ, Ἡρώδης. (2) ἔτ' ἔν] ἴσως, ἔτ' ἄν. (3) ὅτε κατασχόντες] ἀπελεγχόμεθα.

καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο· καὶ ἄλλε ἑδενὸς ἐθέλοντος βαδί-
ζειν, ὅτε τῶν ἀπὸ τοῦ πλοίου, ὅτε τῶν αὐτῷ τῷ Ἡρώδῃ συμ-
πλεόντων, ἐγὼ τὸν ἀπόλεθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοι-
μος ἦν· καίτοι γε ἐ δή πε κατ' ἐμαυτοῦ μηνυτὴν ἔπεμπον, 3
εἰδώς· ἐπειδὴ δὲ ὁ ἀνὴρ ὅτε ἐν τῇ Μιτυλήνῃ ἐφαίνετο,
ζητέμενος, ὅτ' ἄλλοθεν ἑδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίνετο.
καὶ τἄλλ' ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην κἀγὼ πλέων·
τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι· ΜΑΡΤΥΡΕΣ.

θ'. Τὰ μὲν γενόμενα, ταῦτ' ἐσίν· ἐκ δὲ τούτων ἤδη 1
σκοπεῖτε τὰ εἰκότα· πρῶτον μὲν γὰρ πρὶν ἀνάγεσθαί με
εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνὴρ, ἑδεὶς ἠτιάσατό με
ἀνθρώπων, ἤδη πεπυσμένων τούτων τὴν ἀγγελίαν· ἐγὰρ 2
ἄν ποτε ᾠχόμην πλέων· ἀλλ' εἰς μὲν τὸ παραχρῆμα
κρεῖσσον ἦν τὸ ἀληθὲς, καὶ τὸ γεγενημένον, τῆς τούτων
αἰτιάσεως· καὶ ἅμα ἐγὼ ἔτι ἐπεδήμεν· ἐπειδὴ δὲ ἐγώ τε
ᾠχόμην πλέων, καὶ ἔτοι ἐξ ἐπιβελῆς συνέθεσαν ταῦτα καὶ
ἐμηχανήσαντο κατ' ἐμοῦ, τότε ἠτιάσαντο· λέγεσι δὲ ὡς 3
ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνὴρ, κἀγὼ λίθον αὐτῷ ἐνέβα-
λον εἰς τὴν κεφαλήν· ὃς ἐκ ἐξέβην τὸ παράπαν ἐκ τοῦ πλοίου
καὶ τοῦτο μὲν ἀκριβῶς ἔτοι ἴσασιν· ὅπως δ' ἠφανίσθη ὁ ἀ-
νὴρ, ἑδενὶ λόγῳ εἰκότι δύνανται ἀποφαίνειν· δῆλον γάρ 4
πε, ὅτι ἐγγύς πε τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γενέσθαι·
τοῦτο μὲν μεθύοντος τοῦ ἀνδρὸς, τοῦτο δὲ νύκτωρ ἐκβάν-
τος ἐκ τοῦ πλοίου· ὅτε γὰρ αὐτοῦ κρατεῖν ἴσως ἂν ἐδύ- 5
νατο, ὅτε τῷ ἀπάγοντι νύκτωρ μακρὰν ὁδὸν ἡ πρόφασις
ἂν εἰκότως ἐγίνετο· ζητεμένε δὲ τοῦ ἀνδρὸς δύο ἡμέρας 6
ἐν τῷ λιμένι, καὶ ἄπωθεν τοῦ λιμένος, ὅτε ὀπτὴρ ἑδεὶς

(2) Ἐπεδήμεν] ἴσως ἁπλῶς, οἶμαι, ἐκλαμβάνεται ἀντὶ τοῦ, παρῆν· εἰδέ γε ἐννοήσαιμεν, εἰς Ἀθήνας, προσθετέον ἂν εἴη τὸ, ἄν· οἷον καὶ ἅμα γὼ ἐπεδήμεν ἂν εἰς Ἀθήνας· ἀλλ' ἐξελέγχεται καὶ ὑπὸ τοῦ, ἔτι, ἀντὶ τοῦ,

ἐφάνη, ἤΘ' αἷμα, ἤτ' ἄλλο σημεῖον ἰδέν· κἄτ' ἐγὼ συγ-
χωρῶ τῷ τότε λόγῳ παρεχόμενος τὰς μάρτυρας, ὡς ἐκ
7 ἐξέβην ἐκ τῆ πλοίε, ἰδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα
λαθεῖν τὸν ἄνθρωπον, εἴπερ μὴ πάνυ πόρρω ἀπῆλθεν ἀ-
πὸ τῆς θαλάσσης· ἀλλ' ὡς κατεποντώθη λέγεσιν· ἐν
8 τίνι πλοίῳ; δῆλον γὰρ, ὅτι ἐξ αὐτε τε λιμένος ἦν τὸ
πλοῖον· πῶς ἂν ἓν οὐκ ἐξευρέθη; ἢ μὴν εἰκός γε ἦν ἢ
σημεῖόν τι γενέσθαι ἐν τῷ πλοίῳ ἀνδρὸς τεθνεῶτος, ἢ
9 ἐκβαλλομένε νύκτωρ· νῦν δὲ ἐν ᾧ μὲν ἔπινε πλοίῳ, ἢ ἐξ
οὗ ἐξέβαινεν, ἐν τέτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ αὐτοὶ
μὴ ὁμολογέσιν ἀποθανεῖν τὸν ἄνδρα· ἐν ᾧ δὲ κατεπον-
τώθη, ἐχ εὗρον ἤτ' αὐτὸ τὸ πλοῖον, ἔτε σημεῖον ἰδέν· τέ-
των δ' ὑμῖν τοὺς μάρτυρας παρασήσομαι. ΜΑΡΤΥ-
ΡΕΣ.

1 ί. Ἐπειδὴ δὲ ἐγὼ φροντίδος ἦν πλέων εἰς τὴν Αἶνον,
τὸ πλοῖον ἦκεν εἰς τὴν Μιτυλήνην, ἐν ᾧ ἐγὼ ἢ Ἡρώδης
ἐπλέομεν, πρῶτον μὲν εἰσβάντες εἰς τὸ πλοῖον ἠρεύνων·
ἢ ἐπειδή τι αἷμα εὗρον, ἐνταῦθα ἔφασαν τεθνᾶναι τὸν
2 ἄνδρα· ἐπειδὴ δὴ αὐτοῖς τέτο οὐκ ἐχώρει, ἀλλ' ἐφαίνετο
τῶν προβάτων ὂν αἷμα, ἀποτραπόμενοι τέτε τε λόγε,
συλλαβόντες ἐβασάνιζον τὰς ἀνθρώπας· ἢ ὧν μὲν τότε πα-
ραχρῆμα ἐβασάνισαν, ἕτος μὲν ἰδὲν εἶπε περὶ ἐμε φλαῦ-
3 ρον· ὧν δ' ἡμέραις ὕσερον πολλαῖς ἐδαπάνησαν, ἔχοντες
παρὰ σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, ἕτος ἦν ὁ πεισ-
θεὶς ὑπὸ τέτων ἢ καταψευσάμενος ἐμε· παρέξομαι δὲ
τούτων τὰς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

1 ιά. Ὡς μὲν ὕσερον τούτῳ τῷ χρόνῳ ὁ ἀνὴρ ἐβασανί-
σθη, μεμαρτύρηται ὑμῖν· προσέχετε δὲ τὸν νῦν αὐτῇ τῇ
2 βασάνῳ, οἷα γεγένηται· ὁ μὲν γὰρ δοῦλος, ᾧ ἴσως ἔ-

παρῆν, ἐκληφθέν. (6) κἄτ' ἐγὼ ξυγχωρῶ] εἶτα πῶς ἐγὼ ξυγχωρήσαι μι τῷ λόγῳ τέτων, ἐν ᾧ διαμαρτύρομαι, ὡς ἐκ ἐξέβην τε πλοίε.

τοι τέτο μὲν ἐλευθερίαν ὑπέχοντο, τοῦτο δ' ἐπὶ τούτοις
ἦν παύσασθαι κακέμενον αὐτὸν, ἴσως ὑπ' ἀμφοῖν πειθεὶς,
κατεψεύσατό με· τὴν μὲν ἐλευθερίαν ἐλπίσας οἴσεσθαι, 3
τῆς δὲ βασάνε εἰς τὸ παραχρῆμα βελόμενος ἀπαλλάχθαι·
οἶμαι δ' ὑμᾶς ἐπίστασθαι τέτο, ὅτι ἐφ' οἷς ἂν τὸ πλεῖσον
μέρος ᾖ τῆς βασάνε, πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι
λέγειν ὅ, τι ἂν ἐκείνοις μέλλωσι χαριεῖσθαι· ἐν τέτοις γὰρ
αὐτοῖς ἐσιν ἡ ὠφέλεια· ἄλλως τε κἂν μὴ παρόντες τυγχάνω- 4
σιν, ὧν ἂν καταψεύδωνται· εἰ γὰρ ἐγὼ ἐκέλευον αὐτὸν σρε-
βλοῦν ὡς οὐ τἀληθῆ λέγοντα, ἴσως ἂν ἐν αὐτῷ τούτῳ
ἀπετρέπετο μηδὲν κατ' ἐμε καταψεύδεσθαι· νῦν δὲ αὐτοὶ 5
ἦσαν ἢ βασανισαὶ ἢ ἐπιτιμηταὶ τῶν σφίσιν αὐτοῖς συμ-
φερόντων· ἕως μὲν ἓν μετὰ χρησῆς τῆς ἐπίδος ἐγίνωσκέ
με καταψευσάμενος, τούτῳ διϊχυρίζετο τῷ λόγῳ· ἐπει-
δὴ δὲ ἐγίνωσκεν ἀποθανέμενος, ἐνταῦθ' ἤδη τῇ ἀληθείᾳ
ἐχρῆτο, ἢ ἔλεγεν, ὅτι πεισθείη ὑπὸ τούτων ἐμε κατα-
ψεύδεσθαι· διαπειραθέντα δ' αὐτὸν τὰ ψευδῆ λέγειν, 6
ὕσερον δὲ τἀληθῆ λέγοντα, ἑδέτερα ὠφέλησαν, ἀλλ'
ἀπέκτειναν ἄγοντες τὸν ἄνδρα τὸν μηνυτήν· ᾧ πισεύοντες
ἐμὲ διώκεσι, τἐναντίον ποιήσαντες ἢ οἱ ἄλλοι ἄνθρωποι·
οἱ μὲν γὰρ ἄλλοι τοῖς μηνυταῖς, τοῖς μὲν ἐλευθέροις χρή- 7
ματα, τὰς δὲ δάλας ἐλευθερᾶσιν· ἕτοι δὲ θάνατον τῷ
μηνυτῇ τὴν δωρεὰν ἀπέδοσαν, ἀπαγορευόντων τῶν φίλων
τῶν ἐμῶν μὴ ἀποκτείνειν τὸν ἄνδρα πρὶν ἂν ἐγὼ ἔλθοιμι·

ιβ'. Δῆλον ἓν, ὅτι ἐ τε σώματος αὐτε χρεία ἦν αὐ- 1
τοῖς, ἀλλὰ τῶν λόγων· ζῶν μὲν γὰρ ὁ ἀνὴρ διὰ τῆς αὐ-
τῆς βασάνε ἰὼν ὑπ' ἐμε, κατήγορος ἂν ἐγίνετο τῆς τέ-

(3) Ἐφ' οἷς ἂν τὸ πλεῖσον μέρος τῆς βασάνε ᾖ] προσέθηκα τὸ, ᾖ, ἀ-
παιτέμενον ἀναγκαίως· ὁ δὲ νῦς πρὸς τέτες οἱ βασανιζόμενοι κλίνεσι μᾶλ-
λον, οἵτινες ἔχεσιν ἄδειαν βασανίσαι αὐτὰς τὸ πλέον τῆς βασάνε. (3) πρὸς
τέτων] πρὸς τὸ μέρος τέτων. (5) ἐπιτιμηταὶ] οἷον δικασαὶ, διορισαί.

των ἐπιβελῆς· τεθνεὼς δὲ τὸν ἔλεγχον τῆς ἀληθείας ἀ-
2 πεσέρει δι' αὐτὸ τοῦτο τοῦ σώματος ἀπολλυμένου· τοῖς δὲ λόγοις
τοῖς ἐψευσμένοις ὑπ' ἐκείνου, ὡς ἀληθέσιν ἔσιν, ἐγὼ ἀ-
πόλλυμαι· τούτων δὲ μάρτυράς μοι κάλει· ἐχρῆν μὲν γὰρ
αὐτοὺς (ὡς ἐγὼ νομίζω) ἐνθάδε παρέχοντας τὸν μηνυτὴν
αὐτὸν ἀπελέγχειν ἐμὲ, ἢ αὐτῷ τούτῳ χρῆσθαι ἀγωνί-
σματι, ἐμφανῆ παρέχοντας τὸν ἄνδρα, ἢ κελεύοντας βα-
3 σανίζειν, ἀλλὰ μὴ ἀποκτεῖναι. φέρε γὰρ δὴ ποτέρῳ
χρήσονται τῶν λόγων; πότερα ᾧ πρῶτον εἶπεν, ἢ ᾧ ὕ-
στερον; ἢ πότερα ἀληθῆ ἐστιν, ὅτ' ἔφη με εἰργάσθαι τὸ
4 ἔργον, ἢ ὅτ' οὐκ ἔφη· εἰ μὲν γὰρ ἐκ τοῦ εἰκότος ἐξετα-
σθῆναι δεῖ τὸ πρᾶγμα, οἱ ὕστεροι λόγοι ἀληθέστεροι φαί-
νονται· ἐψεύδετο μὲν γὰρ ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ· ἐπειδὴ
δὲ ψεύδεσθαι ἀπώλλυτο, ἠγήσατο τἀληθῆ κατειπὼν διὰ
τούτου σωθῆναι ἄν·

1 ιγ'. Τῆς μὲν οὖν ἀληθείας οὐκ ἦν αὐτῷ τιμωρὸς οὐδείς·
ἐγὼ γὰρ παρὼν ἐγὼ ἐτύγχανον, ᾧπερ σύμμαχος ἦν ἡ ἀλή-
θεια τῶν ὑστέρων λόγων· τοὺς δὲ προτέρους λόγους τοὺς κα-
τεψευσμένους ἦσαν οἱ ἀφανιοῦντες, ὥστε μηδέποτε εἰς τὸ
ἀληθὲς καταστῆναι· καὶ οἱ μὲν ἄλλοι, καθ' ὧν μηνύοι ἄν τις,
2 αὐτοὶ κλέπτουσι τοὺς μηνύοντας, κἄστα ἀφανίζουσιν· αὐτοὶ
δὲ ἦτοι οἱ ἀπάγοντες καὶ ζητοῦντες τὸ πρᾶγμα, τὸν κατ'
ἐμοῦ μηνυτὴν ἠφάνισαν· καὶ εἰ μὲν ἐγὼ τὸν ἄνδρα ἠφάνισα,
ἢ μὴ ἤθελον ἐκδοῦναι τούτοις, ἢ ἄλλον τινὰ ἔφευγον ἔ-
λεγχον, αὐτοὶ δὴ τούτοις ἰσχυροτάτοις εἰς τὰ πράγματα
3 ἐχρῶντο· καὶ ἦν ταῦτα αὐτοῖς μέγιστα τεκμήρια κατ' ἐμοῦ·
νῦν δὲ, ὁπότε αὐτοὶ ἦτοι προκαλεμένων τῶν φίλων τῶν ἐμῶν

(1) Διὰ τοῦ σώματος ἀπολλυμένου] τεθνεὼς δὲ ἀπεσέρει (ἀνεμὲ) τὸν διὰ τοῦ ἑαυτοῦ σώματος τῆς ἀληθείας γενησόμενον ἔλεγχον, ὡς ἀπολλυμένου ἤδη.
(4) ἐπειδὴ ψεύδεσθαι ἀπώλλυτο] γραπτέον δυοῖν θάτερον, ἢ ἐπὶ τῷ ψευδέσθαι, ἢ ψευδόμενος.
(2) Οἱ ἀπάγοντες] ἐμὲ εἰς τὸ δικαστήριον· ἢ τὴν ἐπὶ θάνατον.

ταῦτ' ἔφυγον, ἐμοὶ δήπου κατὰ τούτων εἶναι χρὴ ταῦτα
τὰ τεκμήρια, ὡς οὐκ ἀληθῆ τὴν αἰτίαν ἐπέφερον, ἣν
ᾤοντο·

ιδ'. Ἔτι δὲ καὶ τάδε λέγουσιν, ὡς ὡμολόγει ὁ ἄνθρω- 1
πος βασανιζόμενος συναποκτεῖναι τὸν ἄνδρα· ἐγὼ δὲ φη- 2
μὶ ταῦτα μὲν οὐ λέγειν αὐτόν· ὅτι δὲ ἐξάγοι ἐμὲ καὶ τὸν
ἄνδρα ἐκ τοῦ πλοίου, καὶ ὅτι ἤδη τεθνεῶτα αὐτὸν ὑπ' ἐμοῦ
ἐνθεὶς εἰς τὸ πλοῖον καταποντώσειε· καίτοι σκέψασθε, 3
ὅτι πρῶτον μὲν πρὶν ἐπὶ τὸν τροχὸν ἀναβῆναι, ὁ ἀνὴρ 4
μέχρι τῆς ἐσχάτης ἀνάγκης τῇ ἀληθείᾳ ἐχρῆτο, καὶ ἀ-
πέλυέ με τῆς αἰτίας· ἐπειδὴ δὲ ἐπὶ τὸν τροχὸν ἀνέβη, 5
τῇ ἀνάγκῃ χρώμενος ἤδη κατεψεύδετό μου, βουλόμενος ἀ-
πηλλάχθαι τῆς βασάνου· ἐπειδὴ δὲ ἐπαύσατο βασανιζόμε- 6
νος, οὐκέτι ἔφη με τούτων εἰργάσθαι οὐδέν, ἀλλὰ τὸ τε-
λευταῖον ἀπώμοσεν ἐμέ τε καὶ αὐτὸν ὡς ἀδίκως ἀπολλυμέ-
νους· οὐ χάριτι τῇ ἐμῇ (πῶς γάρ; ὅς γε κατεψεύσατο) 7
ἀλλ ἀναγκαζόμενος ὑπὸ τοῦ ἀληθοῦς, καὶ βεβαιῶν τοὺς
πρώτους λόγους, ὡς ἀληθεῖς εἰρημένους· ἔπειτα δὲ ὁ ἕτε- 8
ρος ἄνθρωπος ἐν τῷ αὐτῷ πλοίῳ πλέων καὶ παρὼν διὰ τέ-
λους, καὶ συνών μοι, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος, τοῖς
μὲν πρώτοις καὶ τοῖς ὕστερον λόγοις τοῖς τοῦ ἀνθρώπου συνε-
φέρετο, ὡς ἀληθέσιν ἔσι· (διὰ τέλους γάρ με ἀπέλυε)
τοῖς δ' ἐπὶ τοῦ τροχοῦ λεγομένοις, οὓς ἐκεῖνος ἀνάγκῃ 9
μᾶλλον ἢ ἀληθείᾳ ἔλεγε, τούτοις δὲ διεφέρετο· ὁ μὲν
γὰρ ἐκβάντα ἔφη με ἐκ τοῦ πλοίου ἀποκτεῖναι τὸν ἄνδρα,
καὶ αὐτὸς ἤδη τεθνεῶτα συναπελεῖν μοι· ὁ δὲ τὸ παράπαν 10
ἔφη οὐκ ἐκβῆναί με τοῦ πλοίου· καίτοι τὸ εἰκὸς σύμμαχόν
μοι ἐστίν· οὐ γὰρ δήπου οὕτω κακοδαίμων ἐγὼ, ὥστε τὸ
μὲν ἀποκτεῖναι τὸν ἄνδρα προὐνοησάμην μόνος, ἵνα μοι

(5) Τῇ ἀνάγκῃ χρώμενος] ἐν τοῖς παροῦσι κακοῖς ὢν, μὴ ἔχων ὅ,τι ἂν

11 μηδεὶς σηνειδείη, ἐν ᾧ μοι ὁ πᾶς κίνδυνος ἦν· ἤδη δὲ πεπραγμένου μοι τοῦ ἔργου, μάρτυρας καὶ συμβούλους ἐποιούμην· καὶ ἀπέθανε μὲν ἀνὴρ οὑτοσὶ ἐγγὺς τῆς θαλάσσης καὶ τῶν πλοίων (ὡς ὁ τούτων λόγος ἐστὶν) ὑπὸ δὲ ἑνὸς ἀνδρὸς ἀποθνήσκων, ἔτε ἀνέκραγεν, ἔτ' αἴσθησιν
12 οὐδεμίαν ἐποίησεν; ἔτε τοῖς ἐν τῇ γῇ, ἔτε τοῖς ἐν τῷ πλοίῳ; ᾗ μὴν πολλῷ πλέον γε ἀγνοεῖν ἐστι νύκτωρ ἢ μεθ' ἡμέραν, ἐπ' ἀκτῆς, ἢ κατὰ πόλιν· ᾗ μὴν ἔτι ἐγρηγορότων
13 φασὶν ἐκβῆναι τὸν ἄνδρα ἐκ τοῦ πλοίου· ἔπειτα ἐν τῇ γῇ μὲν ἀποθανόντος, ἐντιθεμένου δὲ εἰς τὸ πλοῖον, ἔτε ἐν τῇ γῇ σημεῖον οὐδὲ αἷμα ἐφάνη, οὔτε ἐν τῷ πλοίῳ· νύκτωρ μὲν ἀναιρεθέντος, νύκτωρ δὲ τιθεμένου εἰς τὸ
14 πλοῖον· ἢ δοκεῖ ἂν ὑμῖν ἄνθρωπος δύνασθαι ἐν τοιούτῳ πράγματι ὢν τά τ' ἐν τῇ γῇ ὄντα ἀναξύσαι, καὶ τὰ ἐν τῷ πλοίῳ ἀποσπογγίσαι, ἃ οὐδὲ μεθ' ἡμέραν τὶς οἷός τ' ἐγένετο, ἔνδον ἂν αὐτοῦ, ᾗ μὴ πεφοβημένος, τὸ παράπαν ἀφανίσαι;

1 ιέ. Ταῦτα πῶς εἰκότα; ὦ ἄνδρες, ἐστίν; ὅ δὲ ᾗ μάλιστα δεῖ ἐνθυμεῖσθαι· (ᾗ μή μοι ἄχθεσθε ἂν ὑμᾶς πολλάκις ταὐτὰ διδάξω· μέγας γὰρ ὁ κίνδυνός ἐστι· καθ' ὅ, τι δ' ἂν ὑμεῖς ὀρθῶς γνῶτε, κατὰ τοῦτο σώζομαι· καθ' ὅ, τι δ' ἂν ψευσθῆτε τἀληθοῦς, κατὰ τοῦτο ἀπόλλυμαι·
2 μὴ ἕν ἐξέληται τοῦτο ὑμῶν μηδείς,) ὅτι τὸν μηνυτὴν ἀπέκτειναν, ᾗ διετείναντο αὐτὸν μὴ εἰσελθεῖν εἰς ὑμᾶς, μηδ' ἐμοὶ ἐγγενέσθαι παρόντι ἄξαι τὸν ἄνδρα ᾗ βασανίσαι αὐτόν· καίτοι πρὸς τούτων ἦν τοῦτο· νῦν δὲ πριάμενοι
3 τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν τὸν μηνυτήν,

ἄλλο ποιήσαι. (12) πολλῷ γε πλέον ἀγνοεῖν] ἀπορεῖν, ὅπως τις τὸ πρᾶγμα συγκρύψει. (14) ἔνδον ἂν αὐτοῦ] ἄμεινον ἦν ἔτω· ἃ δ' ἂν μεθ' ἡμέραν τὶς οἷός τ' ἐγένετο, ἔνδον ὢν αὐτοῦ· τοῦτέστιν, ἐν ἑαυτῷ ὤν, ᾗ μὴ πεφοβημένος· ὅ ἐστιν, ἔξω ἑαυτοῦ ὤν.

(3) Νῦν δὲ πριάμενοι τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν τὸν

ἔτε τῆς πόλεως ψηφισαμένης, ἔτε αὐτόχειρα ὄντα τοῦ ἀνδρὸς, ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυλάσσειν, ἢ τοῖς φίλοις τοῖς ἐμοῖς ἐγγυῆσαι, ἢ τοῖς ἄρχουσι τοῖς ὑμετέροις παραδοῦναι, ᾗ ψῆφον περὶ αὐτοῦ γενέσθαι· νῦν δὲ 4
αὐτοὶ καταγνόντες τὸν θάνατον τοῦ ἀνδρὸς ἀπεκτείνατε· ὁ δὲ πόλει ἔξεστιν ἄνευ Ἀθηναίων ἑνὸς θανάτῳ ζημιῶσαι· ᾗ τῶν μὲν ἄλλων λόγων τῶν ἐκείνου τετυχὸς κριτὰς ἠξιώσατε γενέσθαι, τῶν δὲ ἔργων αὐτοὶ δικασταὶ γίνεσθε· καίτοι οἱ δεσπόται ἀποκτείναντες, ἐὰν ἐπ' αὐτοφώρῳ ληφθῶσιν, οὐδ' ἕτοι θνήσκουσιν ὑπ' αὐτῶν προσηκόντων, ἀλλὰ παραδιδόασιν αὐτοὺς τῇ ἀρχῇ, κατὰ νόμους 5
ὑμετέρους πατρίους· εἴπερ γὰρ καὶ μαρτυρεῖν ἔξεστί μοι λῷ κατὰ τοῦ ἐλευθέρου τὸν φόνον, ᾗ τῷ δεσπότῃ, ἂν δοκῇ, ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου ᾗ ἡ ψῆφος ἴσον δύναται τῷ δοῦλον ἀποκτείναντι, ᾗ τὸν ἐλεύθερον· εἰκός τοι καὶ 6
ψῆφον γενέσθαι περὶ αὐτοῦ ἦν, ᾗ μὴ ἄκριτον ἀποθανεῖν αὐτὸν ὑφ' ὑμῶν, ὥστε πολλῷ ἂν ὑμεῖς δικαιότερον κρίνοιτε, ἢ ἐγὼ νῦν ὑφ' ὑμῶν ἀδίκως.

ις'. Σκοπεῖτε δὲ, ὦ ἄνδρες, ᾗ ἐκ τοῖν ἀνδροῖν ἑκα- 1
τέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός· ὁ μὲν γὰρ δοῦλος δύο λόγω ἔλεγε τοτὲ μὲν ἔφη με εἰργάσθαι τὸ ἔργον, τοτὲ δὴ ἐκ ἔφη· ὁ δὲ ἐλεύθερος ἐδέπω νῦν εἴρηκε περὶ ἐμοῦ φλαῦρον ἐδέν, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος· τοῦτο μὲν γὰρ ἐκ ἦν αὐτῷ ἐλευθερίαν προτεί- 2
ναντι ὥσπερ τὸν ἕτερον πεῖσαι· τοῦτο δὲ μετὰ τοῦ ἀληθοῦς ἐβούλετο κινδυνεύων, πάσχειν εἴ τι δέοι· ἐπεὶ τό γε συμφέρον ᾗ ἕτος ἡπίστατο, ὅτι τότε παύσαιτο στρεβλού-

μηνυτὴν] τὸν αὐτὸν, οἶμαι, ἄνδρα ᾗ μηνυτὴν ἐννοεῖ· ὡς εἰ ἔλεγε· νῦν δὲ πείσαντες τὸν ἄνδρα τῇ τῆς ἐλευθερίας ὑποσχέσει μηνύσαι τὸ πρᾶγμα ψευδῶς κατ' ἐμοῦ, ἀπέκτειναν ἵνα μὴ αὐτὸν μηνύσαντα. (3) ἐγγυῆσαι] εἰς ἐγγύησιν τῶν ἐμῶν παραδοῦναι φίλων. (4) ἐδὲ πόλει] ἐκ τῶν συμμαχίδων τῶν Ἀθηναίων· ἴσως δ' ἔχει ὑπερβολήν ὁ λόγος.

μενος, ὁπότε εἴποι τὰ τούτοις δοκοῦντα· ποτέρῳ ἂν εἰκὸς ἔσι πιστεῦσαι, τῷ διὰ τέλους τὸν αὐτὸν ἀεὶ λέγοντι, ἢ τῷ τοτὲ μὲν φάσκοντι, τοτὲ δ' οὔ; ἀλλὰ μὴ ἄνευ βασάνου τοιαύτης, οἱ τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν λόγους λέγοντες, πιστότεροί εἰσι τῶν διαφερομένων σφίσιν αὐτοῖς· ἔπειτα δὴ μὴ ἐκ τῶν λόγων τῶν τοῦ ἀνθρώπου μερὶς ἑκατέρῳ ἴση ἐξὶ, τούτοις μὲν, τὸ φάσκειν, ἐμοὶ δὲ, τὸ μὴ φάσκειν· ἔκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν· ὁ μὲν γὰρ ἔφησεν· ὁ δὲ διὰ τέλους ἔξαρνος ἦν. μὴ μὲν δὴ τὰ ἐξίσου γενόμενα, τοῦ φεύγοντος ἐξὶ μᾶλλον ἢ τοῦ διώκοντος· εἴπερ γε μὴ τῶν ψήφων ὁ ἀριθμὸς ἐξίσου γενόμενος τὸν φεύγοντα μᾶλλον ὠφελεῖ, ἢ τὸν διώκοντα· ἡ μὲν βάσανος, ὦ ἄνδρες, τοιαύτη ἐγένετο, ἢ ὅτοι πιστεύοντες, εὖ εἰδέναι φασὶν ὑπ' ἐμοῦ ἀποθανόντα τὸν ἄνδρα. καίτοι τὸ παράπαν ἔγωγ' ἂν εἴ τισυνήδειν ἐμαυτῷ, μὴ εἴ τι τοιοῦτον εἴργασο, ἠφάνισ' ἂν τῷ ἀνθρώπῳ, ὅτε ἐπ' ἐμοὶ ἦν, τοῦτο μὲν, εἰς τὴν Αἶνον ἀπάγειν ἅμα ἐμοὶ, τοῦτο δὲ, εἰς τὴν ἤπειρον διαβιβάσαι, μὴ ὑπολειπεσθαι μηνυτὰς κατ' ἐμαυτοῦ τοὺς συνειδότας·

ις'. Φασὶ δὲ γραμματίδιον εὑρεῖν ἐν τῷ πλοίῳ, ὃ ἔπεμπον ἐγὼ Λυκίνῳ, ὡς ἀποκτείναιμι τὸν ἄνδρα· καίτοι τί ἔδει με γραμματίδιον πέμπειν, αὐτοῦ συνειδότος τοῦ τὸ γραμματίδιον φέροντος; ὥσε τοῦτο μὲν, σαφέσερον αὐτοῖς ἔμελλεν ἐρεῖν ὁ εἰργασμένος, τοῦτο δὲ οὐδὲν ἔδει κρύπτειν αὐτόν· ἃ γὰρ οὐκ οἰόντε εἰδέναι τὸν φέροντα, ταῦτα ἄν τις μάλισα συγγράψειεν· ἔπειτα δὲ ὅ, τι μὲν

(4) Μερὶς ἑκατέρῳ ἴση] εἴρηκε γὰρ δύο λόγους ὁ δοῦλος βασανιζόμενος, ὅτι ἀπέκτεινε, καὶ ὅτι μὴ ἀπέκτεινε· τούτων δὴ ἑκάτερος ἑκατέρῳ καὶ καλὸς καὶ κακὸς ἐναλλαξ συνήγορος καὶ κατήγορος γενόμενοι φαίνονται ἐκ τοῦ ἴσου· τῷ μὲν τὸ φάσκειν, ὅτι ἀπέκτεινα· τῷ δὲ, τὸ μὴ φάσκειν.

(2) Οὐ γὰρ οἰόντε] προσέθηκα τὸ, οὐκ, ἀναγκαίως ἀπαιτούμενον ἐν τῷ λόγῳ.

μακρὸν εἴη πρᾶγμα, τοῦτο ἄν τις ἀναγκασθείη γράψαι, τῷ μὴ διαμνημονεύειν τὸν ἀπαγγέλλοντα ὑπὸ πλήθους· τοῦτο δὲ βραχὺ ἦν ἀπαγγεῖλαι, ὅτι τέθνηκεν ὁ ἀνήρ· ἔπειτα ἐνθυμεῖσθε, ὅτι διαφέρον ἦν τὸ γραμματίδιον τῷ βασανισθέντι, διάφορος δ' ὁ ἄνθρωπος τῷ γραμματίῳ· ὁ μὲν γὰρ βασανιζόμενος, αὐτὸς ἔφυ ἀποκτεῖναι, τὸ δὲ γραμμάτιον ἀνοιχθὲν ἐμὲ τὸν ἀποκτείναντα ἐμήνυεν· καίτοι ποτέρῳ χρὴ πιστεῦσαι; τὸ μὲν γὰρ πρῶτον οὐχ εὗρον ἐν τῷ πλοίῳ ζητοῦντες τὸ γραμματίδιον, ὕσερον δέ· τότε μὲν γὰρ ὅπως ὅτως ἐμεμηχάνητο αὐτοῖς· ἐπειδὴ δὲ ὁ ἄνθρωπος ὁ πρότερον βασανισθεὶς οὐδὲν ἔλεγε κατ' ἐμοῦ, τότε εἰσβάλλουσιν εἰς τὸ πλοῖον τὸ γραμματίδιον, ἵνα ταύτην ἔχοιεν ἐμοὶ τὴν αἰτίαν ἐπιφέρειν· ἐπειδὴ δ' ἀνεσώθη τὸ γραμματίδιον, οὐ ὁ ὕσερος βασανιζόμενος οὐ συνεφέρετο τῷ γραμματιδίῳ, οὐκ ἔθ' οἷόν τ' ἦν ἀφανίσαι τὰ ἀναγνωσθέντα· εἰ γὰρ ἡγήσαντο τὸν ἄνδρα πείσειν ἀπὸ πρώτης καταψεύδεσθαί μου, οὐκ ἄν ποτ' ἐμηχανήσαντο τὰ ἐν τῷ γραμματιδίῳ· καί μοι μάρτυρας τούτων κάλει.

ΜΑΡΤΥΡΕΣ.

ιή. Τίνος γε δὴ ἕνεκα τὸν ἄνδρα ἀπέκτεινα; οὐδὲ γὰρ ἔχθρα οὐδεμία ἦν ἐμοὶ κἀκείνῳ· λέγειν δὲ τολμῶσιν ὡς ἐγὼ χάριτι τὸν ἄνδρα ἔκτεινα· κἄ τις πώποτε χαριζόμενος ἑτέρῳ, τοῦτο εἰργάσατο; οἶμαι γὰρ οὐδένα· ἀλλὰ δεῖ μεγάλην τὴν ἔχθραν ὑπάρχειν τῷ τοῦτο μέλλοντι ποιήσειν, κἄ τὴν πρόνοιαν ἐκ πολλῶν εἶναι φανερὰν ἐπιβουλευομένην· ἐμοὶ δὲ κἀκείνῳ ἐκ ἦν ἔχθρα οὐδεμία· ἀλλὰ χρήματα ἔμελλον λήψεσθαι ἀποκτείνας αὐτόν; ἀλλ' οὐκ ἦν αὐτῷ· ἀλλὰ δείσας περὶ ἐμαυτοῦ μὴ αὐτὸς παρ' ἐκείνου τοῦτο πάθοιμι; κἄ γὰρ ἂν τῶν τοιούτων ἕνεκά τις ἀναγκασθείη τοῦτο ἐργάσασθαι· ἀλλ' οὐδέν μοι τοιοῦτον ὑπῆρκτο εἰς αὐτόν· ἀλλά σοι μᾶλλον ἐγὼ τὴν πρόφασιν

ταύτην ἔχοιμ' ἂν εἰκότως μετὰ τῆς ἀληθείας ἀναθεῖναι, ὅτι χρημάτων ἕνεκα ζητεῖς ἐμὲ ἀποκτεῖναι μᾶλλον, ἢ σὺ ἐμοὶ ἐκεῖνον· καὶ πολὺ ἂν δικαιότερον ἀλῴης σὺ τῶ φόνου, ἐμὲ ἀποκτείνας, ὑπὸ τῶν ἐμοὶ προσηκόντων, ἢ ἐγὼ ὑπό σε, καὶ τῶν ἐκείνε ἀναγκαίων· ἐγὼ μὲν γάρ σοι φανερὰν τὴν πρόνοιαν εἰς ἐμὲ ἀποδείκνυμι, σὺ δέ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι· ταῦτα μὲν ὑμῖν λέγω, ὡς αὐτός μοι πρόνοιαν ἐδεμίαν ἔχει ἀποκτεῖναι τὸν ἄνδρα.

1 ιΔ'. Δεῖ δέ με καὶ ὑπὲρ Λυκίνου ἀπολογήσασθαι, ὡς ἔοικεν· ἀλλ' οὐχ ὑπὲρ αὑτῶ μόνον, ὡς οὐδ' ἐκεῖνον εἰκότως αἰτιῶνται· λέγω τοίνυν ὑμῖν, ὅτι ταὐτὰ ὑπῆρχεν αὐτῷ εἰς ἐκεῖνον ἅπερ ἐμοί· ὅτε γὰρ χρήματα ἦν αὐτῷ ὁπόθεν ἂν ἔλαβεν ἀποκτείνας ἐκεῖνον, ὅτε κίνδυνος αὐτῷ ὑπῆρχεν οὐδεὶς ὄντινα οὐκ ἔφευγε μὴ ἀποθανόντος ἐκείνε·
2 τεκμήριον δὲ μέγιστον, ὡς οὐκ ἐβάλετο αὐτὸν ἀπολέσαι· ἐξὸν γὰρ αὐτῷ ἐν ἀγῶνι καὶ κινδύνῳ μεγάλῳ καταστήσαντι μετὰ τῶν νόμων τῶν ὑμετέρων ἀπολέσαι ἐκεῖνον, εἴπερ προωφείλετο αὐτῷ κακὸν, καὶ τό, τε ἴδιον τὸ αὐτοῦ διαπράξασθαι, καὶ τῇ πόλει τῇ ἡμετέρᾳ χάριν καταθέσθαι, εἰ ἐπέδειξεν ἀδικοῦντα ἐκεῖνον, οὐκ ἠξίωσεν, ἀλλ' οὐδ' ἦλθεν ἐπὶ τοῦτο· καίτοι καλλίων γε ἦν ὁ κίνδυνος αὐτῷ.

ΜΑΡΤΥΡΕΣ.

1 ιε'. Ἀλλὰ γὰρ ἐνταῦθα μὲν ἀφῆκεν αὐτὸν, οὗπερ οὐκ ἔδει κινδυνεύειν αὐτὸν περὶ τε αὐτοῦ καὶ ἐμοῦ· ἐνταῦθα δ' ἐπεβούλευεν, ἐν ᾧ γνωσθεὶς ἂν ἀπεξέρει μὲν ἐμὲ τῆς πα-

(5) Ὡς αὐτὸς πρόνοιαν οὐδεμίαν ἔχει.] οὐκ ἔχει ἐπιδεῖξαι οὐδεμίαν πρόφασιν, δι' ἣν ἐγὼ προνοούμενος, ἠναγκάσθην ἀποκτεῖναι αὐτόν.

(1) Οὐχ ὑπὲρ αὑτῶ] ἀντὶ τοῦ ἐμαυτοῦ· ἴδε καὶ ἀνωτέρω (δ', 1) ἐξώλειαν αὑτῷ, ἀντὶ τοῦ, σεαυτῷ. (1) ὅτε γὰρ χρήματα ἦν αὐτῷ, ὁπόθεν ἂν ἔλαβεν] ὅτε γὰρ ἐξῆν αὐτῷ, ὁπόθεν ἂν λάβοι χρήματα, εἰ ἀπέκτεινε τὸν Ἡρώδην.

(1) Ἀλλὰ γὰρ ἐνταῦθα] ἀλλ' ὑποθῶμεν, ὅτι ἀφῆκεν αὐτὸν ἐνταῦθα, ἐν τῇ ἀδικίᾳ.

τρίδος, ἀπεξέρει δὲ αὐτὸν ἱερῶν καὶ ὁσίων, καὶ τῶν ἄλλων, ἅπερ μέγιστα καὶ περὶ πλείστε ἐστὶν ἀνθρώποις. ἔπειτα δ' εἰ 2
καὶ ὡς μάλιστα ἐβάλετο αὐτὸν ὁ Λυκῖνος τεθνάναι (εἶμι γὰρ καὶ ἐπὶ τὸν τῶν κατηγόρων λόγον) ἦ αὐτὸς ἐκ ἠξίε αὐτόχειρ γενέσθαι, τοῦτο τὸ ἔργον ἐγώ ποτ' ἂν ἐπείσθην ἀντ' ἐκείνου ποιῆσαι; πότερα ὡς ἐγὼ μὲν ἦν τῷ σώματι 3
ἐπιτήδειος διακινδυνεύειν, ἐκεῖνος δὲ χρήμασι τὸν ἐμὸν κίνδυνον ἐπρίασθαι; οὐδῆτα· (τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δὲ ἦν·) ἀλλ' αὐτὸ τὸ ἐναντίον, ἐκεῖνος τοῦτο θᾶσσον ἂν ὑπ' ἐμοῦ ἐπείσθη, κατάγε τὸ εἰκὸς, ἢ ἐγὼ ὑπὸ τούτε· ἐπεὶ ἐκεῖνός γ' ἑαυτὸν οὐδ' ὑπερήμερον γενόμε- 4
νον ἑπτὰ μηῶν δυνατὸς ἦν λύσασθαι, ἀλλ' οἱ φίλοι αὐτὸν ἐλύσαντο· καὶ μὲν δὴ καὶ τῆς χρείας τῆς ἐμῆς καὶ τῆς Λυκίνε τοῦτο ὑμῖν μέγιστον τεκμήριόν ἐστιν, ὅτι ἐσφόδρα ἐχρώμην ἐγὼ Λυκίνῳ φίλῳ, ὡς πάντα ποιῆσαι ἂν τὰ ἐκείνῳ δοκοῦντα· οὐ γὰρ δήπε ἑπτὰ μὲν μνᾶς οὐκ ἀπέτισα πε- 5
ρὶ αὐτοῦ δεδεμένε, καὶ λυμαινομένε, κίνδυνον δὲ τοσοῦτον ἀράμενος, ἄνδρα ἀπέκτεινα δι' ἐκεῖνον· ὡς μὲν ἕν οὐκ αὐτὸς αἴτιός εἰμι τοῦ πράγματος, οὐδὲ ἐκεῖνος, ἀποδέδεικται καθόσον ἐγὼ δύναμαι μάλιστα·

κά. Τούτῳ δὲ χρῶνται πλείστῳ λόγῳ οἱ κατήγοροι, 1
ὅτι ἀφανής ἐστιν ὁ ἀνήρ· καὶ ὑμεῖς ἴσως περὶ τούτε αὐτοὶ ποθεῖτε ἀκοῦσαι· εἰ μὲν οὖν τοῦτο εἰκάζειν δεῖ με, ἐξίστε τοῦτό ἐστι καὶ ὑμῖν καὶ ἐμοί· ὅτε γὰρ ὑμεῖς αἴτιοι τοῦ ἔργε ἦτε, ὅτε ἐγώ· εἰ δὲ δεῖ τοῖς ἀληθέσι χρῆσθαι, τῶν 2
εἰργασμένων τινὰ ἐρωτώντων· ἐκείνῳ γὰρ ἄρισα πύθοιντο· ἐμοὶ γὰρ τῷ μὴ εἰργασμένῳ τοσοῦτον τὸ μακρότατον τῆς

(4) καὶ τῆς χρείας] καὶ τῆς πρὸς ἀλλήλους χρήσεως.

(1) Ἐξ ἴσε τοῦτο καὶ ὑμῖν ἐστι καὶ ἐμοί] ἀθῷος γὰρ ἐγὼ, ὡς καὶ ὑμεῖς οἱ δικάσαι· περὶ δὲ τῶν ἀγνοουμένων εἰκάζειν ἐξίστε τοῖς μηδὲν εἰδόσι γίνεται· ἐρωτᾶτε ἂν τῶν εἰργασμένων τινα. (2) ἐρωτώντων] ἐρωτάτωσαν.

ἀποκρίσεως ἐσὶν, ὅτι ἐκ εἴργασμαι· τῷ δὲ ποιήσαντι ῥᾳδία ἐσὶν ἡ ἀπόδειξις, ᾗ μὴ ἀποδείξαντι εὖ ᾗ εἰκάσαι·
3 οἱ μὲν γὰρ πανουργοῦντες, ἅματε πανουργοῦσι, ᾗ πρόφασιν εὑρίσκουσι τοῦ ἀδικήματος· τῷ δὲ μὴ εἰργασμένῳ χαλεπὸν περὶ τῶν ἀφανῶν εἰκάζειν. οἶμαι δ' ἂν ᾗ ὑμῶν ἕκαστον, εἴ τις τινὰ ἔροιτο ὅ,τι μὴ τύχοι εἰδὼς, τοσοῦτον
4 ἂν εἰπεῖν, ὅτι ἐκ οἶδεν· εἰ δέ τι ᾗ περαιτέρω κελεύοι λέγειν, ἐν πολλῇ ἂν ὑμᾶς ἔσεσθαι ἀπορίᾳ δοκῶ. μὴ τοίνυν ἐμοὶ νείμητε τὸ ἄπορον τοῦτο, ἐν ᾧ μήδ' ἂν αὐτοὶ εὐπορῆτε· μηδὲ, ἂν εὖ εἰκάζω, ἐν τούτῳ μοι ἀξιοῦτε τὴν
5 ἀπόφευξιν εἶναι, ἀλλ' ἐξαρκείτω μοι ἐμαυτὸν ἀναίτιον ἀποδεῖξαι τοῦ πράγματος. ἐν τούτῳ ἓν ἀναίτιος εἰμὶ, ἐκ ἐὰν ἐξεύρω ὅτῳ τρόπῳ ἀφανὴς ἐσὶν ἢ ἀπόλωλεν ἀνὴρ, ἀλλ' εἰ μὴ προσήκει μοι μηδὲν, ὡς ἀποκτεῖναι αὐτόν· ἤδη δ' ἔγωγε ᾗ πρότερον ἀκοῇ ἐπίσαμαι γεγονὸς, τοῦτο μὲν, τοὺς ἀποθανόντας, τοῦτο δὲ, τοὺς ἀποκτείναντας
6 ἐχ εὑρεθέντας. ἔκαν ἂν καλῶς ἔχοι εἰ τούτων δέοι τὰς αἰτίας ὑποχεῖν τοὺς συγγενομένους. πολλοὶ δέγ' ἤδη χόντες ἑτέρων πραγμάτων αἰτίας, πρὶν τὸ σαφὲς αὐτῶν γνωσθῆναι, προαπώλοντο. αὐτίκα Ἐφιάλτην, τὸν ὑμέτερον πολίτην, ὐδέπω νῦν εὕρηνται οἱ ἀποκτείναντες.

1 κβ'. Εἰ ἓν τις ἠξίου τοὺς συνόντας ἐκείνῳ εἰκάζειν, οἵ τινες ἦσαν οἱ ἀποκτείναντες Ἐφιάλτην, εἰ δὲ μὴ, ἐνόχους εἶναι τῷ φόνῳ, ἐκ ἂν καλῶς εἶχε τοῖς συνοῦσιν. ἔπειτα οἵγε Ἐφιάλτην ἀποκτείναντες ἐκ ἐζήτησαν τὸν νεκρὸν ἀφανίσαι, ὐδ' ἐν τούτῳ κινδυνεύειν μηνύσαι τὸ πρᾶγμα, ὥσπερ οἵδε φασὶν ἐμὲ τῆς μὲν ἐπιβουλῆς ὐδένα κοι-
2 νωνὸν ποιήσασθαι τοῦ θανάτου, τῆς δ' ἀναιρέσεως. τοῦτο

(1) Οὐδ' ἐν τούτῳ] ἐν τῷ ἀφανίζειν τὸ σῶμα τοῦ πεφονευμένου. (1) τῆς δὲ ἀναιρέσεως] ὅτε μὲν ἐπεβούλευον αὐτῷ ἀποκτεῖναι, ὐδενὶ εἶπον· ἀνελέσθαι δὲ τὸν νεκρὸν παρεχώρησα ἄλλοις, μηνύων σαφῶς κατ' ἐμαυτοῦ. (2) τοῦτο δὲ] ἔπειτα δέ· ὅτῳ ᾗ ἐξῆς ἐπικέχρηται παντοχῇ ταύτῃ τῇ διαιρέσει.

δ' ἐντὸς ὐ πολλοῦ χρόνου παῖς ἐζήτησεν ὐδὲ δώδεκα ἔτη γεγονὼς τὸν δεσπότην ἀποκτεῖναι· ᾗ εἰ μὴ φοβηθεὶς, ὡς ἀνεβόησεν, ἐγκαταλιπὼν τὴν μάχαιραν τῇ σφαγῇ ᾤχετο φεύγων, ἀλλ' ἐτόλμησε μεῖναι, ἀπώλοντ' ἂν οἱ ἔνδον ἅπαντες· ὐδεὶς γὰρ ἂν ᾤετο τὸν παῖδά ποτε τοῦτο τολμῆσαι· νῦν δὲ συλληφθεὶς αὐτὸς ὕστερον κατεῖπεν ἑαυτοῦ. τοῦτο δὲ, περὶ χρημάτων αἰτίαν ποτὲ σχόντες ἐκ 3
ἦσαν (ὥσπερ ἐγὼ νῦν) οἱ Ἑλληνοταμίαι οἱ ὑμέτεροι, ἐκεῖνοι μὲν ἀπέθανον ὀργῇ μᾶλλον ἢ γνώμῃ, πλὴν ἑνός. τὸ δὲ πρᾶγμα ὕστερον καταφανὲς ἐγένετο. τοῦ δ' ἑνὸς τού- 4
του (Σωσίαν ὄνομα φασὶν αὐτῷ εἶναι) κατέγνωσο μὲν ἤδη θάνατος, ἐτεθνήκει δὲ ὕπω. ᾗ ἐν τούτῳ ἐδηλώθη, τῷ τρόπῳ ἀπολώλει τὰ χρήματα. ᾗ ὁ ἀνὴρ ἀπήχθη ὑπὸ 5
τοῦ δήμου τοῦ ὑμετέρου παραδεδομένος ἤδη τοῖς ἕνδεκα, οἱ δ' ἄλλοι ἐτέθνασαν, ἐδὲν αἴτιοι ὄντες. ταῦθ' ὑμῶν αὐτῶν ἐγὼ οἶμαι μεμνῆσθαι τοὺς πρεσβυτέρους, τοὺς δὲ νεωτέρους πυνθάνεσθαι, ὥσπερ ἐμέ. ὕτως ἀγαθόν ἐσι μετὰ τοῦ χρόνου βασανίζειν τὰ πράγματα· ᾗ τοῦτ' ἴσως ἂν φανερὸν γένοιτ' ἂν ὕστερον, ὅτῳ τρόπῳ τέθνηκεν ὁ ἄνθρωπος.

κγ'. Μὴ ἓν ὕστερον τοῦτο γνῶτε, ἀναίτιόν με ὄντα ἀ- 1
πολέσαντες· ἀλλὰ πρότερόν γ' εὖ βουλεύσασθε, ᾗ μὴ μετ' ὀργῆς ᾗ διαβολῆς. ὡς τούτων ἐκ ἂν γένοιντο ἕτεροι 2
πονηρότεροι σύμβουλοι. ὐ γάρ ἐσιν, ὅ,τι ὀργιζόμενος ἄνθρωπος ἂν γνοίη. αὐτὸ γὰρ, ᾧ βουλεύεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου. μέγατε ἡμέραν παῤ ἡμέραν γιγ- 3
νομένην γνώμην, ὦ ἄνδρες, ἐξ ὀργῆς μετασῆσαι, ᾗ τὴν ἀλήθειαν εὑρεῖν τῶν γεγενημένων. εὖ δὲ ἴσε ὅτι ἐλεηθῆ-

(2) Ὦ βουλεύεται] αὐτὴ γὰρ ἡ ὀργὴ, μεθ' ἧς βουλεύεται, αὐτὴ διαφθείρει τὴν γνώμην τοῦ βουλευομένου· (3) μέγατε] μέγα καλοῦσιν μετασῆσαι ἐξ ὀργῆς κατ' ὀλίγον τὴν γενομένην γνώμην· τουτέσι μέγα ἐσὶν ἀναβάλλειν τὰς ἐξετάσεις τῶν πραγμάτων, ᾗ εἴτι μετ' ὀργῆς ἔγνωσαι, κατ' ὀλί-

ναι ὑφ' ὑμῶν ἄξιός εἰμι μᾶλλον, ἢ δίκην δῦναι. δίκην μὲν γὰρ εἰκός ἐσι διδύναι τοὺς ἀδικοῦντας, ἐλεεῖσθαι δὲ τοὺς
4 μὴ ἀδικοῦντας, κινδυνεύοντας. κρεῖσσον δὲ χρὴ ἀεὶ γίγνεσθαι τὸ ὑμέτερον δυνάμενον ἐμὲ δικαίως σώζειν, ἢ τὸ τῶν ἐχθρῶν βελόμενον ἀδίκως με ἀπολλύναι. ἐν μὲν γὰρ τῷ ἐπιχειρεῖν, ἔσι ᾗ τὰ δεινὰ ταῦτα ποιῆσαι, ἃ οὗτοι κελεύσιν· ἐν δὲ τῷ παραχρῆμα, οὐκ ἔσιν ἀρχὴν ὀρθῶς βουλεύεσθαι.

1 κδ'. Δεῖ δέ με ᾗ ὑπὲρ τοῦ πατρὸς ἀπολογήσασθαι. καίτοι γε πολλῷ μᾶλλον εἰκὸς ἦν ἐκεῖνον ὑπὲρ ἐμοῦ ἀπολογήσασθαι, πατέρα ὄντα. ὁ μὲν γὰρ πολλῷ πρεσβύτερός ἐσι τῶν ἐμῶν πραγμάτων, ἐγὼ δὲ πολλῷ νεώτερος
2 τῶν ἐκείνῳ πεπραγμένων. ᾗ εἰ μὲν ἐγὼ τούτῳ ἀγωνιζομένῳ κατεμαρτύρουν ἃ μηδαμῶς ἤδειν, ἀκοῇ δὲ ἠπισάμην,
3 δεινὰ ἂν ἔφη πάσχειν ὑπ' ἐμοῦ· νῦν δὲ ἀναγκάζων ἐμὲ ἀπολογεῖσθαι, ὧν ἐγὼ πολλῷ νεώτερός εἰμι ᾗ λόγῳ οἶδα, ταῦτα οὐ δεινὰ ἡγεῖται εἰργάσθαι. ὅμως μέντοι καθ' ὅσον ἐγὼ οἶδα, οὐ προδώσω τὸν πατέρα κακῶς ἀκούοντα ἐν ὑμῖν ἀδίκως. καίτοι τάχ' ἂν σφαλείην, ἃ ἐκεῖνος ὀρθῶς ἔργῳ ἔπραξε, ταῦτα ἐγὼ λόγῳ μὴ ὀρθῶς εἰπών.

1 κέ. Ὅμως δ' ἴσως κεκινδυνεύσεται. πρὶν μὲν γὰρ τὴν

γον μεταβάλλειν· μετασῆσαι δὲ ἔγραψα ἀντὶ τοῦ, μετασήσειν· (4) τὸ ὑμέτερον δυνάμενον — τὸ βουλόμενον·] τὴν ὑμετέραν δύναμιν — τὴν τῶν ἐχθρῶν βούλησιν· ἐντεῦθεν ᾗ Θουκυδίδης τὰ τοιαῦτα μαθητὴς παρὰ διδασκάλου παρέλαβε.

(1) Πρεσβύτερός ἐσι τῶν ἐμῶν πραγμάτων] πρεσβύτερος γὰρ ὢν ᾗ τὰ ἐμὰ πάντ' εἰδὼς, ὡς εἰκὸς, ἄμεινον ἂν ἐμοῦ ἀπελογεῖτο· ἐγὼ δὲ νεώτερος ὢν, κοὐδὲν τῶν ἐκείνου εἰδὼς σχεδὸν, παρ' ὅσον λόγῳ ᾗ ἀκοῇ, πῶς ἀπολογήσομαι ὑπὲρ αὐτοῦ; (2) τούτῳ ἀγωνιζομένῳ] τούτῳ τῷ ἀντιδίκῳ· ὃς ἀναγκάζει ἐμὲ ἀπολογεῖσθαι ὑπὲρ τοῦ πατρὸς, ἃ ἀκοῇ οἶδα· εἰδὲ ἐτύγχανόν πῃ καταμαρτυρῶν αὐτοῦ ὅμως, ἃ μὴ οἶδα ἰδών, ἐπηρεπλίκιζεν ἄν· (3) ταῦτα οὐδεινὰ ἡγεῖται εἰργάσθαι·] οὐκ ἡγεῖται, ὅτι ἐργαζεταί με αὐτὸς ταῦτα δεινά.

(1) Κεκινδυνεύσεται] καίτοι ἐπικινδύνως, ἀλλ' εἰρήσεταί γε· (1) ἡμαρ-

ἀπόσασιν τῶν Μιτυληναίων γενέσθαι, ἔργῳ τὴν εὔνοιαν ἐδείκνυεν εἰς ὑμᾶς· ἐπειδὴ δὲ ἡ πόλις ὅλη κακῶς ἐβουλεύσατο ἀποσᾶσα, ᾗ ἥμαρτε τῆς ὑμετέρας γνώμης, μετὰ τῆς πόλεως ὅλης ἠναγκάσθη συνεξαμαρτεῖν. τὴν 2
μὲν ἓν γνώμην ἔτι ᾗ ἐν ἐκείνοις ὅμοιος ἦν εἰς ὑμᾶς, τὴν δ' εὔνοιαν οὐκέτι ἦν ἐπ' ἐκείνῳ τὴν αὐτὴν εἰς ὑμᾶς παρέχειν. ὅτε γὰρ ἐκλιπεῖν τὴν πόλιν καλῶς εἶχεν αὐτῷ· (ἱκανὰ γὰρ ἦν τὰ ἐνέχυρα, ἃ εἴχετε αὐτοῦ, οἵτε παῖδες ᾗ τὰ χρήματα). τότῳ δ' ἓν μένοντι πρὸς τὴν πόλιν 3
αὐτῷ ἀδυνάτως εἶχεν ἰσχυρίζεσθαι. ἐπεὶ δ' ὑμεῖς τὰς αἰτίας τέτων ἐκολάσατε, ἐν οἷς οὐκ ἐφαίνετο ὢν ὁ ἐμὸς πατὴρ, τοῖς δ' ἄλλοις Μιτυληναίοις ἄδειαν ἐδώκατε οἰκεῖν τὴν σφετέραν αὐτῶν, οὐκ ἔσιν ὅτι ὕσερον αὐτῶν ἡμάρτηται τῷ ἐμῷ πατρὶ, οὐδ' ὅ,τι ᾗ πεποίηται τῶν δεόντων, οὐδ' ἧς τινος λειτουργίας ἡ πόλις ἐνδεὴς γεγένηται, ὅτε ἡ ἡμετέρα, ὅτε ἡ Μιτυληναίων, ἀλλὰ ᾗ χορηγίας ἐχορήγει, ᾗ τέλη κατετίθει. εἰ δ' ἐν Αἴνῳ χωροφιλεῖ, τοῦ- 4
το οὐκ ἀποσερῶν γε τῶν εἰς τὴν πόλιν ἑαυτὸν οὐδενὸς, οὐδ' ἑτέρας πόλεως πολίτης γεγενημένος, ὥσπερ ἑτέρους ὁρῶ τοὺς μὲν εἰς τὴν ἤπειρον ἰόντας, ᾗ οἰκοῦντας ἐν τοῖς πολεμίοις τοῖς ὑμετέροις, ᾗ δίκας ἀπὸ ξυμβόλων ὑμῖν δικαζομένους· οὐδὲ φεύγων τὸ πλῆθος τὸ ὑμέτερον, τοὺς 5
δ', οἵους ὑμεῖς, μισῶν συκοφάντας.

1 κς'. Α μὲν ἓν μετὰ τῆς πόλεως ὅλης ἀνάγκη μᾶλ-

τε τῆς ὑμετέρας γνώμης] ἐξέπεπε τῆς εὐνοίας· (1) συνεξαμαρτεῖν] ἐναντιωθῆναι πρὸς ἡμᾶς ἢ συνεκπεπεῖν τῆς εὐνοίας κατὰ τὸ φαινόμενον· δωκεῖ δὲ ὅτι ἦν Μιτυληναῖος· (3) ἀδυνάτως εἶχεν] ἀδύνατον ἦν αὐτῷ ἰσχυρίζεσθαι· (3) τοὺς αἰτίους τούτων] τῶν ἐν Μιτυλήνῃ ἀποσάσεων· (3) οὐκ ἔσι ὅ,τι ὕσερον αὐτῶν] αὐτῶν διώρθωσε Ρείσκης ἀντὶ τοῦ, αὐτῷ· (4) τοῦτο οὐκ ἀποσερῶν] τοῦτο δ' ποιεῖ, ἀποσερῶν γε τῶν εἰς τὴν πόλιν συνεισφορῶν· (4) εἰς τὴν ἤπειρον] εἰς τὴν Ἀσίαν· ὅτω ᾗ Γοσκράτης πολλαχῇ· (5) οἵους ὑμεῖς] οἱ δικασαὶ μισεῖτε.

λον ἢ γνώμη ἔπραξε, τούτων δ' δίκαιός ἐσιν ὁ ἐμὸς πατὴρ ἰδίαν δίκην διδόναι. ἅπασι γὰρ Μιτυληναίοις ἀείμνησος ἡ τότε ἁμαρτία γεγένηται. ἡλλάξαντο μὲν γὰρ πολλῆς εὐδαιμονίας πολλὴν κακοδαιμονίαν, ἐπειδὴν δὲ τὴν ἑαυτῶν πατρίδα ἀνάσατον γενομένην. ἃ δὲ ἰδίᾳ ἔτοι διαβάλλεσι τὸν ἐμὸν πατέρα, μὴ πείθεσθε. χρημάτων γὰρ ἕνεκα ἡ πᾶσα παρασκευὴ γεγένηται ἐπ' ἐμοὶ κἀκείνῳ. πολλὰ δ' ἐσὶ τὰ συμβαλλόμενα τοῖς βελομένοις τῶν ἀλλοτρίων ἐφιέσθαι. γέρων μὲν ἐκεῖνος, ὥσε μοι βοηθεῖν. νεώτερος δ' ἐγὼ πολλῷ, ἢ ὥσε δύνασθαι ἐμαυτῷ τιμωρεῖν ἱκανῶς. ἀλλ' ὑμεῖς βοηθήσατέ μοι, καὶ μὴ διδάσκετε τὺς συκοφάντας μεῖζον ὑμῶν αὐτῶν δύνασθαι. ἐὰν μὲν εἰσιόντες εἰς ἡμᾶς, ἃ βέλονται πράσσωσι, δεδειγμένον ἔσαι, τούτους μὲν [μὴ] πείθειν, τὸ δ' ὑμέτερον πλῆθος φεύγειν· ἐὰν δὲ εἰσιόντες εἰς ὑμᾶς, πονηροὶ μὲν αὐτοὶ δοκῶσιν εἶναι, πλέον δ' αὐτοῖς μηδὲν γένηται, ὑμετέρα ἡ τιμὴ καὶ ἡ δύναμις ἔσαι, ὥσπερ καὶ τὸ δίκαιον ἔχει. ὑμεῖς ἦν ἐμοίτε βοηθεῖτε καὶ τῷ δικαίῳ.

κζ'. Ὅσα μὲν ἦν ἐκ τῶν ἀνθρωπίνων τεκμηρίων καὶ μαρτυριῶν οἷά τε ἦν ἀποδειχθῆναι, ἀκηκόατε· χρὴ δὲ καὶ τοῖς ἀπὸ τῶν θεῶν σημείοις γενομένοις εἰς τὰ τοιαῦτα ἐκ ἧκισα τεκμηραμένους ψηφίζεσθαι. καὶ γὰρ τὰ τῆς πόλεως κοινὰ τούτοις μάλισα πισεύοντες, ἀσφαλῶς διαπράσσεσθε· τοῦτο μὲν, τὰ εἰς τοὺς κινδύνους ἥκοντα, τοῦτο δὲ, εἰς τὰ ἔξω τῶν κινδύνων. χρὴ δὲ καὶ εἰς τὰ ἴδια

(2) Ἐπειδὸν τὴν ἑαυτῶν πατρίδα ἀνάσατον γενομένην] τὰ ἐν τῷ Πελοποννησιακῷ πολέμῳ λέγει, Πάχητος στρατηγοῦντος· ἴδε Θουκ. Γ'. λέ. κ ἑξῆς. (3) τὰ συμβαλλόμενα] τὰ συναντιλαμβανόμενα, βοηθοῦντα· (4) ὥσε μὴ βοηθεῖν] γέρων γὰρ ἐκεῖνος· ὅ ἐσιν, ἀδύνατος ὥσε μοι βοηθεῖν· (5) τούτους [μὴ] πείθειν] εἰ γὰρ συκοφάνται κραυγῶσι, ἐπ' ἐκείνοις γενησόμεθα, καὶ τούτους πείθειν χρήμασι καὶ θεραπείαις πειρασόμεθα· τὸ δὲ δήμῳ καταφρονήσομεν· ἐν τοιαύτῃ ἦν ἐννοίᾳ τὸ, μὴ, παρέλκειν δοκεῖ.

(2) Τὰ εἰς τοὺς κινδύνους ἥκοντα· ἢ μᾶλλον τὰ ἐν πολέμῳ, ἢ καὶ ἐν εἰ-

ταῦτα μέγισα καὶ πισόταται ἡγεῖσθαι. οἶμαι γὰρ ὑμᾶς ἐπίσασθαι, ὅτι πολλοὶ ἤδη ἄνθρωποι μὴ καθαροὶ χεῖρας, ἢ ἄλλό τι μίασμα ἔχοντες, συνεισβάντες εἰς τὸ πλοῖον συναπώλεσαν μετὰ τῆς αὐτῶν ψυχῆς, καὶ τοὺς ὁσίως διακειμένους τὰ πρὸς τοὺς θεούς· τοῦτο δὲ, ἤδη ἑτέρους ἀπολομένους μὲν ἐ, κινδυνεύσαντας δὲ τοὺς ἐχάτους κινδύνους, διὰ τοὺς τοιούτους ἀνθρώπους· τοῦτο δὲ, ἱεροῖς παραζάντες πολλοὶ δὴ καταφανεῖς ἐγένοντο ἐκ ὄσιοι ὄντες, καὶ διακωλύοντες τὰ ἱερὰ μὴ γίνεσθαι τὰ νομιζόμενα. ἐμοὶ τοίνεν ἐν πᾶσι τούτοις τὰ ἐναντία ἐγένετο. τοῦτο μὲν γὰρ, ὅσοις συνέπλευσα, καλλίσοις ἐχρήσαντο πλοῖς· τοῦτο δὲ, ὅπου ἱεροῖς παρέσην, οὐκ ἔσιν ὅπου ἐχὶ κάλλισα τὰ ἱερὰ ἐγένετο. ἃ ἐγὼ ἀξιῶ μεγάλα μοι τεκμήρια εἶναι τῆς αἰτίας, ὅτι οὐκ ἀληθῆ μοι ἔτοι κατηγοροῦσι. καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡΤΥΡΕΣ.

κή. Ἐπίσαμαι δὲ καὶ τάδε, ὦ ἄνδρες δικασαὶ, ὅτι, εἰ μὲν ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες, ὡς τι ἀνόσιον γεγένηται ἐμοῦ παρόντος ἐν πλοίῳ ἢ ἐν ἱεροῖς, αὐτοῖς γε τούτοις ἰσχυροτάτοις ἂν ἐχρῶντο, καὶ πίσιν τῆς αἰτίας ταύτην σαφεσάτην ἀπέφαινον, τὰ σημεῖα τὰ ἀπὸ τῶν θεῶν. νῦν δὲ τῶν τε σημείων ἐναντίων τοῖς τούτων λόγοις γιγνομένων, τῶν τε μαρτύρων, ἃ μὲν ἐγὼ λέγω, μαρτυρέντων ἀληθῆ εἶναι, ἃ δ' ἕτοι κατηγοροῦσι, ψευδῆ· τοῖς μὲν ἐμοὶ μαρτυροῦσιν ἀπισεῖν ὑμᾶς κελεύουσι, τοῖς δὲ λόγοις, οἷς αὐτοὶ λέγουσι, πισεύειν ὑμᾶς χρῆναι φασί. καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐλέγχου-

ρήνη· ἃ μόνον τὰ στρατιωτικὰ, ἢ καὶ τὰ πολιτικά· (2) καὶ τοὺς ὁσίως] προσιέθηκα τὰ, Καί· (4) τῆς αἰτίας, ὅτι οὐκ ἀληθῆ] ἦν οὐκ ἀληθῆ μοι κατηγοροῦσι· ἢ ἄτω, μεγάλα τεκμήρια τοῦ μὴ ἀληθῆ τὴν αἰτίαν τούτους ἐμοῦ κατηγορεῖν· (4) Καί μοι ἀνάβητε τούτων μάρτυρες] τὸ, καί μοι ἀνάβητε, προσέθηκα ἐγώ· ἀτελῶς γὰρ εἶχεν ὁ λόγος.

σιν, ἔτοι δὲ τοῖς λόγοις ζητῆσι τὰ ἔργα ἄπιστα καθιστάναι.

1 κθ΄. Ὅσα μὲν ἦν ἐκ τῶν κατηγορηθέντων μέμνημαι, ὦ ἄνδρες, ἀπολελόγημαι. οἶμαι δὲ ἢ ὑμᾶς ἀποψηφίσεσθαι. ταὐτὰ γὰρ ἐμέ τε σώσει, ἢ ὑμῖν νόμιμα ἢ εὔορκα
2 γίγνεται. κατὰ γὰρ τοὺς νόμους ὠμόσατε δικάσειν. ἐγὼ δὲ καθ' οὓς μὲν ἀπήχθην, οὐκ ἔνοχός εἰμι τοῖς νόμοις· ὧν δ' ἔχω τὴν αἰτίαν, ἀγών μοι νόμιμος ὑπολείπεται. εἰ δὲ δύο ἐξ ἑνὸς ἀγῶνος γεγένηθον, οὐκ ἐγὼ αἴτιος,
3 ἀλλ' οἱ κατήγοροι. καίτοι ὦ δήπου, οἱ μὲν ἔχθιστοι οἱ ἐμοὶ δύο ἀγῶνας περὶ ἐμοῦ πεποιήκασιν, ὑμεῖς δὲ, οἱ τῶν δικαίων ἴσοι κριταὶ, προκαταγνώσεσθέ μου ἐν τῷδε τῷ λόγῳ τὸν φόνον· μὴ ὑμεῖς γε, ὦ ἄνδρες· ἀλλὰ δότε τι ἢ τῷ χρόνῳ, μεθ' οὗ ὀρθότατα εὑρίσκουσιν οἱ τὴν
4 ἀκρίβειαν ζητοῦντες τῶν πραγμάτων. ἠξίουν μὲν γὰρ ἔγωγε περὶ τῶν τοιούτων, ὦ ἄνδρες, εἶναι τὴν δίκην κατὰ
5 τοὺς νόμους. κατὰ μέντοι τὸ δίκαιον ὡς πλεισάκις ἐλέγχεσθαι. τοσούτῳ γὰρ ἂν ἄμεινον ἐγιγνώσκετο. οἱ γὰρ πολλοὶ ἀγῶνες τῇ μὲν ἀληθείᾳ σύμμαχοί εἰσι, τῇ δὲ
6 διαβολῇ πολεμιώτατοι. φόνου δὲ δίκη μὴ ὀρθῶς γνωσθεῖσα, ἰσχυροτέρα τοῦ δικαίου ἢ τοῦ ἀληθοῦς ἐστιν. ἀνάγκη γὰρ, ἐὰν ὑμεῖς μου καταψηφίσησθε, ἢ μὴ ὄντα φονέα

(1) Οἶμαι δὲ ἢ ὑμᾶς ἀποψηφίσεσθαι] ἔστρεψα τὸ μὲν, ὑμῶν, εἰς τὸ, ὑμᾶς, τὸ δὲ, ἀποψηφίσασθαι, εἰς μέλλοντα, ἀποψηφίσεσθαι· δῆλος δ' ὁ λόγος· (2) οὐκ ἔνοχος εἰμὶ τοῖς νόμοις] καθ' οὓς ἀπήχθην — προθύτερον σχῆμα· ἐννοεῖ δὲ τοὺς νόμους τοὺς περὶ τῶν κακούργων· (3) οἱ μὲν ἔχθιστοι] ἴσως γραπτέον, εἰ οἱ μὲν ἔχθιστοι· ἢ προθετέον τι ᾠδί· καίτοι ὦδήπου δικαίως, οἱ μὲν τοῦτο, ὑμεῖς δὲ ἐκεῖνο· (3) προκαταγώσεσθε] πρὸ τοῦ ἐξελεγχθῆναι τῷ χρόνῳ τὸν ἀληθῶς φονέα· (5) εἶναι τὴν δίκην κατὰ τοὺς νόμους] εἶτα ἐπιφέρει, ὡς ἐγῷμαι, τὴν ἐπεξήγησιν τούτου, οἷον, τὸ πλεισάκις ἐλέγχεσθαι κατὰ τὸ δίκαιον· σκοτεινὸν ὅμως· ἐνδέχεται δὲ λέγειν, ὅτι κατὰ τοὺς νόμους δίκη γίνεται, ὅτε ἕκαστον ἔγκλημα ἐν ἰδίῳ δικαστηρίῳ κρίνεται· ὡς ἐν τῷ προοιμίῳ τοῦ λόγου εἴρηται· (5) τοιοῦτο γὰρ ἔμεινον ἐγι-

μηδ' ἔνοχον τῷ ἔργῳ, χρῆσθαι τῇ δίκῃ ἢ τῷ νόμῳ· ἢ 7
εἰδεὶς ἂν τολμήσειεν ἔτε τὴν δίκην τὴν δεδικασμένην παραβαίνειν, πιστεύσας αὐτῷ ὅτι οὐκ ἔνοχός ἐστιν, ἔτ' αὖ ξυνειδὼς αὐτῷ τοιοῦτον ἔργον εἰργασμένῳ, μὴ ἐ χρῆσθαι τῷ νόμῳ. ἀνάγκη δὲ τῆς δίκης νικᾶσθαι παρὰ τὸ ἀληθὲς, αὐτοῦ τε τοῦ ἀληθοῦς, ἄλλως τε ἢ ἐὰν μὴ ἡ ὁ τιμωρήσων. αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι, ἢ αἱ διωμο- 8
σίαι, ἢ τὰ τόμια, ἢ αἱ προρρήσεις, ἢ τἄλλ' ὁπόσα γίγνεται τῶν δικῶν ἕνεκα τοῦ φόνου, πολὺ διαφέροντά ἐστιν ἢ ἢ ἐπὶ τοῖς ἄλλοις· ὅτι ἢ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς μὲν γὰρ γνωσθέντα, τιμωρία ἐστὶ τῷ ἀδικηθέντι· φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι, ἁμαρτία 9
ἢ ἀσέβειά ἐστιν εἴς τε τοὺς θεοὺς ἢ εἰς τοὺς νόμους. ἢ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς αἰτιᾶσθαι, ἢ ὑμᾶς τοὺς δικασὰς μὴ ὀρθῶς γνῶναι. ἡ μὲν γὰρ τούτων αἰτία- 10
σις οὐκ ἔχει τέλος, ἀλλ' ἐν ὑμῖν ἐστι ἢ τῇ δίκῃ· ὅ,τι δ' ἂν ὑμεῖς ἐν αὐτῇ τῇ δίκῃ μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἄν τις ἀνενεγκών, τὴν ἁμαρτίαν ἀπολύσαιτο.

λ΄. Πῶς ἂν ἦν ὀρθῶς δικάσητε περὶ αὐτῶν; εἰ τού- 1
τους τε ἐάσετε τὸν νομιζόμενον ὅρκον διομοσαμένους κατηγορῆσαι, κἀμὲ περὶ αὐτοῦ τοῦ πράγματος ἀπολογήσασθαι. πῶς δὲ ἐάσετε; ἐὰν νυνὶ ἀποψηφίσησθέ μου. διαφεύ- 2
γω γὰρ οὐδ' ὅτω τὰς ὑμετέρας γνώμας, ἀλλ' ὑμεῖς ἔσε-

νώσκετο·] τὸ ἐμὸν ἔγκλημα, εἴτι ἦν· ἢ τὸ ἐμὸν δίκαιον· (6) χρῆσθαι τῇ δίκῃ ἢ τῷ νόμῳ] παθεῖν τῷ σώματι ὅπερ ἂν καταγνῶσιν οἱ δικασταί· ὧδε κατωτέρω λά. 7. κἂν τῷ περὶ χαρεντοῦ β΄. 2. (7) ὅτ' αὖ ξυνειδὼς] ἐπανέλαβον τὴν ἀρχαίαν ταύτην γραφήν· ὁ γὰρ Ρείσκης ἔγραψεν, ὅτ' ἀ ξυνειδὼς· ὅτω γὰρ κἂν τῷ περὶ χορεντοῦ β΄. 5. (7) ἀνάγκη της δίκης νικᾶσθαι·] ἰσχυροτέρα γὰρ τοῦ δικαίου ἢ τοῦ ἀληθοῦς, ὡς ἀνωτέρω εἴρηται· αἱ προρρήσεις] προαγορεύσεις εἴργεσθαι τῶν νομίμων· ὧδε ἐν τῷ περὶ τοῦ χορεντοῦ ιά, 3. 5. (10) οὐκ ἔχει τέλος] ἀποτέλεσμα· οὐχ ἕπεται εὐθὺς ἡτιμωρία τῇ αἰτιάσει·

ϑε οἱ κἀκεῖ περὶ ἐμοῦ διαψηφιζόμενοι. ᾗ ἀποψηφισαμένοις μὲν ὑμῖν ἐμοῦ νῦν, ἔξεσι τότε χρῆσθαι ἔτι· ἃ δὲ βούλεσθε ψηφισαμένοις, ἐᾶτε βουλεύσασθαι ἔτι περὶ ἐμοῦ ἐγ-
3 χωρεῖ. ᾗ μὴν εἰ δέοι ἁμαρτεῖν ἐπὶ τῷ δικάζειν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἂν ἦ τοῦ μὴ δικαίως ἀπολέσαι. τὸ μὲν γὰρ, μόνον ἁμάρτημά ἐστι· τὸ δὲ ἕτερον, ᾗ ἀσέβημα. ἐν ᾧ χρὴ πολλὴν πρόνοιαν ἔχειν, μέλλοντας ἀ-
4 νήκεστον ἔργον ἐργάζεσθαι. ἐν μὲν γὰρ ἀκεστῷ πράγματι, ᾗ ὀργῇ χρησαμένους, ᾗ διαβολῇ πεισθομένους, ἔλαττόν ἐστιν ἐξαμαρτεῖν· (μεταγνοὺς γὰρ, ἔτι ἂν ὀρθῶς βουλεύσαιτο) ἐν δὲ τοῖς ἀνηκέστοις πλέον βλάβος τὸ μετα-
5 νοεῖν, ᾗ γνῶναι ἐξημαρτηκότας. ἤδη δέ τισιν ὑμῶν ᾗ μετεμέλησεν ἀπολωλεκόσι. καίτοι ἔπω ὑμῖν τοῖς ἐξαπατηθεῖσι μετεμέλησεν, εἰ ᾗ πάντι χρὴ, τόν γε ἐξα-
6 πατῶντας ἀπολωλεκέναι. ἔπειτα δὲ τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει. τὸ μὲν γὰρ ἀκούσιον ἁμάρτημα, ὦ ἄνδρες, τῆς τύχης
7 ἐστί· τὸ δὲ ἑκούσιον, τῆς γνώμης. ἑκούσιον δὲ πῶς ἂν εἴη μᾶλλον, ἢ εἴ τις, ὧν βουλὴν ποιοῖτο, ταῦτα παραχρῆμα ἐργάζοιτο; ᾗ μὴν τὴν ἴσην γε δύναμιν ἔχει, ὅσις τε ἂν τῇ χειρὶ ἀποκτείνῃ ἀδίκως, ᾗ ὅσις τῇ ψήφῳ.

1 λά. Εὖ δ' ἴσε ὅτι οὐκ ἄν ποτ' ἦλθον εἰς τὴν πόλιν εἴτι ξυνήδειν ἐμαυτῷ τοιοῦτον· νῦν δὲ πιστεύων τῷ δικαίῳ· (ᾧ πλέονος οὐδέν ἐστιν ἄξιον ἀνδρὶ συναγωνίζεσθαι, μηδὲν αὐτῷ συνειδότι ἀνόσιον εἰργασμένῳ, μήτ' εἰς θεὺς ἠσε-
2 βηκότι. ἐν γὰρ τῷ τοιούτῳ ἤδη ᾗ τὸ σῶμα ἀπειρηκὸς ἡ ψυχὴ συνεξέσωσεν, ἐθέλουσα ταλαιπωρεῖν, διὰ τὸ μὴ

(2) Οἱ κἀκεῖ] ἐν τῇ ἄλλῃ δίκῃ, παραχωρήσαντες νῦν τῷ χρόνῳ· αἰτεῖ γὰρ νῦν τέλος λαβεῖν τὴν περὶ λωποδυτῶν δίκην· τὴν δὲ τοῦ φόνου ἐπειδὰν διομόσωσιν οἱ ἀντίδικοι, ὡς εἰκάσαι ἐκ των ἑπομένων· ἴδε λά, 8. (5) ἀπολωλεκόσι] τινὰς τῶν διωκομένων, ἢ τῶν ἐξαπατησάντων· σκοτεινὰ ἀλλ' ἄν ἔμοιγε.

ξυνειδέναι ἑαυτῇ· τῷ δὲ ξυνειδότι τοῦτο αὐτὸ πρῶτον πολέμιόν ἐστιν. ἔτι γὰρ ᾗ τοῦ σώματος ἰσχύοντος ἡ ψυχὴ 3
προαπολείπει, ἡγεμένη τὴν τιμωρίαν οἱ ἥκειν ταύτην τῶν ἠσεβηκότων) ἐγὼ δ' ἐμαυτῷ τοιοῦτον οὐδὲν ξυνειδὼς, ἥκω εἰς ὑμᾶς. τὸ δὲ τοὺς κατηγόρους διαβάλλειν οὐδέν ἐστι θαυμαστόν. τούτων γὰρ ἔργον τοῦτο· ὑμῶν δὲ, τὸ μὴ πει- 4
σθῆναι τὰ δίκαια. τοῦτο μὲν γὰρ, ἐμοὶ πειθομένοις ὑμῖν μεταμελῆσαι ἐστὶ, ᾗ τότε φάρμακον τὸ αὖθις κολάσαι· τοῦ δὲ τούτοις πειθομένους ἐξεργάσασθαι, ἃ ἕτοι βούλονται, οὐκ ἔστιν ἴασις· οὐδὲ χρόνος πολὺς ὁ διαφέρων· ἐν ᾧ ταῦ- 5
τα νομίμως πράξεθ' ἃ νῦν ὑμᾶς παρανόμως πείθουσιν οἱ κατήγοροι ψηφίσασθαι. ὅτι τῶν ἐπειγομένων ἐστὶ τὰ πράγματα, ἀλλὰ τῶν εὖ βουλευομένων. νῦν μὲν οὖν γνωρισαὶ 6
γίνεσθε τῆς δίκης, τότε δὲ δικάσαι τῶν μαρτύρων· νῦν μὲν δοξάσαι, τότε δὲ κριταὶ τῶν ἀληθῶν. ἀραῖς τῶν δέ τοι ἐστὶν ἀνδρὸς περὶ θανάτου φεύγοντος τὰ ψευδῆ καταμαρτυρῆσαι. ἐὰν γὰρ τὸ παραχρῆμα μόνον πείσωσιν ὥσε 7
ἀποκτεῖναι, ἅμα τῷ σώματι ᾗ ἡ τιμωρία ἀπόλωλεν. ὅτε γὰρ οἱ φίλοι ἔτι θελήσουσιν ὑπὲρ ἀπολωλότος τιμωρεῖν· ἐὰν δὲ ᾗ βουληθῶσι, τί ἔσαι πλέον τῷ γε ἀποθανόντι; νῦν μὲν οὖν ἀποψηφίσασθέ μου. ἐν δὲ τῇ τοῦ φόνου 8
δίκῃ, ἕτοιτε τὸν νομιζόμενον ὅρκον διομοσάμενοι, ἐμοῦ

(2) Τοῦτο αὐτὸ] τὸ ξυνειδέναι ἑαυτῷ τινα ἀδικήσαντι· (3) τῶν ἠσεβηκότων] ἴσως τῶν ἠσεβημένων· (3) ἐγὼ ἐμαυτῷ οὐδὲν τοιοῦτον ξυνειδὼς] ἐπανάλαβε τὴν εὐθεῖαν μετὰ μακρὰν παρένθεσιν, τὴν, νῦν δὲ πιστεύων τῷ δικαίῳ — ἥκω εἰς ὑμᾶς· τὸ δὲ τοὺς κατηγόρους διαβάλλειν (ἐμὲ) οὐδὲν θαυμαστόν· (4) τὸ μὴ πεισθῆναι τὰ δίκαια·] ἤτοι γραπτέον, τὰ μὴ δίκαια, ἢ παρὰ τὰ δίκαια· ἢ ἀναπληρωτέον ὧδί, τὸ μὴ πεισθῆναι, ὃ ᾗ δίκαιον ἐστι μὴ πεισθῆναι τοῖς διαβάλλουσι· (4) τοῦτο μὲν γὰρ] ἀντεγραμμένον ᾗ τοῦτο ἄμεινον γὰρ ὧδί· τοῦ μὲν γὰρ ἐμοὶ πειθομένοις μεταμελῆσαι, τούτου φάρμακον ἐστὶ τὸ αὖθις κολάσαι· τοῦ δὲ ᾗ τλ. (5) χρόνος ὁ διαφέρων] ὁ μεταξὺ μέχρι τῆς κολάσεως· (5) ὅτι] τὸ, τί, παρέλκειν δοκεῖ· (6) ἀραῖς τῶν δὲ] τῶν ἀπαισίων ἐστὶ, βούλεταί τις γράφειν· ἀλλ' οὐκ ἔστιν εἰκάσαι· ἴσως, ἀραῖς περιπίπτειν ἐστὶν ᾗ τλ. (7) ἡ τιμωρία] ἡ ἐκδίκησις πρὸς τοὺς ἐμὲ ἀ-

κατηγορήσασι, ἢ ὑμεῖς περὶ ἐμοῦ κατὰ τοὺς κειμένους νόμους διαγνώσεσθε. ἢ ἐμοὶ ὀδεὶς λόγος ἔτι, ἐάν γε πάσχων, ὡς παράνομος ἀπόλωμαι.

1 λβ'. Ταῦτά τοι δέομαι ὑμῶν, ὅτε τὸ ὑμέτερον εὐσε-
2 βὲς παρεὶς, ὅτε ἐμαυτὸν ἀποσερῶν τὸ δίκαιον. ἐν δὲ τῷ ὑμετέρῳ ὅρκῳ ἢ ἡ ἐμὴ σωτηρία ἔνεστι. πειθόμενοι δὲ τούτων ὅτῳ βέλεσθε, ἀποψηφίσασθέ μου.

ΑΝΤΙΦΩΝΤΟΣ

ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΧΟΡΕΥΤΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Πόσοι μέν εἰσιν Ἀθήνησι χορηγοὶ, ἢ τίνος προβάλλονται χάριν, ἢ πόσους τρέφειν ἀναγκάζονται παῖδας, ἐκ τῶν Δημοσθένους ἀκριβῶς ἔγνωμεν λόγων. ὁ μὲν τοίνυν ἐν τοῖς χρόνοις Ἀντιφῶντος τοῦ ῥήτορος χορηγός τις εἶναι λαχὼν τῆς αὐτοῦ φυλῆς Ἐρεχθηίδος, ἢ προσέτι Κεκροπίδος, τοὺς χορεύειν μέλλοντας ἐπὶ τῆς οἰκίας ἔτρεφε παῖδας. τούτων εἷς εὐφωνίας χάριν ἔπιεν φάρμακον, ἢ πιὼν τέθνηκεν. ὁ ἓν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορευτοῦ, ὡς αὐτοῦ πεποιηκότος τὸν φόνον. ἀπολογεῖται δὲ ὁ χορευτὴς, ἀρνούμενος τὸν φόνον. Ἡ ῥάσις, ἐσχασμός. ἀδήλου τοῦ ἐγκλήματος ὄντος, σημεῖον φανερὸν ὁ κατήγορος λαμβάνει τὸ ἐν τῇ οἰκίᾳ τοῦ χορευτοῦ γυμνάζεσθαι τοὺς παῖδας. ὅπερ ἐστὶν ἀνεύθυνον μὲν, πιθανὸν δ' εἰς ὑποψίαν.

δίκως φονεύσαντας, ἧς μὴ γενομένης, δυσυχίαι τῇ πόλει συμβαίνουσι. (8) ὡς παράνομος] ὅτως ἐπανέλαβον τὴν ἀρχαίαν γραφὴν ἀντὶ τοῦ, παρὰ Ῥείσκῃ, ὡς παρανόμως· εἰλήφθω γὰρ ἡ λέξις· ἀντὶ τοῦ κακοῦργος φονεύς· ἡ γὰρ συνθήκη ὅτως ἔχει· οἷον, ἢ ἐμοὶ ὀδεὶς λόγος ἔτι (μένει) ἐὰν ἀπόλωμαι, ὡς παράνομος πάσχων· εἰδὲ μὴ, γραπτέον ὅτω διορθώσαντας τἄλλα· οἷον, ἢ ἐμοὶ ὀδεὶς λόγος ἔτι λοιπὸς, ἐάν γε πάθω, ὡς (ὅτι) παρανόμως ἀπόλλυμαι.

(1) Πειθόμενοι δὲ τούτων ὅτῳ βέλεσθε] ἢ τῷ εὐσεβοῦ, ἢ τῷ δικαίῳ.

Ἥδιον μέν, ὦ ἄνδρες δικασταὶ, ἀνθρώπῳ ὄντι, 1
μὴ γενέσθαι μηδένα κίνδυνον περὶ τοῦ σώματος, ἢ εὐχόμενος ἄντις ταῦτα εὔξαιτο· εἰ δ' ἄρατις ἢ ἀναγκάζοι- 2
το κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν (ὃ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ) αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι, ἀλλ' εἴτις ἢ συμφορὰ γένοιτο, ἄνευ κακότητος ἢ αἰσχύνης γίνεσθαι, ἢ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. ἢ τοὺς μὲν νόμους, οἳ κεῖνται περὶ τῶν τοιούτων, πάντες ἂν ἐπαινέσειαν κάλλιστα νόμων κεῖσθαι ἢ ὁσιώτατα. ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ 3
γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν. ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων. ὁ χρόνος γὰρ ἢ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους. ὥσ' ἃ δεῖ ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος ὑμᾶς τοὺς 4
νόμους μαθεῖν, εἰ καλῶς ἔχουσιν, ἢ μὴ, ἀλλ' ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς ἢ νομίμως διδάσκουσιν, ἢ ἔ.

β'. Ὁ μὲν ἓν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι ἢ 1
διωκομένῳ· ἡγοῦμαι μέντοι γε ἢ ὑμῖν τοῖς δικασταῖς περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς διαγινώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα ἢ τοῦ εὐσεβοῦς· ἔπειτα δὲ ἢ ὑμῶν αὐτῶν. ἔστι μὲν γὰρ περὶ τοιούτου αὐτοῦ μία δίκη· αὕ- 2
τη δὲ μὴ ὀρθῶς καταγνωσθεῖσα, ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου ἢ τοῦ ἀληθοῦς. ἀνάγκη γὰρ, ἐὰν ὑμεῖς καταψηφίσησθε, ἢ μὴ ὄντα φονέα, μηδὲ ἔνοχον τῷ ἔργῳ, χρήσασθαι τῇ δίκῃ ἢ τῷ νόμῳ, εἴργεσθαι πόλεως, ἱερῶν, θυσιῶν, ἀγώνων· ἅπερ μέγιστα ἢ παλαιότατα τοῖς ἀν-

(1) Πάντες ἂν ἐπαινέσειαν] πάντες ἂν εἴποιεν ἐπαινοῦντες, ὅτι κάλλιστα πάντων τῶν νόμων κεῖνται ἢ ὁσιώτατα.

(1) Τὰ φονικὰς δίκας] προσέθηκα τὸ, δίκας· ἀσύνηθες γὰρ τὸ τοιοῦτον ἐξυπακούεσθαι· (2) ἰσχυροτέραἐστὶ τοῦ δικαίου] ταὐτὸν κἀν τῷ περὶ Ἡρώδου κθ'. 6. ἢ ἑξῆς τὰ πολλά.

3 θρώποις. τοσαύτην γὰρ ἀνάγκην ὁ νόμος ἔχει, ὥσε ἢ
ἄν τις κτείνῃ τινὰ, ὧν αὐτὸς κρατεῖ, ἢ μὴ ἔσιν ὁ τιμωρή-
σων, τὸ νομιζόμενον ἢ τὸ θεῖον δεδιὼς, ἁγνεύει τε ἑαυ-
τὸν, ἢ ἀφέξεται ὧν εἴρηται ἐν τῷ νόμῳ, ἐλπίζων ὅτως
4 ἂν ἄρισα πράξειν. ἔσι μὲν γὰρ τὰ πλείω τοῖς ἀνθρώποις
τῷ βίῳ ἐν ταῖς ἐλπίσιν. ἀσεβῶν δὲ ἢ παραβαίνων τὰ εἰς
τὲς θεὲς, ἢ αὐτῆς ἂν τῆς ἐλπίδος (ὅπερ ἐσι μέγισον
5 ἀνθρώποις τῷ βίῳ ἀγαθὸν) αὐτὸς αὑτὸν ἀποξερῶι. καὶ
ἐδεὶς ἂν τολμήσειεν ἔτ' ἂν τὴν δίκην τὴν δεδοκιμασμέ-
νην παραβαίνειν, πισεύσας ὅτι ἐκ ἔνοχός ἐσι τῷ ἔργῳ·
ἔτ' αὖ συνειδὼς αὐτὸς αὑτῷ ἔργον εἰργασμένος τοιῶτον,
μὴ ἐ χρῆσθαι τῷ νόμῳ. ἀνάγκη δὲ τῆς τε δίκης νικᾶσθαι
παρὰ τὸ ἀληθὲς, αὐτῶ τε τῷ ἀληθῶς, κἂν μὴ ὁ τιμω-
6 ρήσων ᾖ. αὐτῶν δὲ τέτων ἕνεκα οἵτε νόμοι ἢ αἱ διωμο-
σίαι, ἢ τὰ τόμια, ἢ αἱ προρρήσεις, ἢ τἄλλ' ὅσα γί-
νεται τῶν δικῶν τῷ φόνῳ ἕνεκα, πολὺ διαφέροντά ἐσιν ἢ
ἐπὶ τοῖς ἄλλοις· ὅτι ἢ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ
7 κίνδυνοι, περὶ πλείσε ἐσὶν ὀρθῶς γιγνώσκεσθαι. ὀρθῶς
μὲν γὰρ γνωσθέντα, τιμωρία ἐσὶν ὑπὲρ τῷ ἀδικηθέντος·
φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι, ἁμαρτία ἢ ἀσέβεια
εἴς τε τὲς θεὲς ἢ τὲς νόμες. ἢ ἐκ ἴσον ἐσὶ τόν τε διώ-
κοντα μὴ ὀρθῶς αἰτιᾶσθαι, ἢ ὑμᾶς τὲς δικασὰς μὴ ὀρ-
8 θῶς γνῶναι. ἡ μὲν γὰρ τέτε αἰτίασις ἐκ ἔχει [νῦν] τέ-
λος, ἀλλ' ἐν ὑμῖν ἐσι ἢ τῇ δίκῃ, ὅ,τι δ' ἂν ὑμεῖς μὴ
ὀρθῶς γνῶτε, τῶτο ἐκ ἔσιν ὅπῃ ἂν ἀνενεγκών τις τὴν
αἰτίαν ἀπολύσαιτο.

1 γ΄. Ἐγὼ δὲ, ὦ ἄνδρες, ἐ τὴν αὐτὴν γνώμην ἔχω
περὶ τῆς ἀπολογίας, ἥνπερ οἱ κατήγοροι περὶ τῆς
κατηγορίας. ἔτοι γὰρ τὴν μὲν δίωξιν, εὐσεβείας ἕνεκα
φασὶ πεποιῆθαι ἢ τῷ δικαίῳ· τὴν δὲ κατηγορίαν ἅπα-
σαν πεποίηνται διαβολῆς ἕνεκα ἢ ἀπάτης· ὅπερ ἀδικώ-

τατόν ἐσι τῶν ἐν ἀνθρώποις. ἢ ἐκ ἐλέγξαντες, εἰ γ' 2
ἀδικῶ, δικαίως με βάλονται τιμωρεῖσθαι. ἀλλὰ διαβάλ-
λοντες, ἢ εἰ μηδὲν ἀδικῶ, ζημιῶσαι ἢ ἐξελάσαι ἐκ
τῆς γῆς ταύτης. ἐγὼ δὲ ἀξιῶ πρῶτον μὲν περὶ αὐτῷ τῷ
πράγματος κρίνεσθαι, ἢ διηγήσασθαι ἐν ὑμῖν τὰ γενό-
μενα πάντα· ἔπειτα περὶ τῶν ἄλλων, ὧν ἔτοι κατηγο- 3
ρήσεσιν, ἐὰν ὑμῖν ἡδομένοις ᾖ, βελήσομαι ἀπολογήσα-
σθαι. ἡγέμαι γάρ μοι τιμὴν ἢ ὠφέλειαν αὐτὰ οἴσειν,
τοῖς δὲ κατηγόροις ἢ τοῖς ἐπηρεάζεσιν αἰσχύνην. ἐπείτοι 4
γε ἢ δεινὸν, ὦ ἄνδρες. ἵνα μὲν ἐξῇν αὐτοῖς, εἴ τι ἐγὼ
ἠδίκεν τὴν πόλιν ἢ ἐν χορηγίᾳ, ἢ ἐν ἄλλοις τισὶν, ἀπο-
φήνασι ἢ ἐλέγξασιν, ἄνδρα τε ἐχθρὸν τιμωρήσασθαι,
ἢ τὴν πόλιν ὠφελῆσαι, ἐνταῦθα μὲν ἐδεὶς πώποτε οἷός
τε ἐγένετο αὐτῶν ἔτε μικρὸν, ἔτε μέγα ἐλέγξαι ἀδι-
κοῦντα τόνδε τὸν ἄνδρα τὸ πλῆθος τὸ ὑμέτερον· ἐν δὲ 5
τέτῳ τῷ ἀγῶνι, φόνε διώκοντες, ἢ τῷ νόμε ὅτως ἔχον-
τος εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν, μηχανῶνται ἐπ'
ἐμὲ λόγες ψευδεῖς συντιθέντες, ἢ διαβάλλοντες τὰ εἰς
τὴν πόλιν· ἢ τῇ μὲν πόλει, εἰ μὲν ἀδικεῖται, κατηγο-
ρίαν ἀντὶ τιμωρίας ἀπονέμεσιν, αὐτοὶ δὲ ὦ τὴν πόλιν
φασὶν ἀδικεῖσθαι, τετεὶ δὴ ἀξιῶσι δίκην λαμβάνειν. καί 6
τοι αὗται αἱ κατηγορίαι, ἔτε χάριτος ἄξιαι, ἔτε πί-
σεως. ἔτε γὰρ δὴ ἕ ἡ πόλις ἐλάμβανεν ἂν δίκην, εἴ τι
ἠδίκητο, ἐνταῦθα τὴν κατηγορίαν ποιεῖται, ὥσε χάρι-
τος ἄξιον εἶναι τῇ πόλει· ἔτε, ὅς τις ἄλλα κατηγορεῖ,
ἢ ἃ διώκει, ἐν πράγματι τοιέτῳ, πισεῦσαι δήπε αὐτῷ

(5) Καὶ τῷ νόμῳ ὅτως ἔχοντος] οἷον τὸ ἐξῆς, εἰς αὐτὸ τὸ πρᾶγμα κα-
τηγορεῖν δηλονότι, ἢ μὴ εἰς ἄλλα ἀποπλανᾶθαι διαβάλλοντας· (5) τὰ
εἰς τὴν πόλιν] γενόμενά μοι δῆθεν ἁμαρτήματα, κατηγοροῦντες μὲν περὶ
τῶν πρὸς τὴν πόλιν, ἀξιοῦντες δὲ περὶ τῶν ἰδίων δίκην λαμβάνειν· (6)
ποιεῖται] ὁ ἀντίδικος· ἴσως δὲ, ποιοῦνται· (6) ἢ ἄλλα κατηγορεῖ] ἐξῆ-
λειψα τὸ, ἢ.

ἀξιώτερόν ἐσιν ἢ ἀπισῆσαι. ἐγὼ δὲ χεδὸν ἐπίσαμαι τὴν 7
ὑμετέραν γνώμην, ὅτι ἐκ ἂν καταψηφίσηθε, ἔτ' ἂν ἀ-
ποψηφίσηθε ἑτέρε τινὸς ἕνεκα μᾶλλον, ἢ αὐτῆ τῆ πράγ-
ματος. ταῦτα γὰρ ἔ δίκαια ἔ ὅσια. ἄρξομαι δὲ ἐντεῦθεν.

δ'. Ἐπειδὴ χορηγὸς κατεσάθην εἰς Θαργήλια, ἔ 1
ἔλαχον Παντακλέα διδάσκαλον ἔ Κεκροπίδα φυλὴν πρὸς
τῇ ἐμαυτῆ, τετέσι τῇ Ἐρεχθηίδι, ἐχορήγεν ὡς ἄρισα
ἐδυνάμην ἔ δικαιόταται. ἔ πρῶτον μὲν διδασκαλεῖον, ἢ 2
ἐπιτηδειότατον τῆς ἐμῆς οἰκίας, κατεσκεύασα, ἐν ᾧπερ
ἔ Διονυσίοις ἐχορήγεν, ἐδίδασκον. ἔπειτα τὸν χορὸν
συνέλεξα ὡς ἐδυνάμην ἄρισα, ἔτε ζημιώσας ἐδένα. ἔτε 3
ἐνέχυρα βία φέρων, ἔτ' ἀπεχθανόμενος ἐδενί· ἀλλ',
ὥσπερ ἂν ἥδισα ἔ ἐπιτηδειότατα ἀμφοτέροις ἐγίγνετο,
ἐγὼ μὲν ἐκέλευον ἔ ἡγέμην, οἱ δ' ἑκόντες ἔ βελόμε-
νοι ἔπεμπον. ἐπειδὴ δὲ ἦκον οἱ παῖδες, πρῶτον μέν μοι
ἀχολία ἦν παρεῖναι ἔ ἐπιμελεῖσθαι. ἐτύγχανε γάρ μοι 4
πράγματα ὄντα πρὸς Ἀρίσωνα ἔ Φιλῖνον, ἃ ἐγὼ περὶ
πολλῆ ἐποιέμην, ἐπειδὴ παρήγγειλα, ὀρθῶς ἔ δικαιως
ἀποδεῖξαι ἔ τοῖς ἄλλοις Ἀθηναίοις. ἐγὼ μὲν ἓν τέτοις 5
προσεῖχον τὸν νῶν. κατέσησα δὲ ἐπιμελεῖσθαι, εἴ τι δέοι
τῷ χορῷ, Φαινόρατον, δημότην μὲν τετωνὶ τῶν διωκόν-
των, κηδεσὴν δ' ἐμαυτῆ, ᾧ ἐγὼ δέδωκα τὴν θυγατέ-
ρα. ἔ ἠξίεν αὐτὸν ἄρισα ἐπιμελεῖσθαι. ἔτι δὲ πρὸς τέ-
τῳ δύο ἄνδρας, τὸν μὲν, Ἐρεχθηίδος, Ἀμυνίαν, ὃν
αὐτοὶ οἱ φυλέται ἐψηφίσαντο συλλέγειν ἔ ἐπιμελεῖσθαι
τῆς φυλῆς ἑκάστοτε, δοκοῦντα χρησὸν εἶναι· τὸν δ' ἕτε- 6

(2) Καὶ Διονυσίοις ἐχορήγεν, ἐδίδασκον] καλῶς εἰκάζει Ρ'εἴσκης, ὅτε δεῖ γράφειν, ἔ ὅτε Διονυσίοις· ὁμοίως δὲ ἔ κατωτέρω μικρὸν, ἀφαιρῶν, ἀντὶ τῆ, φέρων· (3) ἀμφοτέροις] ἐμοί τι ἔ τοῖς πατράσι τῶν παίδων· (3) ἐκέλευον] τὲς πατέρας πέμπειν ὡς ἐμὲ τὲς παῖδας· (4) παρήγγειλα] ἐμήνυσα· ἄμεινον δὲ εἰσήγγειλα ὡς κατωτέρω· ιά. 4. (5) συλλέγειν] τὲς παῖδας τῆς φυλῆς.

ρον, τῆς Κεκροπίδος, ὅσπερ ἑκάστοτε εἴωθε ταύτην τὴν
φυλὴν συλλέγειν. ἔτι δὲ τέταρτον, Φίλιππον· ᾧ προσε- 7
τέτακτο ὠνεῖσθαι ἔ ἀναλίσκειν ὅ,τι φράζοι ὁ διδάσκα-
λος, ἢ ἄλλός τις τέτων, ὅπως ἄρισα χορηγοῖντο οἱ παῖ-
δες, ἔ μηδενὸς ἐνδεεῖς εἶεν διὰ τὴν ἐμὴν ἀχολίαν. κα-
θεσήκει μὲν ἡ χορηγία ἔτω· ἔ τέτων εἴτι ψεύδομαι 8
προφάσεως ἕνεκα, ἔξεσι τῷ κατηγόρῳ ἐλέγξαι ἐν τῷ
ὑσέρῳ λόγῳ ὅ,τι ἂν βέληται εἰπεῖν.

ε'. Ἐπεὶ τοιέτως ἔχει, ὦ ἄνδρες· πολλοὶ τῶν περιε- 1
σώτων τέτων τὰ μὲν πράγματα ταῦτα πάντα ἀκριβῶς
ἐπίσανται, ἔ τῆ ὁρκωτῆ ἀκέσι, ἔ ἐμοὶ προσέχσι τὸν
νῶν, ἅττα ἐγὼ ἀποκρίνομαι· οἷς ἐγὼ ἐβελόμην ἂν δο-
κεῖν αὐτός τε εὔορκος εἶναι, ἔ ὑμᾶς τἀληθῆ λέγων πεῖ-
σαι ἀποψηφίσασθαί μ. πρῶτον μὲν ἓν ἀποδείξω ὑμῖν, 2
ὅτι ἔτ' ἐκέλευσα τὸν παῖδα πιεῖν τὸ φάρμακον, ἔτ' ἠ-
νάγκασα, ἔτ' ἔδωκα· ἔ ἔτε παρῆν ὅτ' ἔπιεν. ἔ ἐ τέτε
ἕνεκα ταῦτα σφόδρα λέγω, ὡς ἐμαυτὸν ἔξω αἰτίας κα-
τασήσω, ἕτερον δέ τινα εἰς αἰτίαν ἀγάγω· ἐ δῆτα ἔγω- 3
γε. πλήν γε τῆς τύχης, ἥπερ, οἶμαι, ἔ ἄλλοις πολ-
λοῖς ἀνθρώπων αἰτία ἐσὶν ἀποθανεῖν. ἣν ἔτ' ἂν ἐγὼ, ἔτ'
ἄλλος ἐδεὶς οἷός τ' ἂν εἴη ἀποσρέψαι μὴ ἐ γενέσθαι, ἥν
τινα δεῖ ἑκάσῳ. ΜΑΡΤΤΡΕΣ.

ς'. Μεμαρτύρηται μὲν ἓν, ὦ ἄνδρες, περὶ τῆ πράγ- 1
ματος, ἃ ἐγὼ ὑμῖν ὑπεχόμην. ἐξ αὐτῶν δὲ τέτων χρὴ
σκοπεῖν, ἄτε ἔτοι διωμόσαντο ἔ ἃ ἐγὼ, πότεροι ἀλη-
θέσερα ἔ εὐορκότερα. διωμόσαντο γὰρ ἔτοι μὲν ἀποκ- 2
τεῖναί με Διόδοτον βελεύσαντα αὐτῷ θάνατον· ἐγὼ δὲ
μὴ ἀποκτεῖναι, μήτε χειρὶ ἀράμενον, μήτε βελεῦσαι.

(2) Διόδοτον] τὸν ἀποθανόντα παῖδα· (2) μήτε βελεῦσαι.] ἄμεινον ἦν εἰς μετοχὴν, μήτε βελεύσαντα· τὸ δὲ μήτε χειρὶ ἀράμενον, εἴη ἂν

αἰτιῶνται δὲ ὅτοι μὲν ἐκ τούτων, ὡς ὅτος κελεύσειε πιεῖν
3 τὸν παῖδα τὸ φάρμακον, ἢ ἠνάγκασεν, ἢ ἔδωκεν. ἐγὼ δὲ ἐξ αὐτῶν τούτων, ὧν αἰτιῶνται ὅτοι, ἀποφανῶ, ὅτι ἐκ ἔνοχός εἰμι. ὅτε γὰρ ἐκέλευσα, ὅτ' ἔδωκα, ὅτ' ἠνάγκασα. ἢ ἔτι προσίθημι αὐτοῖς, ὅτι ὁ παρεγενόμην πίνοντι, ἢ εἰ φασὶν ἀδικεῖν, εἴτις ἠνάγκασεν, ἐγὼ ἐκ
4 ἀδικῶ· ὁ γὰρ ἠνάγκασα. ἢ εἰ τὸν δόντα τὸ φάρμακον φασὶν αἴτιον εἶναι, ἐγὼ ἐκ αἴτιος· ὁ γὰρ ἔδωκα. αἰτιάσασθαι μὲν ἔν ἢ καταψεύσασθαι ἔξεσι τῷ βουλομένῳ
5 (αὐτὸς γὰρ ἕκαστος τοῦτο κρατεῖ). γενέσθαι μέντοι τὰ μὴ γενόμενα, ἢ ἀδικεῖν τὸν μὴ ἀδικοῦντα, ἐκ ἐν τοῖς τούτων λόγοις ἡγοῦμαι εἶναι, ἀλλ' ἐν τῷ δικαίῳ ἢ ἐν τῷ ἀληθεῖ· ὁπόσα μὲν γὰρ λάθρα πράττεται, ἢ ἐπὶ θανάτῳ βουλευθέντα, ὧν μὴ εἰσὶ μάρτυρες, ἀνάγκη περὶ τῶν τοιούτων ἐξ αὐτῶν τῶν λόγων τῶν τοῦ κατηγόρου ἢ τοῦ ἀποκρινομένου τὴν διάγνωσιν ποιεῖσθαι ἢ θηρεύειν, ἢ ἐπὶ σμικρὸν ὑπονοεῖν τὰ λεγόμενα, ἢ εἰκάζοντας μᾶλλον ἢ
6 σάφα εἰδότας, ψηφίζεσθαι περὶ τῶν πραγμάτων· ὅπου δὲ πρῶτον μὲν αὐτοὶ οἱ κατήγοροι ὁμολογοῦσι μὴ ἐκ προνοίας, μηδ' ἐκ παρασκευῆς γενέσθαι τὸν θάνατον τῷ παιδὶ, ἔπειτα τὰ πραχθέντα φανερῶς ἅπαντα πραχθῆναι, ἢ ἐναντίον μαρτύρων πολλῶν, ἢ ἀνδρῶν, ἢ παίδων, ἢ ἐλευθέρων ἢ δούλων, ἐξ ὧν περ, ἢ εἴτις ἠδίκησε, φανερώτατος ἂν εἴη, ἢ εἴτις μὴ ἀδικοῦντα αἰτιῷτο, μάλιστα ἐξελέγχοιτο.

1 ζ. Ἄξιον δ' ἐνθυμηθῆναι, ὦ ἄνδρες, ἀμφότερα ἢ

ὅτως μήτε διὰ χειρὸς, ἀράμενον αὐτήν· (2) ὡς ὅτος κελεύσειε] ὁ Φαινόστρατος· (4) τοῦτο κρατεῖ] γραπτέον, τοῦτο, ἵν' ᾖ, αὐτὸς ἕκαστος τοῦ καταψεύδεσθαί ἐστι κύριος· (6) μάλιστα ἐξελεγχθείη] ἐλλείπει ἡ ἀπόδοσις τῆς ἐννοίας ταύτης· ἥτις ἐξαρτᾶται ἄνωθεν ἀπὸ τοῦ, ὅπου· οἷον, ὅπου ταῦτα ἢ ταῦτα γίνεται — ἐνταῦθα ῥᾴδιον ποιεῖσθαι τὴν τοῦ πράγματος διάγνωσιν· ἢ ῥᾴδιον περὶ τούτων ψηφίσασθαι.

τὴν γνώμην τῶν ἀντιδίκων, ἢ οἵῳ τρόπῳ ἔρχονται ἐπὶ τὰ πράγματα. ἐξ ἀρχῆς γὰρ ὠδὲν ὁμοίως ὅτοί τε πρὸς ἐμὲ πράττουσι, ἢ ἐγὼ πρὸς τούτους. ἔλεξε μὲν γὰρ Φι- 2
λοκράτης ὅτοσὶ ἀναβὰς εἰς τὴν ἡλιαίαν τὴν τῶν θεσμοθετῶν, τῇ ἡμέρᾳ, ᾗ ὁ παῖς ἐξεφέρετο, ὅτι ἀδελφὸν αὐτοῦ ἀποκτείναιμι ἐγὼ, ἐν τῷ χορῷ φάρμακον ἀναγκασάς πιεῖν. ἐπειδὴ ὅτος ταῦτ' ἔλεγεν, ἀναβὰς ἐγὼ εἰς 3
τὸ δικαστήριον, τοῖς αὐτοῖς δικασταῖς ἔλεξα, ὅτι τὸν μὲν νόμον ὀ δίκαιον ὁ προκαθῆσθαι εἰ Φιλοκράτης κατηγορῶν ἢ διαβάλλων, εἰς τὸ δικαστήριον μελλόντων ἔσεσθαί μοι ἀγώνων πρὸς Ἀριστώνα ἢ Φιλῖνον αὔριον τῇ ἔννῃ, ὧν περ ἕνεκα τοὺς λόγους τούτους λέγει· ἀ μέντοι αἰτιῶτο ἢ δια- 4
βάλλοι, ῥᾳδίως ἐξελεγχθήσοιτο ψευδόμενος. εἰσὶ γὰρ οἱ συνειδότες πολλοὶ, ἢ ἐλεύθεροι ἢ δοῦλοι, ἢ νεώτεροι, σύμπαντες πλείους ἢ πεντήκοντα· οἳ τούς τε λόγους τοὺς λεχθέντας περὶ τῆς πόσεως τοῦ φαρμάκου, ἢ τὰ πραχθέντα ἢ τὰ λεγόμενα πάντα ἠπίσαντο. ἢ εἶπόν τε 5
ταῦτα ἐν τῷ δικαστηρίῳ, ἢ πρόκαλέμην αὐτὸν εὐθὺς τότε, ἢ αὖθις τῇ ὑστεραίᾳ ἐν τοῖς αὐτοῖς δικασταῖς, ἢ ἰέναι ἐκέλευον λαβόντα μάρτυρας ὁπόσους βέλοιτο ἐπὶ τοὺς παραγενομένους· λέγων αὐτῶν ὀνόμασὶ ἕκαστον, τούτους ἐ-

(1) Καὶ τὴν γνώμην τῶν ἀντιδίκων.] ἔτρεψα τὴν γενικὴν εἰς αἰτιατικὴν, γνώμην· ἄλλως γὰρ ἐκ ἂν ὑγιαίνοι· (2) Φιλοκράτης] ἀδελφὸς τοῦ θανόντος παιδός· (2) εἰς τὴν ἡλιαίαν] σύνοδον, δικαστήριον· παρὰ τὸ ἐν ὑπαίθρῳ ἁλίζεσθαι αὐτόθι· (3) τὸν μὲν νόμον ὀ δίκαιον ὁ προκαθῆσθαι·] εἰ μή τι διέφθαρται, ἐκεῖνο ἂν ἐννοοίη· οἷον, ὀ δίκαιον μὴ προκαθῆσθαι τὸν νόμον· ὅ ἐστι προτιμᾶσθαι ἐν τοῖς δικαστηρίοις· δεῖ γὰρ ἐμὲ πρῶτον τὰς διαφορὰς πρὸς Ἀριστίωνα (ἢ Ἀρίστωνα) λύσασθαι, εἶτα ἢ αὐτός· ἀλλὰ ἢ ὅτως ἡ εὐθεῖα, Φιλοκράτης, ἐστὶν ἀναπόδοτος· ὅθεν ἡ τοῦ Γρίφου διόρθωσις καλῶς ἂν ἔχοι· οἷον, τὸ μὲν ὅλον ὀ δίκαιον, ὠδὲ πρόσκοπον ποιεῖ Φιλοκράτης, ἢ τλ. (3) αὔριον τῇ ἔννῃ] αὔριον ἢ τῇ ἕνῃ, γραπτέον εἶναι Γρίφου φησί· ἕνῃ γὰρ ἡ μετὰ τὴν αὔριον· ὡς ἢ Ἀρποκρατίων, ἢ εἰς ἕνην, τὸ εἰς τρίτην λέγουσι· ἴδε δὲ ἢ κατωτέρω τὴν εἰκασίαν ἐκ τοῦ, ὑστεραία· ιά. 3, 7· (3) ὧν ἕνεκα] Ἀριστώνος ἢ Φιλίνου.

ρωτᾶν, ἐλέγχειν· τὸς μὲν ἐλευθέρους· (οἱ σφῶν ἕνεκα καὶ τᾶ δικαίᾳ ἔφραζον ἂν τἀληθῆ καὶ τὰ γενόμενα) τὸς δὲ δούλους, εἰ μὲν αὐτῷ ἐρωτῶντι τἀληθῆ δοκοῖεν λέγειν, εἰ δὲ μή, ἕτοιμοι ταῖεν διδόναι βασανίζειν τρόπῳ ὁποίῳ βούλοιτο. καὶ ταῦτα ἐμᾶ προκαλεμένω καὶ λέγοντος ἐν τῷ δικασηρίῳ, ἃ καὶ αὐτοὶ οἱ δικασταὶ καὶ ἕτεροι ἰδιῶται πολλοὶ μάρτυρες παρῆσαν, ἔστε τότε παραχρῆμα, ἔστε ὕστερον ἐν παντὶ χρόνῳ ἐδέποτε ἠθέλησαν ἐλθεῖν ἐπὶ τοῦτο τὸ δίκαιον, εὖ εἰδότες, ὅτι οὐκ ἂν τούτοις κατ' ἐμοῦ ἔλεγχος ἐγίνετο ἔτος, ἀλλ' ἐμοὶ κατὰ τούτων, ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ἠτιῶντο.

ή. Ἐπίσασθε δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ μέγισαί εἰσι τῶν ἐν ἀνθρώποις· καὶ ἔλεγχοι ἐκ τούτων σαφέσατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν ἐλεύθεροι μὲν πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι. καὶ ἐξείη μὲν τὸς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστίν· ἐξείη δὲ τὸς δούλους ἑτέραις ἀνάγκαις, ὑφ' ὧν, καὶ ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν. ἡ γὰρ παροῦσα ἀνάγκη ἐν ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι. εἰς πᾶν τοίνυν ἐγὼ προὐκαλεσάμην τούτους, καὶ ἐξ ὧν γε χρὴ ἄνθρωπον ὄντα τἀληθῆ καὶ τὰ δίκαια πυνθάνεσθαι, ἐξῆν αὐτοῖς πυνθάνεσθαι, καὶ πρόφασις οὐδεμία ὑπελείπετο. καὶ ἐγὼ μὲν ὁ τὴν αἰτίαν ἔχων καὶ ἀδικῶν (ὡς ἔτοί φασιν) ἕτοιμος ἦν αὐτοῖς κατ' ἐμαυτοῦ παρέχειν ἔλεγχον τὸν δικαιότατον· οἱ δ' αἰτιώμενοι καὶ φάσκοντες ἀδικεῖσθαι, αὐτοὶ ἦσαν οἱ οὐκ ἐθέλοντες ἐλέγχειν εἴ τι ἠδικοῦντο. καὶ εἴ μὲν ἐγὼ τούτων προκαλεμένων μὴ ἠθέλησα τοὺς παραγενομένους ἀποφῆναι θεράποντας, ἢ ἐξαιτοῦσι μὴ ἤθελον ἐκδιδόναι, ἢ ἄλλην τινὰ πρόκλησιν ἔφευγον, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια κατ' ἐμοῦ ἐποιοῦντο, ὅτι ἀληθὴς ἦν ἡ αἰτία· ἐπεὶ δ' ἐμοῦ προκαλεμένου ἕτοι ἦσαν οἱ φεύγοντες τὸν ἔλεγχον, ἐμοὶ δήπου δίκαιον κατὰ τούτων τὸ αὐτὸ τοῦτο τεκμήριον γενέσθαι, ὅτι οὐκ ἀληθὴς ἦν ἡ αἰτία, ἣν αἰτιῶνται κατ' ἐμοῦ.

θ΄. Ἐπίσαμαι δὲ καὶ τάδε, ὦ ἄνδρες, ὅτι εἰ μὲν τούτοις ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες οἱ παραγενόμενοι, αὐτοῖς ἂν τούτοις ἰσχυροτάτοις ἐχρῶντο, καὶ πίστιν ταύτην σαφεστάτην ἀπέφαινον, τοὺς μάρτυρας τοὺς καταμαρτυροῦντας· τῶν αὐτῶν δὲ τούτων καταμαρτυρόντων, ἃ μὲν ἐγὼ λέγω, ἀληθῆ εἶναι, ἃ δὲ ἕτοι λέγουσιν, οὐκ ἀληθῆ, τοῖς μὲν μάρτυσι τοῖς μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς διδάσκουσι, τοῖς δὲ λόγοις, οἷς αὐτοὶ λέγουσι, πιστεύειν ὑμᾶς φασὶ χρῆναι· οὓς ἐγὼ εἰ ἔλεγον ἄνευ μαρτύρων, ψευδεῖς ἂν κατηγόρουν εἶναι· καίτοι δεινόν, εἰ οἱ αὐτοὶ μὲν μάρτυρες, τούτοις ἂν μαρτυροῦντες, πιστοί ἦσαν, ἐμοὶ δὲ μαρτυροῦντες, ἄπιστοι ἔσονται· καὶ εἰ μὲν πάνυ μὴ παρεγένοντο μάρτυρες, ἐγὼ παρειχόμην ἄν, ἢ τοὺς παραγενομένους μὴ παρειχόμην, ἑτέρους δέ τινας, εἰκότως ἂν οἱ τούτων λόγοι πιστότεροι ἦσαν τῶν ἐμῶν μαρτύρων· ὅπου δὲ μάρτυράς τε ὁμολογοῦσι παραγενέσθαι, καὶ ἐγὼ τοὺς παραγενομένους παρέχομαι εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, καὶ αὐτὸς ἐγὼ, καὶ οἱ μάρτυρες πάντες, φανεροὶ ἐσμὲν λέ-

(6) οἱ σφῶν ἕνεκα] προθετέον ἂν εἴη καὶ τὸ, αὐτῶν ὡς καὶ κατωτέρω l. 1. (6) εἰ μὲν τἀληθῆ δοκοῖεν λέγειν] καλῶς ἂν ἔχοι, μὴ βασανίζειν· εἰ δὲ μή· (6) ἕτοιμοι ταῖεν] διδόναι ἑαυτοὺς οἱ δοῦλοι· ἢ οἱ κύριοι τοὺς δούλους εἰς βάσανον.

(1) Εἰ μὲν τούτοις] τοῖς ἀντιδίκοις χαριζόμενοι κατεμαρτύρουν ἐμοῦ· ἢ ἀποδοτέον τὸ, τούτοις, ἐκ τρίτου εἰς τὸ, παραγενόμενοι τούτοις τοῖς συμβᾶσι. (1) ἰσχυροτάτοις] εἰς πίστιν, ἀξιοπίστους· ἢ ἐννοτέον τὸ, τεκμηρίοις. (2) τῶν αὐτῶν δὲ τούτων] τῶν αὐτῶν δὲ μαρτυρόντων κατὰ τούτων· ὥστε τὸ, τούτων εἶναι προθετικὸν τοῦ, καταμαρτυρόντων.

γοντες, ἅπερ νυνὶ πρὸς ὑμᾶς, πόθεν χρή, ὦ ἄνδρες, ἢ τἀληθῆ, πιστά, ἢ τὰ μὴ ἀληθῆ ἄπιστα ποιεῖν ἄλλοθεν, ἢ ἐκ τῶν τοιούτων, ὅτε μὲν γὰρ λόγῳ τὶς διδάσκοι περὶ τῶν πραχθέντων, μάρτυρας δὲ μὴ παρέχοιτο, μαρτύρων ἄντις τὺς λόγους τούτους ἐνδεεῖς φαίη εἶναι· ὅτε δὲ μάρτυρας μὲν παρέχοιτο, τεκμήρια δὲ αὖ τοῖς μαρτυρῶσιν ὅμοια μὴ ἀποφαίνοιτο, ταὐτὰ ἄντις ἔχοι εἰπεῖν, εἰ βέλοιτο.

ι'. Ἐγὼ τοίνυν τούς τε λόγους ὑμῖν εἰκότας ἀποφαίνω, καὶ τοῖς λόγοις τοὺς μάρτυρας ὁμολογοῦντας, καὶ τοῖς μάρτυσι τὰ ἔργα, καὶ τεκμήρια ἐξ αὐτῶν τῶν ἔργων· καὶ ἔτι πρὸς τούτοις, δύο τῷ μεγίστῳ καὶ ἰσχυροτάτῳ, τούτους μὲν αὐτούς τε ὑπὸ σφῶν αὐτῶν ἐξελεγχομένους καὶ ὑπ' ἐμοῦ, ἐμὲ δὲ ὑπό τε τούτων καὶ ὑπὸ ἐμαυτοῦ ἀπολυόμενον· ὅπου γὰρ ἐθέλοντος ἐλέγχεσθαι ἐμοῦ περὶ ὧν ἠτιῶντο ἕτοι, μὴ ἤθελον ἐλέγχειν, ἠδίκουν· καὶ ἐμὲ μὲν δήπου ἀπέλυον, αὐτοὶ δὲ κατὰ σφῶν αὐτῶν μάρτυρες ἐγένοντο, ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ἠτιῶντο· καίτοι εἰ πρὸς τοῖς ἐμαυτοῦ μάρτυσι τοὺς ἀντιδίκους αὐτοὺς μάρτυρας παρέχομαι, ποῖ ἔτι ἐλθόντα δεῖ, ἢ πόθεν ἀποδείξαντα, τῆς αἰτίας ἀπολελύσθαι;

ιά. Ἡγοῦμαι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων καὶ ἀποδεδειγμένων, ὦ ἄνδρες, δικαίως ἂν με ἀποψηφίσασθαι ὑμᾶς, καὶ ἐπίστασθαι ἅπαντας, ὅτι οὐδέν μοι προσήκει τῆς αἰτίας ταύτης· ἵνα δ' ἔτι καὶ ἄμεινον μάθητε, τοῦτο ἕνεκα πλείω λέξω, καὶ ἀποδείξω ὑμῖν τοὺς κατηγόρους τούτους ἐπιορκοτάτους ὄντας καὶ ἀσεβεστάτους ἀνθρώπων· καὶ ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ τῶν ἄλλων πολιτῶν τῆς δίκης ἕνεκα ταυτησί· ἕτοι γὰρ τῇ μὲν πρώτῃ ἡμέρᾳ, ᾗ ἀπέθανεν ὁ παῖς, καὶ τῇ ὑστεραίᾳ, ᾗ προέκειτο, οὐδ' αὐτοὶ ἠξίουν αἰτιᾶσθαι ἐμὲ, οὐδ' ἀδικεῖν

ἐν τῷ πράγματι τούτῳ οὐδέν, ἀλλὰ συνῆσαν ἐμοὶ καὶ διελέγοντο· τῇ δὲ τρίτῃ ἡμέρᾳ, ᾗ ἐξεφέρετο ὁ παῖς, ταύτῃ δὲ πεπεισμένοι ἦσάν τινες ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν, καὶ παρεσκευάζοντο αἰτιᾶσθαι, καὶ προαγορεύειν εἴργεσθαι τῶν νομίμων· τίνες οὖν ἦσαν οἱ πείσαντες αὐτούς; καὶ τίνος ἕνεκα καὶ πρόθυμοι ἐγένοντο πεῖσαι αὐτούς; δεῖ γάρ με καὶ ταῦτα ὑμᾶς διδάξαι· κατηγορήσειν ἔμελλον Ἀρισίωνος, καὶ Φιλίνου, καὶ Ἀμπελίνου, καὶ τοῦ ὑπογραμματέως τῶν νομοθετῶν, μεθ' ἕπερ συνέκλεπτον, περὶ ὧν εἰσήγγειλα εἰς τὴν βουλήν· καὶ αὐτοῖς ἐκ μὲν τῶν πεπραγμένων εὐδεμία ἦν ἐλπὶς ἀποφεύξεσθαι (τοιαῦτα ἄρ' ἦν τὰ ἠδικημένα) πείσαντες δὲ τούτους ἀπογράφεσθαι, καὶ προαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων, ἡγήσαντο ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν πραγμάτων ἁπάντων· ὁ γὰρ νόμος ἕτως ἔχει, ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην εἴργεσθαι τῶν νομίμων· καὶ ὅτ' ἂν ἐγὼ οἷός τ' ἦν ἐπεξελθεῖν εἰργόμενος τῶν νομίμων, ἐκεῖνοί τε, ἐμοῦ, τοῦ εἰσαγγείλαντος, καὶ ἐπισταμένου τὰ πράγματα, μὴ ἐπεξιόντος, ῥᾳδίως ἔμελλον ἀποφεύξεσθαι, καὶ δίκην οὐ δώσειν ὑμῖν, ὧν ἠδίκησαν· καὶ τοῦτ' οὐκ ἐπ' ἐμοὶ πρῶτον ἐμηχανήσαντο Φιλῖνος καὶ οἱ ἕτεροι, ἀλλὰ καὶ ἐπὶ Λυσιστράτου πρότερον, ὡς αὐτοὶ ὑμεῖς ἠκούσατε· καὶ ἕτοι πρόθυμοι τότε ἦσαν ἀπογράφεσθαί με εὐθὺς τῇ ὑστεραίᾳ, ᾗ ὁ παῖς ἐθάπτετο, πρὶν τὴν οἰκίαν καθᾶραι, καὶ τὰ νομιζόμενα ποιῆσαι, αὐτὴν ταύτην φυλάξαντες τὴν ἡμέραν, ἐν ᾗ ἔμελλεν ὁ πρῶτος ἐκείνων κριθήσεσθαι, ὅπως μηδὲ καθ' ἑνὸς αὐτῶν οἱόσε γενοίμην ἐπεξελθεῖν, μηδ' ἐνδεῖξαι τῷ δικαστηρίῳ τὰ ἀδικήματα.

ιβ'. Ἐπειδὴ δὲ αὐτοῖς ὁ βασιλεὺς τούς τε νόμους ἀνέ-

(5) Ἀπογράφεσθαι] τοῦνομα τοῦμὸν πρὸς τὴν ἑνδεκα φόνου δίκην ἐν πίνακι, ὅπως ἐκκεῖτο δημοσίᾳ τοῖς πολίταις. (7) ἐπ' ἐμοί] ἐπ' ἐμὲ, κατ' ἐμοῦ.

γνω, ᾗ χρόνον ἀπέδειξεν, τὶ ὐκ ἐγχωροίη ἀπογράψασθαι, καὶ τὰς κλήσεις καλεῖσθαι ὅσας ἔδει, καὶ ἐγὼ τὲς ταῦτα μηχανωμένες εἰσάγων εἰς τὸ δικαςήριον, εἶλον ἅπαντας, ᾗ ἐτιμήθη αὐτοῖς, ὧν ὑμεῖς ἐπίσαωθε, ᾗ ἔτοι ὧν ἕνεκα ἐλάμβανον χρήματα, ὐδὲν αὐτοῖς οἷοί
2 τε ἦσαν ὠφελῆσαι. τότε δὴ προσιόντες αὐτῷ τ' ἐμοὶ ᾗ τοῖς φίλοις, ἐδέοντο διαλλαγῆναι. ᾗ δίκην ἔτοιμοι ἦσαν διδόναι τῶν ἡμαρτημένων. ᾗ ἐγὼ πειθεὶς ὑπὸ τῶν φίλων, διηλλάγην τότοις ἐν τῇ πόλει ἐναντίον μαρτύρων,
3 οἵπερ διήλλαττον ἡμᾶς πρὸς τῷ νεῷ τῆς Ἀθηνᾶς· ᾗ μετὰ τᾶτο συνῆσάν μοι ᾗ διελέγοντο ἐν τοῖς ἱεροῖς, ἐν τῇ ἀγορᾷ, ἐν τῇ ἐμῇ οἰκίᾳ, ἐν τῇ σφετέρᾳ αὐτῶν, ᾗ ἑτέρωθι πανταχᾶ. τὸ τελευταῖον (ὦ Ζεῦ ᾗ θεοὶ πάντες) Φιλοκράτης αὐτὸς ἔτοσι ἐν τῷ βουλευτηρίῳ ἐναντίον τῆς βουλῆς, ἑσὼς μετ' ἐμᾶ ἐπὶ τᾶ βήματος, ἁπτόμενος ἐμᾶ διελέγετο, ὀνόματι ἔτος ἐμὲ προσαγορεύων, ᾗ ἐγὼ
4 τᾶτον. ὥσε δεινὸν δόξαι εἶναι τῇ βουλῇ, ἐπειδὴ ἐπύθετο προειρημένον εἴργεσθαί μοι τῶν νομίμων ὑπὸ τότων, ἧς
5 ἑώρα μοι τῇ προτέρᾳ συνόντας ᾗ διαλεγομένης. σκέψασθε δὲ, καί μοι μνήσθητε, ὦ ἄνδρες. ταῦτα γὰρ, ἃ μόνον μάρτυσιν ὑμῖν ἀποδείξω, ἀλλὰ ᾗ ἐξ αὐτῶν τῶν ἔργων, ἃ τότοις πέπρακται, ῥᾳδίως γνώσεσθε, ὅτι ἀλη-
6 θῆ λέγω. ᾗ πρῶτον, ἃ τᾶ βασιλέως κατηγορᾶσι, ᾗ διὰ τὴν ἐμὴν σπᾳδὴν ἔφασιν αὐτὸν ἐθέλειν ἀπογράφε-

(1) Τὶ ὐκ ἐγχωροίη] γραπτέον ἂν εἴη μᾶλλον, ὅτε, ἀντὶ τᾶ, τί· ὁ δὲ Ρεῖσκης, ἐντὸς ὤ. (1) ᾗ τὰς κλήσεις καλεῖσθαι] ἄμεινον κατὰ συνθήκην ἂν εἴη φάναι· ᾗ τὰς κλήσεις (ἀπέδειξεν) ὅσας ἔδει καλεῖσθαι. (1) ὧν ἕνεκα] ἔτοι οἱ περὶ Φιλοκράτην ὐδὲν οἷοί τ' ἦσαν αὐτοῖς ὠφελῆσαι, ὑπὲρ ὧν ἦσαν μεμισθωμένοι. (2) ἐν τῇ πόλει] ἐν τῇ ἀκροπόλει πρὸς τῷ ναῷ τῆς Ἀθηνᾶς. (3) ὀνόματι ἔτος] ἔτος ἔγραψα ἀντὶ τᾶ, ὁ τοιᾶτος· δῆλον γὰρ ἐκ τᾶ ἀντιθέτα ἑπομένως, ᾗ ἐγὼ τᾶτον. (5) μάρτυσιν ὑμῖν] διὰ μαρτύρων ὑμῖν ἀποδείξω. (6) διὰ τὴν ἐμὴν σπᾳδὴν] τὴν σπᾳδὴν ᾗ παραγγελίαν, ἣν ἐγὼ ἐποιησάμην πρὸς αὐτὸν, πολλὰς αὐτῷ παρασήσας δεομένης· ἅτω γὰρ Δη-

ῶσθαι τὴν δίκην, τᾶτο δὲ κατ' αὐτῶν τότων ἔσαι τεκμήριον, ὅτι ὐκ ἀληθῆ λέγουσιν.

ιγ'. Ἔδει μὲν γὰρ τὸν βασιλέα, ἐπειδὴ ἀπεγρά- 1
ψατο, τρεῖς διαδικασίας ποιῆσαι ἐν τρισὶ μησὶ· τὴν δίκην δ' εἰσάγειν τετάρτῳ μηνὶ, ὥσπερ νυνί. τῆς δ' ἀρχῆς 2
αὐτῷ λοιποὶ δύο μῆνες ἦσαν Θαργηλιὼν ᾗ Σκιῤῥοφοριών. ᾗ ἔτ' εἰσάγειν δήπου οἷός τ' ἂν ἦν ἐφ' ἑαυτᾶ, ὐδὲ παραδᾶναι φόνου ἔξεσιν· ὐδὲ παρέδωκεν ὐδεὶς πώποτε βασιλεὺς ἐν τῇ γῇ ταύτῃ. ἥντινα ἓν μήτε εἰσάγειν, μήτὲ παραδᾶναι ἐξῆν αὐτῷ, ἐδ' ἀπογράφεσθαι ἠξίου παρὰ τὲς ἡμετέρους νόμους. ᾗ ὅτι ὐκ ἀδικεῖ αὐτὲς, μέγιστον σημεῖον. Φιλοκράτης γὰρ ἔτοσι ἑτέρους τῶν ὑπευθύνων ἔσειε ᾗ ἐσυκοφάντει· τότου δὲ τᾶ βασιλέως, ὃν φασι δεινὰ ᾗ χέτλια ἐργάσασθαι, ὐκ ἦλθε κατηγορήσων εἰς τὰς Ἀθήνας. καίτοι τί ἂν ὑμῖν μεῖζον τότου τεκμήριον ἀποδείξαιμι, ὅτι ὐκ ἠδικεῖτο, ἔθ' ὑπ' ἐμᾶ, ἔθ' ὑπ' ἐκείνου; 4
2 γένειαν ἀπολείψει· ὅσις δὲ ἐν τῷ ἔργῳ ἔσαι ἀνὴρ ἀγαθὸς, τῶν τε προγόνων τὴν ἀρετὴν ἀναμνήσει, τοῖς τε παισὶν εὐγένειαν καταλείψει· τῶν γὰρ ἐν τοῖς δεινοῖς ἀνδρῶν ἀγαθῶν γινομένων οἱ παῖδες εὐγενεῖς νομίζονται·
3 πολλὰ δὲ εἰρηκὼς ἀγαθὰ, ὅσα ἔνεςιν ἐν τῷ νικᾶν, πολλὰ ἕτερα παρίημι, ὧν αὐτὸς ἕκασος αὐτὸν ἀναμιμνήσκων, ἀνὴρ ἀγαθὸς γιγνέσθω· ὅσα δὲ τὰ διαφέροντα ἐν αὐτῷ τῷ μάχεσθαι ἔνεςιν, εἰς τὸ σώζεσθαί τε ϗ διαφθείρεσθαι, ταῦτα ὑμᾶς διδάξω· πρῶτον μέν, τὸ σῶμα εἰς τὸ ἔμ-
4 προσθεν πέφυκε ϗ βαδίζειν ϗ βλέπειν· ἔπειτα τὰ ὅπλα ἔτως εὕρηται ἔμπροσθεν τῦ σώματος προβεβλῆσθαι· ἡ μὲν ἀσπὶς, τῦ μὴ τιτρώσκεσθαι, τὸ δὲ δόρυ, τῦ ἀμύ-
5 νεσθαι· ὥστε ἐὰν βέλησθε εἰς τὸ ἔμπροσθεν βαδίζειν ἐπὶ τὸ μαχόμενον ἀεὶ πάντες, ἀκέοντες τὰ λεγόμενα, ϗ τὰ παραγγελλόμενα ποιῦντες, ἀναμιμνησκόμενοι τῶν ἀ-
6 γαθῶν, παραθαῤῥύνοντες ἀλλήλες· καταφρονῦντες μὲν

(3) Ὧν αὐτὸς ἕκασος] ὅτω διώρθωσα ἀντὶ τῦ, ὧν ὅ,τε ἕκασος. (6) καταφρονῦντες] τῶν πολεμίων ἐμπράκτως· ϗ ἐκείνες παρελθόντες] ἀρετῇ ὑπερ-

τοῖς ἔργοις, ἀξιῦντες δὲ μάχεσθαι· καὶ ἐκείνες παρελθόντες, ταῦτα ὑπεργήσαντες, ὅσα γὲ ἀνθρώπινα, νικήσετε· εἰ δὲ τις ὑμῶν ἀξιώσειε τὲς μὲν πολεμίες πλεῖόν 7
τι εἰδέναι ἢ ἀνθρώπες, καὶ ἀτρώτες εἶναι, αὐτὸς δὲ ὡς μηδενὸς ἄξιος ὑποχωρήσει, τῦτο σωτηρίαν νομίσας εἶναι, πρῶτον μὲν τὴν γνώμην ἡττημένος ἀδικεῖ, ἔτι δὲ ἔμπαλιν αὐτῷ τὸ σῶμα τῷ ἔργῳ πεφυκὸς, τὰ μὲν ἐναντία οἷς βέλεται ὑπεργήσει· (εἰς τἄπιωθεν μὲν γὰρ ἔθ' οἱ πόδες 8
πεφύκασιν ἀναχωρεῖν, ἔθ' οἱ ὀφθαλμοὶ ὁρᾶν ἐδενός) δίχα δὲ διαιρεθεὶς, τῷ ἀναχωρεῖν ὑπηρετῶν, ϗ τὸν ἐπιόντα ἅμα κίνδυνον φυλάττων κατὰ φύσιν, ταχέως ϗ τὸν ἀντισάτην ἐδυνήσεται ἀμύνεσθαι· ἐὰν δὲ ἀναῤῥαφεὶς ἀξιοῖ 9
φεύγειν ὡς ἀποφευξόμενος, πρῶτον μὲν τὰ γυμνὰ τοῖς πολεμίοις δείξει, ἐν οἷς τιτρώσκεσθαι ἢ μάχεσθαι ἀνάγκη· ἔπειτα πολλοὶ ϗ κῶφοι οἱ διωξόμενοι ἀκοντισαὶ, ϗ σφεν- 10
δονῆται ϗ τοξόται, ὃς ἔτε αὐτὲς ῥᾴδιόν ἐσιν ἀποφυγεῖν, ἔτε τὰ βέλη αὐτῶν ἧττον ἔτι πολλῷ· ὁ γὰρ τάχισος ἀνὴρ τοῦ βραδυτάτου ταξεύματος οὐδὲ μέρος ταχυτῆτος παρέχει.

ε. Εἴ ἕν τις ὑμῶν φιλοψυχῶν παρεσκεύασαι ἀναχω- 1
ρεῖν ἢ φεύγειν, ἵνα σωθῇ, ϗκ ὀρθῶς γινώσκει τὸ φιλο-

βάντες. (6) ὅσα γε ἀνθρώπινα] ἔτρεψα τὸν Δὲ εἰς τὸν Γε· ἵνα ᾖ, ὅσον γε ἥκει εἰς τὴν φύσιν των ἀνθρώπων. (7) πλεῖόν τι εἰδέναι] εἰδέναι ἔγραψα ἀντὶ τῦ, εἶναι, ἐπαναλαβὼν τὴν ἀρχαίαν γραφήν· ὁμοίως ἔτρεψα ϗ τὸ, ἀξιώσας, εἰς τὸ ἀξιώσειε. (7) πεφυκὸς] ὅτω διώρθωσε Γ εἰσακης ἀντὶ τῦ, πεφυκότος· ὁ δὲ νῦς· ἔτι δὲ ἐπειδὴ τὸ σῶμα πέφυκεν αὐτῷ (τῷ ἀναχωρῦντι) ἔμπαλιν τῷ ἔργῳ (ἐναντίον τῷ ἀναχωρεῖν δηλονότι) ὑπεργήσει (αὐτῷ) ἐναντία, οἷς βέλεται (ὁ ἀναχωρῶν, ἢ αὐτὸ τὸ σῶμα) πεφυκὸς γὰρ ὑπαρχεῖν εἰς τἄμπροσθεν, τοῦδε ὑπεργήσει τἀναντίον ἀναποδίζον εἰς τἀπίσω πρὸς ὃ ἀ πέφυκεν· οὐδὲ γὰρ οἱ πόδες ῥᾳδίως ἀναποδίζουσιν, ἔτε οἱ ὀφθαλμοὶ βλέπουσι. (8) φυλάττων] ἄμεινον, φυλαττόμενος κατὰ φύσιν. (8) ταχέως ϗ τὸν ἀντισάτην] ἢ ἐλλείπειτι, ἃ ἐξαλειπτέον τὸν, Καί. (10) ἔτε τὰ βέλη αὐτῶν ἧττον ἔτι πολλῷ] ϗ πολλῷ μᾶλλον τὰ βέλη αὐτῶν· δοκεῖ ἀλλ' ἔν παρέλκειν τὸ, ἧττον. (8) οὐδὲ μέρος ταχυτῆτος] οὐδὲ τἀλάχιςον μέρος τῆς ταχυτῆτος τῦ βέλυς ἔχει τις, κᾆν τάχισος ᾖ.

ψυχεῖν ὅ,τι ἔσιν. ἐν γὰρ τῷ μένειν καὶ ὁμόσε χωρεῖν, ἐ
μόνον τὴν αὐτῆ, ἀλλὰ καὶ τὰς τῶν οἴκοι μενόντων ψυχὰς
2 σώζει· εἰ μὲν ἦν εὖ ἤδειτις, ὅτι τόνδε τὸν κίνδυνον διαφυγὼν, μεθ' ἡδονῆς τὸν ἐπίλοιπον χρόνον διατελέσας
σὺν εὐκλείᾳ τελευτήσει, εἶχεν ἂν λόγον τινὰ ἡ κακία·
3 νῦν δὲ πολλοὶ καὶ κακοὶ δόξαντες εἶναι, ὀλίγον χρόνον
βιῶντες, διὰ τὴν δύσκλειαν ἀνιώμενοι, καὶ ἄτιμοι παρ'
ἐντίμοις ὄντες, κακῶς τὸν ἐπίλοιπον βίον, τελευτήσαν-
4 τες, ὀνείδη τοῖς παισὶ καταλείψουσιν. ἐπεὶ δὲ πεφύκαμεν ἐκ ἀθάνατοι, πῆ κάλλιον ἀποθνήσκειν ἢ ὑπὲρ ὧν χρὴ
τιμωρῆσι; ποίαν ἄλλην ἀρετῆς κτωμένες; ποίας ἡδίων θάνατος; τίνες εὐκλεέσεροι ἀποθανόντες, ἢ οἱ ὕτω τελευτήσαντες; δημοσίᾳ τάφῳ ἀξιῶνται, θυσίαι ἐπὶ τούτοις γίνονται
ἀγῶνες ἐπὶ τούτοις τίθενται· ἀντὶ θνητῆ σώματος ἀθάνατον
5 μνήμη καταλείπουσιν. οἱ δὲ τούτων παῖδες δημοσίᾳ ἐκτρέφονται, τιμώμενοι πανοπλίαις, προεδρίαις, θαυμαζόμενοι καὶ ἐν
χοροῖς καὶ ἐν γυμνασίοις, καὶ ταῖς ἄλλαις συνεσίαις· τοῖς
δὲ ἐκ τῆδε τῆ κινδύνῳ σωθεῖσιν, ἀνδράσιν ἀγαθοῖς γινομένοις, ἀκίνδυνος ὁ λοιπὸς βίος, μακαριζομένοις ἐν
6 πάσαις πανηγύρεσιν, ἐν πάσαις θεωρίαις. οἱ φίλοι τούτοις, φίλοι εἰσίν· οἱ ἐχθροὶ τοῖς τοιούτοις ὑπερεύχονται·

(3) Νῦν δὲ πολλοὶ καὶ κακοί] ἢ· ἐξαλειπτέον τὸν, Καὶ, ἢ προσθετέον τι ἔτι· οἷον, πολλοὶ δειλοὶ καὶ κακοί· ὁμοίως δὲ καὶ ἀντὶ τῆ, καταλείψουσιν, ἄμεινον ἦν, κατέλιπον. (4) τιμωρῆσιν] ἡμῖν· ἀπόδος δὲ εἰς τὸ κάλλιόν ἐσι· ἢ τρεπτέον εἰς τὸ, τιμωρήσαντας, κατὰ τὸ, κτωμένας. (4) ποίαν ἄλλην ἀρετῆς] ἢ προσθετέον τὸ, δόξαν· ἢ γραπτέον, ἀρετὴν, εἰς αἰτιατικήν. (6) φίλοι εἰσὶ] προσφιλεῖς δηλονότι. (6) οἱ ἐχθροὶ τοῖς τοιούτοις ὑπερεύχονται] εἰμήτι διέφθαρται, διερμηνευτέον ᾠδί· καὶ οἱ πρότερον ἐχθροὶ ὄντες αὐτῶν, θαυμάζοντες ἤδη τὴν δόξαν αὐτῶν καὶ τὴν εὐκλειαν, εὔχονται αὐτοῖς τἀγαθὰ, καὶ βάλονται εἶναι φίλοι· πᾶς γὰρ ἀνὴρ αὐτὸς ξενοῦσθαι βέλεται· ὁ δὲ Γ' εἴσακις πειράται διωρθῶν ὕτω· τὰς τοιούτους ὑπέρχονται· ἴσως δὲ συγκέχυται ἐκ τῆς ἀντιγραφῆς ὕτως ἀντὶ τῆ ἔχειν μᾶλλον ᾠδὶ ἐξ ἀρχῆς· οἱ φίλοι τοῖς τοιούτοις ὑπερεύχονται· τούτοις φίλοι εἰσὶν οἱ ἐχθροί· ὕτω

πᾶς ἀνὴρ αὐτὸς ξενοῦσθαι βέλεται. ἐκ τῶνδε καὶ γαμετὰς προθύμως ἄν εὕροις. ὅτοι γηράσκοντες εὐδαιμονίζονται.

ς'. Νῦν ἕν, ὦ ἄνδρες στρατιῶται, καθ' ὃ ὑμῶν ἕκα- 1
στος ἰσχύει, μηδὲν ὑπολειπόμενος τῆς δυνάμεως, ἀντιλαμβανέσθω τῶνδε ἀγαθῶν. ὑπομιμνήσκω δὲ ὑμᾶς, ὅτι καὶ τὰ ἱερὰ ὑμῖν καλὰ γέγονε, [καὶ τὰ ἱερὰ καλὰ] καὶ τὰ ὑμέτερα παρεσκεύασαι. ἀλλ' ἄνδρας χρὴ εἶναι ἀγαθούς· εἰκὸς δὲ ὑμᾶς περὶ τῆς ὑμετέρας αὐτῶν πατρίδος μέλ- 2
λοντας ἀγωνιεῖσθαι, καὶ τῶν πατρῴων ἀγαθῶν, τοιούτους ἔσεσθαι. ἢ ἄλλό τι παρασκευάσατε κάλλιον, ἢ ἄμεινον. ὥστε οὐ δεῖ ὑπεριδεῖν ὅτε λόγῳ ὅτε ἔργῳ οὐδενός· εἰ δὲ 3
μή, τοῖς ἑτοίμοις παρακελεύεσθαι. ἀλλὰ τοῦτο δή μοι δοκεῖ καὶ μάλισα χρῆναι ποιεῖν. τοῖς μὲν γὰρ μὴ θέλουσιν ἀγαθοῖς εἶναι, μάταιον καὶ λέγειν καὶ ποιεῖν, σπεύδοντα ὅπως ἔσονται ἀγαθοί· τοῖς δὲ ἐθέλουσίγε καὶ βουλομένοις, τοὐναντίον. παντὸς γὰρ πράγματος ἐπίδοσίς ἐσιν, 4
ἕως ἂν τέλος ἔχῃ. καὶ ἀρετὴν πλείσον ἂν εὕροις αὐτὴν ἐπιδιδοῦσαν, ὅπου μείζην καὶ τιμὴν ἔχει καὶ ἄθλοις καὶ ἐπαίνοις. ἔκειν (ὅπερ εἶπον ὀλίγῳ πρόσθεν) οὐδεὶς ἂν κάλλιον 5
παρασκευάσαι σημεῖον. ὥσ' εἰ καὶ νῦν ὑμῖν παρεσκεύασαι καὶ ἑνὶ ἑκάσῳ καὶ πᾶσιν, ὅπως ἔσεσθε ἀγαθοὶ, καὶ ἀξίωμα ἕξετε παρ' ὑμῖν αὐτοῖς μέγα, ἐχ ὑμᾶς βλάψει ἀνέσαντας τὴν ὑμετέραν ἀρετὴν, καὶ τὸ ἀξίωμα τῶν προγόνων

γὰρ διορθωθὲν ἕξει καλῶς. (6) προθύμως ἂν εὕροις] προθύμως ὄντας πολλοὺς ἂν εὕροις λαμβάνειν· πολλοὺς ἂν ἴδοις ἐκ τῶν δε γαμεῖν ἐθέλοντας· διέφθαρται δὲ καὶ τοῦτο.

(1) Τῶν δε ἀγαθῶν] προσθετέον τὸ, τῶν, ἵν' ᾖ, τῶν δε τῶν ἀγαθῶν. (1) καὶ τὰ ἱερὰ καλὰ] τὸ κεκλεισμένον δηλον ὅτι παρέλκει, εἰμήτι ἄλλως διέφθαρται. (2) καὶ ὄντας πατρῴων ἀγαθῶν] ἀξίους, βάλονταί τινες προσθεῖναι· ἐμοί γε δ' ἄμεινον ἔδοξε τρέψαι τὸ, ὄντας, εἰς τὸ, τῶν· καὶ ἕξει καλῶς. (2) ἢ ἄλλοτι παρασκευάσατε] σημεῖον, ὑφ' ὃ παρακελευόμενοι, ἄνδρες ἔσεσθε ἀγαθοί· εἰδὲ μὴ ἐξεῖη τοῦτο, χρῆθε τοῖς ἑτοίμοις, ἅπερ ἡμῖν οἱ πρόγονοι ἐγκατέλιπον. (3) τοὐναντίον] δεῖ λέγειν καὶ ποιεῖν πάντα, ὅπως ἔσονται ἀγαθοί. (5) ὀλίγῳ πρόσθεν] ἀναστίρῳ μικρον 2.

ὁμῶ, ᾗ τὸ ἀξίωμα τῶν πολεμίων ὑμέτερον δι' ὑμᾶς ἔχθ-
6 σιν· ἀλλ' ὠφελήσει. ὑμῶν γὰρ οἵ τε παλαιοὶ πατέρες ἐν
τοις Ἕλλησι μέγα ἀξίωμα ἀρετῆς εἶχον, ᾗ λόγον ἀ-
γαθὸν, οἵ τε νέοι. μαρτύριον δὲ τούτω ὑμῖν ἐρῶ.

1 ζ'. Οἱ μὲν ἄλλοι πάντες Ἕλληνες, ἐκ τῆς σφετέρας
αὐτῶν μεταστάντες οἰκοῦσιν ἕκαστοι αὐτῶν, ἐξελάσαντες
ἑτέρους, ᾗ αὐτοὶ ἐξελασθέντες ὑφ' ἑτέρων. καὶ κατὰ τοῦ-
2 το δύο φέρεσθε καυχήματα ἀρετῆς. ὅτε γὰρ ἐξηλάσθητε
τῆς σφετέρας αὐτῶν ὑπὸ ἀδαμῶν ἀνθρώπων, ὅτε ἐξελά-
σαντες ἑτέρους, αὐτοὶ οἰκεῖτε. ᾗ κατὰ μὲν τὸ μὴ ἐξελα-
σθῆναι, ἀνδρίας σέφανον τὴν πατρίδα ἔχετε· κατὰ δὲ
3 τὸ μὴ ἐξελάσαι, δικαιοσύνης. ταῦτα μὲν γὰρ τῶν πα-
λαιῶν μαρτύρια ἀρετῆς πατρώων, τῶντε νέων [ᾗ ὅτι
μὲν] ἄλλα τε πολλὰ, ᾗ ὅτε τῷ βαρβάρων στρατῷ ὑποχω-
ρήσαντες ἐκ τῆς πατρίδος, ᾗ αὐτοὶ ᾗ τὰ τέκνα, ὁρμώ-
μενοι ἐκ τῆς Σαλαμῖνος, ἠλευθερώσατε πᾶσαν τὴν Ἑλ-
4 λάδα, ᾗ τόδε, οἱ νῦν ἐφ' ὑμᾶς ἔρχονται. ὦ Ζεῦτε ᾗ
θεοὶ, μεγάλης ἀσεβείας, ἐπὶ τοὺς ἐλευθερώσαντας οἱ
ἐλευθερωθέντες ἔρχονται, δηλώσοντες μετὰ τῶν τῇ Ἑλ-
λάδι δηλείαν φερόντων Ἑλλήνων, μετὰ τῶν ὑμετέρων
5 δήλων· ᾐδέν γε τῶν αὐτῶν ποιοῦντες τοῖς ὑμετέροις προ-
γόνοις, οἵ ποτε τῇ Σπάρτῃ ἐπεβοήθησαν, ἀφισαμένων

(6) ᾗ τὸ ἀξίωμα τῶν πολεμίων ὑμέτερον δι' ὑμᾶς ἔχουσι] λαμπρῶς διέφθαρται· γραπτέον ἂν, τῶν πολεμίων, ὃ ὑμέτερον ὄν, δι' ὑμᾶς ἔχουσιν· ἢ τῶν πολεμίων τῶν ὑμετέρων, ὃ δι' ὑμᾶς ἔχουσι· ὅπως δὲ ἔχουσι τὸ ἀξίωμα δι' αὐτὸς κατωτέρω δηλοῖ· ζ', 6.

(1) Ἕκαστοι] ὅτως ἔγραψε Ῥεΐσκης ἀντὶ τοῦ, ἕκαστος, οὐκ ἀναγκαίως. (3) ἀρετῆς πατρῴων] ἢ πατρῴας γραπτέον, ἢ πατέρων· ἵν' ᾖ, ταὐτὸ ἐστὶ μαρτύρια ἀρετῆς τῶν παλαιῶν πατέρων· ἢ ἀρετῆς πατρῴας τῶν παλαιῶν. (3) ᾗ ὅτι μὲν] παρέλκειν τοῦτο δοκεῖ, ᾗ διὰ τοῦτο περιέκλεισα αὐτό· εἰμήτι ἄλλως εἴη ἀναπληρωτέον. (4) μετὰ τῶν τῇ Ἑλλάδι φερόντων δηλείαν Ἑλλήνων] τοὺς Θηβαίους ἐννοεῖ. (5) ἀφισαμένων] ὅτως ἀντὶ τοῦ, ἐφισαμένων· ἐννοεῖ δὲ τοὺς ἐν Ἰθώμῃ ἀποσάντας Εἵλωτας· ἴδε Θουκ. Α'. ρβ'. (5) ὅτε

τῶν δήλων, ὅτε ἀφίκετο, ᾗ ἔχων φοινικίδα ἐπεκάλει
τοὺς προγόνους βοηθῆσαι, ᾗ μὴ περιϊδεῖν ἐπιβουλευθεῖ-
σαν τὴν Σπάρτην. ἀντὶ δὲ τῆς εὐεργεσίας τῆσδε τήνδε 6
ἡμῖν τὴν κακοεργασίαν ἀποδιδόασι, ᾗ νῦν ἔτοι, τῆς ὑ-
μετέρας ἕνεκα ἀρετῆς ὄντες, οἵτινες εἰσί, δηῶσίτε τὴν ὑ-
μετέραν, ᾗ ἐλευθερῶσι τοὺς ὑμετέρους δήλους, ᾗ ἐπάγω-
σιν ἐφ' ὑμᾶς παρανόμως ᾗ παρασπόνδως, οἷς οὐδὲ θέμις
ἦν Ἡρακλειδῶν ἡγουμένων τῆς Ἀθηναίων ἐπιβῆναι σὺν
πολεμιοις ὅπλοις. ἀλλὰ γὰρ ὅτε θεοὺς ὅτε ἀνθρώπους αἰ- 7
δοῦνται. οὐ γὰρ ἂν τάδε ἐποίουν. ὑμεῖς, ἐὰν θεὸς θέλῃ,
δίκην αὐτοῖς ἐπιθήσετε.

ή. Ἐνθυμήθητε δὲ, ὅτι ὑμεῖς μὲν ἐκ τῆς ὑμετέρας 1
αὐτῶν ὁρμώμενοι ἀγωνιεῖσθε, ἀπὸ ἑσίας πατρῴας ἕκα-
στος, ᾗ θεῶν τῶν ἄλλων ᾗ πόλεως, οὐ τῶν κτισάντων
φονέες γενόμενοι, ἀλλὰ τοκέων τυχόντες, τοῖς ὑμετέ-
ροις θεοῖς εὐξάμενοι περὶ τῶν αὐτῶν· ὥστε ᾗ τὴν δίκην 2
τὴν παρὰ θεῶν ᾗ δαιμόνων μεγάλην σύμμαχον ἕξειν.
μάχεσθε δὲ ἀνδράσιν ὑβρισταῖς ᾗ ἀνοσίοις, οἳ τὴν μὲν
σφετέραν αὐτῶν, ἐν ᾗ ἐγένοντο, ἀπώλεσαν ᾗ ἐξέλι-
πον, ᾗ θεοῖς ἔχθραν θέντες, ᾗ κακοίτε ᾗ ἀνάλκιδες
ὄντες· ἐπὶ δὲ τὴν ὑμετέραν ἔρχονται, ἐξ ἀλλοτρίας ὁρ- 3
μώμενοι, ὅτε ἀπὸ τῆς σφετέρας ἑσίας ἕκαστος αὐτῶν,
ὅτ' ἀπὸ τῶν ἄλλων, ὅτ' ἀπὸ πατρῴων θεῶν, ἀπὸ Εὐρι-

ἀφίκετο] ὁ κῆρυξ, ἢ ὁ πρεσβευτής (6) Ἡρακλειδῶν ἡγουμένων] ὡς ἔσωσαν Ἀθηναῖοι, ἐπ' Εὐρυθέα ἐκστρατεύσαντας δηλονότι. (6) τῆς Ἀθηναίων] προσέθηκα τὸ, τῆς· ἵνα ᾖ, τῆς χώρας τῶν Ἀθηναίων. (7) ὑμεῖς, ἐὰν] ὑμεῖς δὲ, ἐάν.

(1) Καὶ πόλεως] ᾗ τῶν ἄλλων κοινῶν θεῶν· ᾗ τῶν τῆς πόλεως πολιούχων. (1) ἀλλὰ τοκέων τυγχάνοντες] ἴσως, ἀλλ' αὐτόχθονες τυγχάνοντες· τοκέων αὐτοχθόνων τυγχάνοντες. (2) τὴν σφετέραν αὐτῶν ἀπώλεσαν] τὴν Δωρίδα τὴν μεταξὺ Θετταλίας ᾗ Φωκίδος· ἐκεῖθεν γὰρ ἦσαν οἱ Σπαρτιάται. (2) ᾗ θεοῖς ἔχθραν θέντες, ᾗ ὅτι ἦσαν ἐχθροὶ τῶν θεῶν. (3) ἐξ ἀλλοτρίας] τῆς Πελοποννήσου· τῆς Λακωνικῆς. (3) ἀπὸ τῶν ἄλλων] θεῶν· ὡς

νύων δὲ καὶ ἀπ' Ἄτης δαιμόνων ἐλαυνόμενοι ἥκουσι, δίκην
4 δώσοντες. ἐ γὰρ ἔτε πλείους ὑμῶν εἰσὶν, ἔτε ὑμετέραν δειλίαν καταγνόντες ἔρχονται ἔτω θρασέως διὰ τῆς ὑμετέρας, ἀλλὰ θεῶντις ἄγει αὐτὲς δώσοντας δίκας μιαρῶντε καὶ ἀνοσίων ἔργων.

1 Θ'. Παραιήτω ἓν ὑμῶν ἑκάστῳ τῦτο, ὡς τὸ θαρρεῖν πλεῖσον φέρεται εἰς τὸ νικᾶν. ὡς ἓν καὶ τῶν θεῶν συμμάχων ὄντων, καὶ ὑπάρχον ὑμῖν τύτων ἀμείνοσιν εἶναι καὶ ἐνδοξοτέροις, βραχὺν χρόνον ἀναχόμενοι τὰ ὅπλα τῶν πολεμίων, μακρὰν δόξαν κατασήσεσθε ἀρετῆς εἰς τὸν ἅ-
2 παντα χρόνον· καὶ ἀναμνήσετε πάντας τὲς ἀνθρώπες, ὅτι ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ἐσὲ παῖδες, οἵ ποτε ἀποβάντας τὲς βαρβάρες τῆς ὑμετέρας εἰς Μαραθῶνα, αὐτοβοεὶ νικήσαντες, πολλὰς μυριάδας ἀνθρώπων ἐξέβαλον ἐκ τῆς γῆς, τὲς δ' ἀπέκτειναν, ἐ περιϊδόντες ἔτ' εἴ τις αὐτοῖς ἔμελλεν ἐκ τῆς Πελοποννήσε βοήθεια ἥξειν, ἔτ' εἰ ὀλίγοι πολλοῖς μαχῦνται, ἀλλὰ τῇ σφετέρᾳ αὐτῶν
3 ἀρετῇ πισεύσαντες, συμβαλόντες ἐνίκησαν· τῦτο δὲ, Πλαταιᾶσι μετὰ τῶν ἄλλων Ἑλλήνων ταὐτὰ φρονέντων, ἐνίκων μαχόμενοι. ἐνίκησαν δὲ καὶ ἐπ' Ἀρτεμισίῳ τῆς
4 Εὐβοίας ναυμαχῦντες, καὶ πρὸ Σαλαμῖνος· ὥσε εἰς τόδε ἡμέρας σωτῆρες τῆς Ἑλλάδος ὀνομάζεσθαι. πολλὲς δὲ καὶ ἄλλες ἀγῶνας καὶ καλὲς ἠγωνίσαντο οἱ ὑμέτεροι πατέρες, ὧν τῆς νίκης τῶν ἄθλων ὅροι πεπήγασι, πολλῶν ἡμερῶν πλῶν ἀπὸ τῆς ὑμετέρας πόλεις μεγάλαι, ὑπακέσαι τῷ ὑμετέρῳ κήρυκος.

καὶ ἀνώτερον, 1. τὸ δὲ, Ἄτης, ἔτω διώρθωσε Ῥεΐσκης ἀντὶ τῦ, ἀπάτης· ἦν δὲ ἡ Ἄτη κακοποιός τις ἐνέργεια τῶν θεῶν· ἴδε Ὅμηρ. Ἰλ. Ι. 450. καὶ Τ. 91. ὁ δὲ Εὐριπίδης ἐν Ὀρέσ. τὰς Ἐριννῦς λέγει Ἄτας.

(1) Καὶ ὑπάρχον ὑμῖν] ἔτως ἔγραψα εἰς εὐθεῖαν ἀπόλυτον ἀντὶ τῦ, ὑπαρχόντων ὑμῖν. (4) ὧν τῆς νίκης τῶν ἄθλων ὅροι] ἀναπόδισον τὴν συνθήκην ὧδι· ὅροι τῶν ἄθλων τῆς νίκης αὐτῶν· ὅροι πεπήγασι τῶν ἄθλων, ἔνθα αὐτοὶ ἀγωνισάμενοι ἐνίκησαν.

1. Εὐξάμενοι ἓν τοῖς θεοῖς τοῖς Ὀλυμπίοις, οἳ ἡμῖν 1
κατὰ τὸ εἰκὸς πλέον νέμεσιν, ἢ τοῖς πολεμίοις, εὐχῇ συμβάλλωμεν λησαῖς ἀνδράσι. θαῤῥεῖτε δὲ, ὡς, ἴσα 2
νεμόντων τῶν θεῶν, εὖ ἀγωνιεῖσθε. τὰ ἱερὰ καλὰ καὶ τὸ δίκαιον ὑμῖν μὲν θαῤῥεῖν παρέξει, ἐκείνοις δὲ, δεδιέναι. ἃ δὲ μάλισα ἄνδρας νέες παροξύνει, ὑμῶν αὐτῶν ἀκήσατε, πόλεώς τε μέγεθος, καὶ εὐδαιμονίας καὶ δόξης, ἣν ἕκασος παῤ ἑαυτῷ ἔχει. ἄ,τε νέοις ἀνδράσιν, ἡλικίας δὲ 3
ἀθύρματα, παῖδες καλοὶ καὶ γυναῖκες, καὶ γυμνάσια καὶ κυνηγέσια, ὧν ὑμεῖς τῇ μεγάλῃ ἐλευθερίᾳ πλεῖσά τε καὶ κάλλισα ἀπολαύετε περὶ ὧν μαχεῖσθε νυνὶ, ὑμετέρων ὄντων. περιττὸν ἀνδράσιν οἷς ταῦτα σπάνια· παρακελευ- 4
σάμενοι ἓν ὑμῖν αὐτοῖς, ἀνὴρ ἀνδρὶ, καὶ δημότης δημότῃ, καὶ φυλέτης φυλέτῃ, χρῆσθε τύχῃ ἀγαθῇ, ἐπειδὰν ἡγῆταί τις ἐπὶ τὲς πολεμίες.

ΗΡΩΔΟΥ ΛΟΓΟΣ
ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ.

ά. Δί' ὅ,τι ἀνάγκη λέγειν καὶ τηλικοῖσδε καὶ πολὺ 1
νεωτέροις περὶ τῦ παρόντος πράγματος, ἔχω λέξαι· δί' ὅτι δὲ εἰκός ἐσι σιωπᾶν, ἔχοντα λέγειν, ἔτε παῤ ἄλ-

(1) Εὐχῇ] προθυμίᾳ· τὸ δὲ, ὡς, ἴσα νεμόντων, ἔτω διώρθωσε Ῥεΐσκης ἀντὶ τῦ, ᾗ εἰς ἃ νεμόντων· ἄμεινον δὲ ἦν ἴσως γράφειν· θαῤῥεῖτε δὲ ᾗ τοῖς, ἃ νεμόντων τῶν θεῶν, εὖ ἀγωνιεῖσθε· τὰ γὰρ ἱερὰ καλὰ ὄντα — παρέξει· ἵνα ᾖ τὸ ἐντελές· θαῤῥεῖτε καὶ τοῖς ἱεροῖς, ἅπερ νεμόντων (ἐπειδὴ ἔνεμον) τῶν θεῶν, εὖ καὶ τλ. (3) ἄ,τε νέοις ἀνδράσιν] καὶ ὅσα εἰσιν ἡλικίας ἀθύρματα νέοις ἀνδράσιν, οἷον παῖδες καὶ τ. ταῦτα παῤ ὑμῶν αὐτῶν μάθετε· τὸ δὲ, Δὲ, μετὰ τὸ, ἡλικίας, ὀβελισέον ἂν εἴη. (3) ὧν ὑμεῖς — ἀπολαύετε] διέφθαρται· γραπτέον δ' ἴσως· ὧν ὑμεῖς μετ' ἐλευθερίας πλείσων τε καὶ κάλλισων ἀπολαύετε. (4) περιττὸν] πλείω παρακελεύεσθαι ἀνδράσιν (ὑμῖν) οἷς ταῦτα σπάνια· τετέσι, τίμια, περισπεδασα.

(1) Ὑπόθεσιν ἔχει ὁ λόγος ἔτος, ὅτι Λακεδαιμονίων καὶ Πελοποννησίων πολεμούντων πρὸς Ἀρχέλαον τὸν βασιλέα Μακεδόνων, καὶ κιτώντων καὶ Θ-

2 λων δύναμαι μαθεῖν, ἔτε αὐτὸς ἐξευρίσκω. περὶ μὲν γὰρ ἑτέρε πράγματος ἔχοι τις ἂν ἐγκαλεῖν τοῖς λέγεσι ματαιότητα ἢ πολυπραγμοσύνην, αἰτιασάμενος μὴ ἐπίσασθαι τὰ παρόντα πράγματα· τὰ δὲ εἰς τὸν πόλεμον ἀνήκοντα, πᾶσι μέν ἐσιν ἐν κοινῷ, μάλισα δὲ ἀναγκαῖον ᾖ προσῆκον ταῖσδε ταῖς ἡλικίαις, ἐπίσασθαι περὶ
3 αὐτῶν ᾗ λέγειν. οἷς γὰρ ὁ κίνδυνος οἰκειότατος γίνεται, τέτοις ἀναγκαῖόν ἐσι μάλισα μέλειν· οἷς δὲ μέλειν ἐπι-
4 τέτακται, τέτες εἰκὸς ἐξευρίσκειν μάλισα. τᾷ μὲν ἓν λέγειν πολλὰς ἀνάγκας εὑρίσκω, τᾷ δὲ σιωπᾷν ὀδεμίαν ὁρῶ συγγνώμην. ἐγὼ γὰρ ἐβελόμην μὲν ὑμᾶς αὐτὲς τῶν
5 ὑμετέρων ἀγαθῶν αἰτίες εἶναι μετὰ τῶν θεῶν· εἰ δὲ τᾶτο διατρίβετε, ᾗ δι' ἄλλες εὖ πράττειν ἡδὺ, δοκεῖ δή
6 μοι θεῶν τινος ἐπιμελείᾳ γίνεσθαι τὸ γινόμενον. ἃ μὲν γὰρ ὑμᾶς ἐχρῆν παρασκευάσασθαι χρήμασι πείθοντας, ᾗ τοῖς σώμασι κινδυνεύοντας, ταῦτα πάνθ' ὑμῖν ἡ τύχη ἄνευ πόνε ᾗ χρημάτων συνέπραξεν· ὥσε τὲς ὑμετέρες ἐχθρὲς ἑκόντας ὑμῖν δίκην δῶναι.

1 β'. Πρῶτον μὲν ἓν, ὡς ἀγαθόν ἐσι πείθεσθαι τοῖς ἐπαγγελλομένοις πόλεμον, τᾷθ' ὑμᾶς διδάξω· δεύτερον δ', ὡς ἀναγκαῖον· ἡμεῖς μὲν γὰρ ἐπισάμεθα γινώσκειν τὰ φύσει πολέμια τῇδε τῇ χώρᾳ, προγινώσκοντές τ' ἂν
2 πρὶν παθεῖν εὐλαβοίμεθα· τὰ μὲν ἐκείνων, ἀῤῥενῇ καθισάντες ἐκ παντὸς τρόπε, τὰ δ' ἡμέτερα αὐτῶν κρείσσονα, γινώσκοντες, ὅτι τὸ φύσει πολέμιον τῷ μὴ δύνασ-

βαίνες ἐπὶ τὸ αὐτὸ, ὁ Ῥήτωρ κινεῖ τὲς Ἀθηναίες σῆναι ᾗ αὐτὲς μετὰ τῶν Ἑλλήνων ἐπὶ τὸν βάρβαρον. (2) αἰτιασάμενος μὴ ἐπίσασθαι] προσέθηκα τὸ, μὴ, ὡς ἀναγκαῖον· δῆλον γὰρ ἐκ τῶν ἑπομένων· φησὶ γάρ· τὰ δὲ ἐν πολέμῳ πάντες ἐπίστανται. (2) ταῖς δὲ ταῖς ἡλικίαις] ἐν ᾗ ἐγὼ εἰμί· ἕτω δὲ ᾗ ἐν τῇ ἀρχῇ τᾷ λέγω, ἑαυτὸν ἐννοεῖ. (2) ᾗ λέγειν] ἀ μόνον εἰδέναι ᾗ πράττειν, ἀλλὰ ᾗ ἄλλοις ἐξηγεῖσθαι.

(1) Εὐλαβοίμεθα] ἔτρεψα τὸ Ὁριστικὸν εἰς Εὐκτικὸν διὰ τὸν, ἄν, μάλισα. (3) τὸν ἄνδρα τᾶτον] τὸν Ἀρχέλαον· προσθετέον δὲ πρὸ τέτε τὸν, Καί· εἰδὲ μὴ. προσθετέον ἀνωτέρω τι· οἷον, τὴν ἡμετέραν διδασκαλίαν μαθόντες ἐκ τῶν συμφορῶν, ἐπισάμεθα τὸν ἄνδρα. (4) διὰ δὲ (τὴν) δύναμιν ἀποδώσει] ἀθενῶν μὲν ἡμῶν ὄντων καθέξει· δυναμένοις δὲ ἀπολαβεῖν ἀποδώσει, ᾗ μὴ ἐθελῶν. (5) μόνον] μόνοις τοῖς τυράννοις. (5) τὰς πλεσιωτάτας] δοκεῖ μᾶλλον διεφθάρθαι ἐκ τᾶ πλησιεσάτας· ὅ ἐσι τὰς γειτονας.

(2) Πρὸς ἡμᾶς αὐτὲς] προσέθηκα τὴν πρὸς· ἕτω γὰρ ᾗ κατωτέρω ζ', 2. (2) ἐπὶ τέτες πάντας] ἐπανέλαβον τὴν ἀρχαίαν γραφὴν· ὁ γὰρ Ῥείκης

θαι κακὰ δρᾶν, ἡσυχίαν ἄγει· νῦν δὲ τὴν ἡμετέραν διδασκαλίαν ἐκ τῶν συμφορῶν ἐπισάμεθα, τὸν ἄνδρα τᾶτον ἐδέποθ' ὑμῖν φίλον ἐσόμενον, ἐδὲ διαλλαγὴν ἐσομένην ἐκείνῳ πρὸς ὑμᾶς· ἐ γὰρ ἀδικέμενος ὑφ' ὑμῶν, ἀλλ' ἀδικεῖν βελόμενος, ἐχθρὸς ὑμῖν ἐσιν· ἔχει μέν γε ἣν ἡμῖν οἱ πατέρες κτησάμενοι παρέδωκαν, ἣν διὰ μὲν τὴν ἡμετέραν ἀῤῥένειαν ἕξει, διὰ δὲ δύναμιν ἄκων ἀποδώσει· μία μὲν αὕτη πρόφασις αὐτῷ κακονοίας πρὸς ὑμᾶς· ἔπειτα δὲ, ὅτι ταῖς μὲν Ἑλλήνων πόλεσιν ἱκανόν ἐσιν τὴν αὐτῶν δύναμιν διασῶσαι τοῖς ἐπιγιγνομένοις· τοῖς δὲ τυράννοις ταῦτ' ἐκ ἀπόχρη μόνον, ἀλλα προσκατασρέψασθαι δέονται τὲς πλεσιωτάτες ἀεί· ἡμεῖς μὲν ἓν δοκῦμεν ἔτ' αὐτοὶ ῥᾳδίως ἂν τᾶτο παθεῖν, ἄλλοις τε ἐμποδὼν γενέσθαι· διὰ ταῦθ' ἡμῖν ἐκεῖνος ἄχθεται, βελόμενος σφάλλεσθαι τὰς ἐλπίδας τῶν ἡμῖν πισευόντων.

γ'. Ἀπὸ μιᾶς ἓν τέχνης ὁρμώμενος, ἡμῶν τε κρατήσειν οἴεται, ᾗ τέτων, ὧν δι' ἡμᾶς ἐκ ἄρξει· ταῦτα δὲ πρότερον ἐξῆν εἰκάζειν ἡμῖν, νῦν δὲ σαφῶς γινώσκειν, ἔργῳ πάσχοντας· ᾧ γὰρ ἁλίσκεται μάλισα ᾗ πόλις ᾗ χώρα, τᾶτο τὸ χωρίον ἐκ ἔλαθεν αὐτὸν, ἰδόντα σασιάζοντας πρὸς ἡμᾶς αὐτές· ἀλλὰ μετὰ τῶν ὀλίγων ἐπὶ τέτες πάντας ἐκ ὤκνησεν ἐλθεῖν· ἠπίσατο γὰρ ἐλθὼν, ὅτι τοῖς πολλοῖς μὲν ἐπιχειρήσας, ἐδὲν ἂν ἔπραξεν ὧν ἐβέλετο· (τὲς γὰρ ἀσθενεσέρες συγκαταπολεμήσας, ἐκ ἄρξειν τῶν πλειόνων ἔμελλεν· ἱκανοὶ γὰρ ἦσαν ἂν αὐτὸν

4 ἀμύνασθαι) εἰ δὲ τὲς πολλὲς μετὰ τῶν ὀλίγων κατασρέ-
ψαιτο, ῥᾳδίως ἀπάντων ᾧετο κρατήσειν· ἔτω μὲν αὐτὸς
βάλεσθαι πέφυκεν ἡμᾶς σασιάζειν· εἰ δ' αὐτῷ ταῦτα
5 συμφέρει, ᾗ πράσσειν οἴεσθε αὐτόν; τὸ δ' ἐκείνε συμφέ-
ρον, ὅσον ἡμῖν κακόν ἐσιν, ἀθρήσετε, πρὸς τὸ μέγισον
τῶν ἄλλων ἀντιθέντες· ὁμολογεῖται γὰρ πόλεμος τῶν
ἄλλων κακῶν τοσέτῳ μέγισον εἶναι, ὅσῳπερ εἰρήνη τῶν ἀ-
6 γαθῶν· ἴσῳ μέντοι μεγέθει τὸν πόλεμον ἡ σάσις ὑπερ-
βάλλει, ὅσῳπερ ὁ πόλεμος τὴν εἰρήνην· ἐν μὲν γὰρ τῷ
ξενικῷ πολέμῳ, τὴν πατρίδα σώζοντες ἀποθνήσκεσιν·
7 ἐν δὲ τῷ πολιτικῷ διαφθείροντες ἑαυτές· ὥσε μήτε τὲς
ἀποκτείναντας εὐδοκιμεῖν· ἄλλοις μὲν γὰρ πολεμῆντες,
πολεμῆμεν ὑπὲρ τῶν φίλων· ᾗ τὲς μὲν ἀλλοτρίες νικῶν-
8 τες, ἑτέρες κτῶνται φίλες· ὅταν δὲ τὲς οἰκείες, ἀποσε-
ρῆνται ᾗ τῶν ὑπαρχόντων· ἁρπαγὴν δὲ χώρας ᾗ χρη-
μάτων φθορὰν, ὅσην δύνανται, πολὺς ἀριθμὸς καθέσα-
9 κεν ἐξηγήσασθαι· ᾗ τέτων οὐδ' ἀπαλλαγῆναι ῥᾴδιον,
ἐπειδὰν ἄρξηταί τις· τὸν διαλλακτὴν γὰρ ἒκ ἔσιν εὑρεῖν·
οἱ γὰρ πλησίον οἰκῆντες ἒκ ἄχθονται σασιαζόντων τῶν
10 πλησίον· οἱ μὲν ἀσθενέσεροι, ὅπως ἂν μὴ ἄρχωνται· οἱ

ἔγραψεν, ἐπὶ τὲς πάντας, μηδὲν δέον. (5) τὸ δὲ ἐκείνε συμφέρον] ὅ ἐσι τὸ σασιάζειν ἡμᾶς. (5) τῶν ἄλλων] κακόν· ὅ ἐσι τῷ πολέμῳ· τὴν γὰρ σάσιν παραβάλλων πρὸς τὸν πόλεμον, συνάγει πσῶτον μεῖζον τὸ ἐκ τῆς σάσεως κακὸν, ὅσον τὸ διάφορον τῷ πολέμῳ πρὸς τὴν εἰρήνην. (6) ἐν τῷ ξενικῷ πολέμῳ] ὃν ποιῆταί τις πρὸς ξένες ᾗ ἀλλοτριόχθονας· ἐν δὲ τῷ πολιτικῷ· ἐν τῇ πρὸς ἀλλήλες σάσει τῶν πολιτῶν, διαφθείροντες ἑαυτὲς, (ἀποθνήσκεσιν)· ὥσε (μήτε τὲς ἀποθανόντας) μήτε τὲς ἀποκτείνοντας αὐτὲς εὐδοκιμεῖν. (7) πολεμῆμεν] ἄμεινον πολεμῶσι ὁμοιοπροσώπως τοῖς ἑπομένοις. (8) ᾗ τῶν ὑπαρχόντων) ᾗ ὧν ἔχυσι φίλων. (8) ὅσην δύνανται] ἡ σασιάζοντες ποιεῖν, πολὺς ἀριθμός. πολὺ πλῆθός ἐσι τῦτο, ὥσε ᾗ ἐξηγήσασθαι ὑμῖν· ὅμοιον δὲ, ὡς εἰ ἔλεγε· πολὺ ἂν ἔργον εἴη λέγειν, ὅση τῆς χώρας ἡ φθορὰ, ᾗ τῶν χρημάτων ἡ ἁρπαγή. (9) τὸν διαλλακτὴν] ὅτως ἐξ εἰκαφίας ᾗ ἑτέρᾳ ἔγραψα ἀντὶ τᾶ, τὸν διάλογον, ἀδιανοήτᾳ· συνάγεται ὀρ-

θῶς ἔχειν ᾗ ἐκ τῶν ἑπομένων. (10) ῥᾳδιέσερον] ἀντὶ τᾶ εἰπεῖν, ῥᾷον, παρεσχημάτισεν ὁμαλῶς· ἀδόκιμον δὲ, ᾗ χυδαῖον.

(2) Τῶν παρ' ἡμῶν ἐξαγομένων] πότερον, ἕνεκα τῶν ἐξαγομένων παρ' ἡμῶν προϊόντων τῆς χώρας· ἢ πλασιώτεροι τῶν γειτόνων τῶν τὰ προϊόντα παρ' ἡμῶν ἐξαγομένων, εἴτ' ἂν ὠνημένων; ἄμεινον ἴσως τὸ δεύτερον. (3) τὰ παραγενόμενα] ἴσως τὰ περιγενόμενα· τετέσι, τὰ περισσεύοντα. (3) εἰς ἀλλοτρίες] εἰς ξενικὸν ᾗ μισθωτὸν σράτευμα. (4) διαλύομεν] ἀντὶ τᾶ διαλλάττομεν (οἶμαι) τὲς ἀντισασιάζοντας· ἢ γραπτέον μᾶλλον, κωλύομεν. (4) φυλασσόμεθα ξένες] τρέφομεν παρ' ἡμῖν.

SISMANOGLIO

αὐτῶν χερσὶ τελευτώντων τὸν βίον, αἱ δ' ἐν τοῖς πολε-
μίοις διαφθειρομένων; οἰκίας δὲ κατασκαπτομένας, ἢ
4 χρήματα διαρπαζόμενα; ἢ τὸ πάντων δεινότατον ἐπότε
τύχοι τῶν αὐτῶν ἱερῶν κοινωνῶν ὁ ταῦτα δρῶν, ἢ τῆς
αὐτῆς φυλῆς ὢν, ᾧ προσῆκεν ἐπαμῦναι, κατάγε νόμον,
ἀλλὰ μὴ παρανόμως ἀπολέσαι; ὅτε ἢ τοῖς γέρουσιν ἐφάνη
5 συμφορὰ τὸ γῆρας, ἢ τοῖς ὀρφανοῖς ὡσαύτως; ἢ τέτων
τὸν αἴτιον πῶς ἐ χρὴ κακῶς δρᾶν, δυναμένες γε; ἀμυ-
νομένες μὲν ὧν ὑπῆρξε, τιμωρῦντας δὲ τοῖς ἀποθανοῦσιν,
6 οἰκτείροντας δὲ τὲς ἀποσεριθέντας· ἐ γὰρ μόνον τοσῦτον
ἀγαθόν ἐσιν, ὅτι τῶν παροιχομένων λυψόμεθα δίκην,
ἀλλ' ὅτι καὶ παράδειγμα τῦτο δείξαντες ἀποδιδάξομεν
τὲς ἄλλες μὴ νομίζειν εὕρημα τὴν ἡμετέραν διαφοράν,
7 μηδὲ μεθ' ἡμῶν ἐπιβελεύειν ἡμῖν· ἐὰν δὲ τῦτο γένηται,
πολλὰς ἐλπίδας ἔχω μηδὲ ϛασιάσειν ἡμᾶς, ὅταν ἐπίκυροι
μηδαμόθεν ἴωσι τοῖς ἐπιβελεύσιν.

1 ϛ'. Οὕτω μὲν ἦν ἀγαθόν ἐσιν ἡμῖν ἐθελοντὰς ὁμολο-
γῆσαι συμπολεμεῖν τοῖς παρακαλοῦσιν· ὡς δ' ἀναγκαῖόν
2 ἐσιν, ἐκ τῶν ἐπιλοίπων χρὴ σκοπεῖν. Ἀρχέλαος γὰρ
ἔτ' ἐπὶ Πελοποννησίοις ἦλθε ματὰ Ἀθηναίων, ἔτε διὰ
τῆς χώρας ἰέναι βελομένες ἔπαυσεν, ἔτε χρήματα πα-
ρέσχεν ἐπὶ τέτοις, ἐδὲ ἔσι πρόφασις τῆς ἔχθρας, πλὴν
ὅτι ἐκ ἤθελε συμπολεμεῖν αὐτοῖς πρὸς Ἀθηναίες, ἀλλ'
3 ἡσυχίαν ἦγεν· ἐπειδὴ τοίνυν τοῖς Πελοποννησίοις ἱκανὴ
πρόφασίς ἐσι πολεμίους νομίζειν τὲς μὴ πολεμήσαντας

(4) Ω' προσῆκεν] ὅτως ἔτρεψα τὸ, προσῆκον. (4) ἢ τοῖς ὀρφανοῖς ὡ-
σαύτως] ἡ ὀρφανία δηλονότι· ταῦτα δὲ εἰσὶ τῆς ϛάσεως τὰ κακά· ὧν αἴ-
τιον εἶναί φησι τὸν Ἀρχέλαον. (6) ἀλλ' ὅτι ἢ παράδειγμα] προσέθηκα τὸν,
Καὶ, ἀπαιτούμενον ἐν τῷ λόγῳ. (6) ἀποδιδάξομεν] μεταδιδάξομεν, ἕτερα
ἀντὶ τῶν πρώτων φρονεῖν ἀναγκάσομεν. (7) τοῖς ἐπιβελεύσι] πότερον,
ἔσωθεν, ἢ ἔξωθεν; ἀπὸ τῦ ἴσα, οἶμαι, ἑκάτερα δύναται· ἢ γὰρ ἢ οἱ
ἔσωθεν ἐπιβελεύοντες, χάριν τοῖς ἔξω φέροντες τῦτο, ποιῶσι,

αὐτοῖς, εὐλαβηθῶμεν, ὅπως μὴ διὰ τὴν πρόφασιν ἡμῖν
πολεμήσωσιν, εἰ παρακαλέμενοι μὴ βελησόμεθα συμ-
πολεμεῖν μετὰ Πελοποννησίων· ἐ γὰρ ἠδικεῖτο ὑπὸ Ἀ- 4
θηναίων ἐδέν· ἡμῖν δὲ δὴ τίς λόγος ὑπολείπεται; πότε-
ρον, ὡς ἐκ ἀδικέμεθα; διδάξομεν αὐτὲς ταὐτὰ δρᾶν-
ἅπερ ἐκεῖνος· ἐ γὰρ ἄδικον, εἴπερ ὁ τάδε δράσας ἐκ ἀ-
δικεῖ· ἀλλ' ἀδικεῖσθαι μὲν φήσομεν, ἀμύνεσθαι δ' ἐ βε- 5
λόμεθα; πολλὴν ἄρα δειλίαν ἐμποιήσομεν τοῖς βελομέ-
νοις ἡμᾶς καλῶς δρᾶν· ἀλλὰ βέλεσθαι μὲν, δύνασθαι δ'
ἔ; τίς ἂν ἐ καταφρονήσει τῆς δυνάμεως ἡμῶν, εἰ τὲς 6
Ἕλληνάς γε ἔχοντες ἐπικύρες, ἐδὲ ὕτω δυνησόμεθα τὲς
ἐχθρὲς ἀμύνεσθαι, ἢ, τὸ μέγιϛον, εἰ δευτέραν αἰτίαν
σχήσομεν ὑπὸ τῶν Ἑλλήνων; πρότερον μὲν, ὅτι τὸν πρό- 7
τερον Μηδικὸν ἐ συνεπολεμήσαμεν· δεύτερον δὲ, τὸν νῦν
ἐπαγγελλόμενον· καίτοι πρὸς ἐκεῖνον μὲν ἱκανὴν πρόφα-
σιν εἴχομεν· πρὸ ἡμῶν μὲν γὰρ ἠθέλομεν αὐτοῖς συνδια-
κινδυνεύειν· ὕτω γὰρ ἐπὶ πάσης ἐγίνετο μᾶλλον, ἢ τὴν 8
ἡμετέραν αὐτῶν ἀπολιπόντας, περὶ τῆς ἐκείνων διαμά-
χεσθαι· νῦν δὲ τί φήσομεν; αὐτοὶ γὰρ ἥκεσιν ὑπὲρ ἡ-
μῶν ἢ τῆς ἡμετέρας θέλοντες κινδυνεύειν· ἔτι δὲ πῶς ἐ 9
δεινὸν, εἰ μόνοι τῶν Ελλήνων εἰς τὴν Ἑλλησίδα συμμα-
χίαν οὐ συναριθμησόμεθα; τῦτο δ' ὅσον ἐσὶν, αὐτὸς ἕ-

(4) Οὐ γὰρ ἠδικεῖτο ὑπὸ Ἀθηναίων ἀδέν] ἐλλείπειν τί δοκεῖ μεταξύ· ὅθεν ἀναπληρωτέον ἂν εἴη πρὸς τὴν τῦ λόγυ συνάφειαν ὅτωσί· κἀκείνῳ μὲν ἦν πρόφασις εὔλογος πρὸς ἐκείνες μὴσυμπολεμεῖν αὐτοῖς· (ἴδε ἀνωτέρω, 2.) ἐ γὰρ ἠδικεῖτο ὑπὸ Ἀθηναίων ἀδέν· ἡμῖν δὲ δὴ τίς λόγος ἢ τλ. (4) διδάξομεν] ἀλλὰ διδάξομεν αὐτὲς ποιεῖν τὰς αὐτὰς ἐκείνῳ ϛάσεις ἐν ἡμῖν αὐτοῖς· ἐ γὰρ ἄδικον ἢ ἐκείνες ποιεῖν τὰ αὐτὰ, εἴπερ ὁ δράσας Ἀρ-
χέλαος ὐκ ἀδικεῖ. (7) πρότερον] γραπτέον, πρῶτον· ἢ γὲν, πρωτέραν, δευτέραν. (7) πρὸ ἡμῶν μὲν γὰρ] ὁ, Μὲν, ὀβελισέος ἂν εἴη· ὁ δὲ νες· πρὸ τῆς χώρας ἡμῶν ἠθέλομεν συμπολεμεῖν, ἀλλ' ὐχὶ ἀφέντες τὴν ἡμετέραν, ὑπὲρ τῆς ἐκείνων συγκινδυνεύειν. (8) ἕτω γὰρ ἐπὶ πάσης] τῆς χώρας κρι-
νῶς τῆς ἡμῶν ἢ αὐτῶν ἡ βοήθεια ἦν· ὁ δὲ Γαίσκης βέλεται τρέψαι εἰς τὸ, ἐπ' ἴσης.

τος δεδήλωκεν· ἐπιθυμῶν γὰρ ἢ χρήματα βελόμενος
10 τοῖς Ἕλλησι δοῦναι, ὅπως γένοιτο σύμμαχος, ἢ ἐδυνήθη
διαπράξασθαι· ἢ τοῦτο σχεδόν ἐσι δυοῖν σημεῖον, ἢ ὅτι
ἀγαθόν ἐσι, ἢ ὅτι χαλεπόν· περὶ μὲν ἓν τούτων, ἐὰν
ταῦτά τις ἀντιλέγῃ, τοσαῦτά μοι λελέχθω.

1 ζ'. Ἤδη δὲ λόγον ἤκουσα λεγόμενον, ὡς μοι σημεῖόν
ἐσιν ἱκανὸν, ὅτι βέλτισά ἐσιν, ἃ ἐγὼ λέγω τοῖς ἐναν-
τιωσομένοις· εἴπερ ὁ λόγος ἐκεῖνος ἰσχυρότατός ἐσιν, ἢκ
2 ἄξιόν ἐσιν ἔτι φοβηθῆναι· λέγουσι γὰρ, ὡς κρείσσων Ἀρ-
χέλαός ἐσι, καὶ τοιοῦτος ὢν, πρόσοικος μᾶλλον ἢ Πελο-
ποννήσιοι· τοῦτον μὲν γὰρ εἰ βουλοίμεθα, δυναίμεθ' ἂν
ἀμύνασθαι, Πελοποννησίους δ' ἢκ ἄν· ἢκεῖν κρεῖσσον σα-
3 σιάζειν πρὸς ὑμᾶς αὐτοὺς μᾶλλον, ἢ δουλεύειν ἑτέροις· ἐγὼ
δ' εἰ μὲν ἀνάγκην εἶχον ἔσαν ἡμῖν ἑλέσθαι δυοῖν θάτε-
ρον, ἐβουλευσάμην ἄν, ὁπότερον χρή μ' ἑλέσθαι· νῦν δ'
4 ἡσυχίαν εὑρίσκω πρὸς Πελοποννησίους ἔσαν· θαυμάζω δὲ
ἢ τῶν ἀντιτιθέντων πράγματα τοῖς πράγμασιν· ἃ γὰρ
ὅμοια πρὸς ὅμοια συντιθέασι· πρῶτον μὲν, ὅτι τὰ μὲν
ὑπὸ τούτου σαφῶς ἐπισάμεθα, τὰ δ' ὑπ' ἐκείνων ὑπονοοῦμεν·
5 Τὰ μὲν γὰρ ἐπάθομεν, τὰ δ' ἢκ ἐπισάμεθα, εἰ πεισόμε-
θα· πῶς ἓν ἴσον ἐσὶ, τοῖς μὲν ἤδη γενομένοις μὴ θυ-
6 μοῦσθαι, τὰ δ' εἰκαζόμενα φοβεῖσθαι μᾶλλον; ἐκ ποίων
δὲ χρὴ παραδειγμάτων ὀρρωδεῖν αὐτά; πότερον, ἢχ ὁρῶ-

(1) Α ἐγὼ λέγω τοῖς ἐναντιωσομένοις·] ἐναντίον αὐτῶν δηλονότι, εἰ-
μήτι διέφθαρται· ὁ γὰρ Ρ'εἴσκης σὺν λόγῳ βάλεται διορθὲν ἔτω· ἃ ἐγὼ
λέγω· τοὺς γὰρ ἐναντιωσομένους, εἴπερ ὁ λόγος ἐκεῖνος (ἴσ. ἐκείνων) ἰσχυ-
ρότατός ἐσιν, οὐκ ἄξιον φοβηθῆναι. (2) κρείσσων] πότερον, δυνατώτερον,
ἢ ἁπλῶς ὡς ἐν τῇ συνηθείᾳ, καλήτερος; τὸ δεύτερον ἄμεινον. (2) κρεῖσσον
σασιάζειν] κρεῖσσόν ἐσιν εἶναι δυνατὸν τὸν Ἀρχέλαον, κἂν ἡμῖν ἐμποιῇ σά-
σεις, ἢ Πελοποννησίους δουλείαν ἡμῖν ἐπάγειν. (3) δυοῖν θάτερον] ἢ σασιά-
ζειν πρὸς ἑαυτοὺς, ἢ δουλεύειν Πελοποννησίοις· νῦν δὲ, πρὸς Πελοποννησίους
ὁρῶ ἡσυχίαν οὖσαν ἡμῖν· ἡ δὲ σάσις πρὸς ἡμᾶς αὐτοὺς διαμένει. (3) νυν δὲ]
ἔτως ἔγραφα ἀντὶ τοῦ, τὴν δέ· ὁμοίως ἢ κατωτέρω μικρὸν, ὑπὸ τούτου (τοῦ
Ἀρχελάου) ἀντὶ τοῦ, ὑπὸ τοιούτου. (6) ὀρρωδεῖν αὐτὰ] τὰ ὑπὸ τῶν Λακεδαι-

μεν τοὺς πλησιεστάτους ἡμῖν προσοικοῦντας τῶν Ἑλλήνων Φω-
κέας ἐλευθέρους ὄντας, προσεχομένους δὲ Βοιωτοὺς, ἔτε
φόρον φέροντας ἐκείνοις, ἔτε ἄρχοντα ἐδένα Λακεδαιμο-
νίων αὐτόθι; ἔτι δὲ διὰ πλείονος Κορινθίους αὐτονόμους 7
ὄντας, ἢ τῶν ἑαυτῶν κρατοῦντας; Ἀχαιοὺς δὲ πρὸς τού-
τοις, ἔτε πλείονας ὄντας ἡμῶν, ἔτε κατὰ πλείους οἰκοῦν-
τας; Ἠλείους δὲ ἢ Τεγεάτας, ἢ τοὺς ἄλλους Ἀρκάδας, 8
ἀσυγείτονας ὄντας; ἔνθ' ἐδεὶς εὕρηκέ πω Λακεδαιμόνιον
ἄρχοντα, ὥσπερ ἐδ' ἐνθάδε Μακεδόνα· πολιτείας δὲ
παντάχοῦ ἢ νόμους ἐπισάμεθα κειμένους, ἢ τὰ κοινὰ κοινῇ
καρπεμένους.

η'. Ἴσως ἄν τις εἴπῃ, ἀλλ' ὀλιγαρχίαν ἅπαντα- 1
χοῦ καθισᾶσι; τοιαύτην γε, οἵαν ἡμεῖς εὐχόμενοι πο-
λὺν χρόνον καὶ ποθοῦντες, ὀλίγον χρόνον ἰδόντες, 2
ἀφηρέθημεν· οὐ δὴ προσήκει ὀλιγαρχίας λέγειν ἐ-
κείνας πρὸς τὰς ἐνθάδε· ποῦ γὰρ οὕτω μικρὰ πόλις,
ἐν ᾗ τὸ τριτον μέρος ἐ μετέχει τῶν πραγμάτων αὐτόθι; ὅ-
τῳ δὲ μηδὲ ὅπλα, μηδὲ ἄλλη δύναμίς ἐσι τὰ κοινὰ πράσσειν, 3
ἢχ ὑπὸ Λακεδαιμονίων, ἀλλ' ἀπὸ τῆς τύχης ἀπεσερήθη
τῶν πραγμάτων· ἀπεσέρηται δὲ τοσοῦτον χρόνον, ἕως ἂν 4
παράδειγμα μαθῆτε· πάντα δὲ ταῦτα, πρὸς ὑμῶν ἐσιν·
οἶμαι μὲν γὰρ ἡμᾶς ἐδ' ἂν εὐχομένους ἄλλως εὖξασθαι
πολιτεύεσθαι, παραδείγματα δὲ τοιαῦτα παρεχομένους

δαιμονίων γενόμενα. (6) προσεχομένους δὲ (αὐτῶν) Βοιωτοὺς] γείτονας αὐ-
τῶν ἐκείνοις τοῖς Λακεδαιμονίοις. (7) διὰ πλείονος] διασήματος· πορρωτέ-
ρω ἡμῶν ὄντας, ἢ τῶν Λακεδαιμονίων. (7) κατὰ πλείους] πόλεις ἢ κώμας.
(8) ἀσυγείτονας ὄντας] Λακεδαιμονίων. (8) Λακεδαιμόνιον ἄρχοντα] ἄρ-
χοντα ἀντὶ τοῦ, ἔχοντα, ἔγραψα.

(3) Ὅτῳ δὲ — ἀπεσερήθη τῶν πραγμάτων] ὅτως ἔτρεψα ταῦτα· εἶχε
γὰρ οὕτω· ὅτω δὲ — ἀποσερηθέντων πραγμάτων. (4) μαθητε] ἴσως περιτ-
τως προσετέθη τὸ, μὰ, ἐν ἀρχῇ κατὰ παρελκὴν ἀπὸ τῆς προηγουμένης λέ-
ξεως, ἵνα ᾖ, παράδειγμα θῆτε· εἰδὲ μὴ γραπτέον, μάθητε. (4) πάντα
δὲ ταῦτα πρὸς ὑμῶν ἐσιν] ὅτως ἔγραψα ἀντὶ τοῦ, παρὰ δὲ ταυτα, παρ'
ὑμᾶς ἐσι· ἵν' ᾖ συνημμένον τοῖς ἑπομένοις. (4) παραδείγματα δὲ] δὲ, ὃ-

ὀρρωδεῖν ἀκ εἰκὸς αὐτὸς, ἃ μὴ γενέσθαι δεινόν ἐσι μᾶλλον ἢ γενέσθαι· ᾗ Λακεδαιμονίοις μὲν ἀκέτι πέφυκεν ὑμῖν ἐπιτίθεσθαι· πόρρω γὰρ οἰκέσιν ἀφ ἡμῶν ἀπαράσκευοί τ' εἰσὶ πρὸς τὴν χώραν· ᾧ γὰρ ἡμεῖς ἰχύομεν μάλισα, ἀκ ὀλίγον διαφέρσι πλησίον εἶναι αὐτῷ· πρῶτον μὲν γὰρ ἀκ εἰκότως ἐπιβελεύσσιν· ἐὰν δ' ἐγχειρῶσιν, ἀλήσσσιν· ἐὰν δὲ προγινώσκωμεν, ἀκ ἀμελήσομεν αὐτῶν· ὥσε ἐδαμῇ καλῶς αυτοις ἐπιτίθεσθαι σχήσει.

1 Θ'. Εἰ δὲ ᾗ τόνδετις τὸν λόγον λέξει, ὡς Α'ρχέλαος παῖδας ἔχει, ᾗ διὰ τὲς παῖδας οὐχ οἵόντε συμπολεμεῖν· πρῶτον μὲν ἄξιον θαυμάσαι τῦτον, ὅσις περὶ μὲν δέκα παίδων λέξειε, περὶ δὲ τῶν ἁπάντων ἀ λέγει ἀδὲ περὶ τῆς πόλεως· ᾗ τὸ μὲν τῶν παίδων συμφέρον ἀ-
2 ποσερεῖ, περὶ δὲ τῶν ὀλίγων καθίσησιν· εἰ μὲν ἓν ἀναγκαῖον ἦν παθεῖντι τὲς παῖδας, ἀ θαυμασὸν ἦν λέξαι· νῦν δὲ δῆλόν ἐσιν, ὅτι κρατῆντες ἐκείνε, ᾗ τῶν παίδων ἅμα κρατήσομεν· ὥσε ἀφελόντες τῶν ἐκείνε κακῶν ῥα-
3 δίως ἀπολαβεῖν τὲς παῖδας· ὁ μὲν ἓν ἐμὸς λόγος, ἀμύνεσθαι μὲν τὸν ἀδικῆντα κελεύει, τιμωρεῖν δε τοῖς ἀποθανῆσι, χαρίζεσθαι δὲ τοῖς παρήκσσι· δέχεσθαι δὲ τὴν τύχην· συμμάχσς τε τοῖς Ε'λλησιν εἶναι, πολεμίσς δὲ τοῖς βαρβάροις· πισεύειν μὲν τοῖς ὠφελοῦσιν, ὀρρωδεῖν δὲ

γραψα ἀντὶ τῦ, μέν. (5) πρὸς τὴν χώραν] πρὸς τὴν πεῖραν, ἐθέλει Ρ'εἴσκης γράφεσθαι· εἴη δ' ἂν μᾶλλον, πρὸς τὴν χρείαν· ἢ ἐννοητέον τὸ, εἰσβάλλειν εἰς τὴν χώραν τὴν Α'ττικήν. (5) πλησίον· ὅτως ἀντὶ τῦ, πλησίοι. (5) πρῶτον μὲν γὰρ] ἀντὶ τῦ, γὰρ, γραπτέον, ὅν. (6) ἐὰν δὲ προγινώσκωμεν] γραπτέον, γὰρ, ἀντὶ τῦ, δέ.

(1) Οὐχ οἵόντε (ἡμῖν) συμπολεμεῖν (Πελοποννησίοις) πρῶτον μὲν ᾗ τλ. (1) περὶ δὲ τῶν ἁπάντων] Πελοποννησίων, ἢ Ε'λλήνων. (1) ᾗ τὸ μὲν τῶν παίδων — καθίσησι] γραπτέον οἶμαι ὡδὶ μᾶλλον] ᾗ τὸ μὲν τῶν πάντων συμφέρον ἀποσερεῖ, τοδὲ τῶν ὀλίγων καθίσησι. (2) τὲς παῖδας] γραπτέον, διὰ τὲς παῖδας· ἃ θαυμασὸν ἦν λέξαι (ταῦτα τὲς ἀντιλέγοντας). (2) ὥσε ἀφελόντες] γραπτέον μᾶλλον, ὡς εἰκάζει Ρ'εἴσκης ὡδὶ· ὥσε σφιλέντος, τῶν ἐκείνε κακῶν ῥᾳδίως ἀπολαβεῖν τὲς παῖδας. (3) τοῖς παρήκσσι] γραπτέον

τὲς μὴ τοιέτες· ἐχθρὲς δὲ νομίζειν τὲς ἀδικῆντας, φίλες δὲ, τὲς ἐπαμύνοντας· πρὸς τέτοις τε, τὰ γιγνω- 4
σκόμενα τῶν εἰκαζομένων κυριώτερα ἡγεῖσθαι· ταῦτα μὲν ἓν οὑμὸς λόγος· τοῖς δὲ ἐναντιεμένοις, εἰ εἰς τῦτο ἥξεσι τόλμης, τἀναντία δεῖ δύνασθαι τὸν λόγον· ἀνέχεσθαι μὲν ἀδικεμένες, ὠφελεῖν δὲ τὲς ἀδικῆντας, φεύγειν δὲ τὲς βελομένες ὠφελεῖν· ἀπισεῖν δὲ τοῖς φίλοις, πισεύειν δὲ τοῖς ἐχθροῖς· ὀρρωδεῖν δὲ τὰ πόρρω, τὰ δὲ πλησίον 5
ὑπερορᾶν· ἔπειτα τοῖς Ε'λλησι μὴ γίνεσθαι συμμάχες, τοῖς δὲ βαρβάροις, ᾗ πρὸς τέτῳ τοῖς ἐχθροτάτοις· ἔτι δ' ἀτιμωρήτες μὲν τεθνάναι τὲς ἀποθανόντας, ἀτίμες δὲ τὲς προσήκοντας εἶναι· ᾗ μήτε πολιτείαν εἶναι, μήτε νόμον, μήτε δίκας· τοιαῦτα ἀνάγκη τὸν λόγον τῶν ἀντιλεξόντων δύνασθαι· ταῦτα γάρ ἐσιν ἐναντία τέτοις, οἷς ἐγὼ λέγω· πειθόμενοι ἓν ἐκείνοις, τέτων ἀχ ἁμαρτήσεθε· 6
δεξάμενοι δὲ τὴν συμμαχίαν, ᾗ προθυμηθέντες, ὧν ἐπάθομέν τε δίκην λψόμεθα, ᾗ τὸ λοιπὸν ἀ πεισόμεθα τοιαῦτα.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΛΟΓΟΙ.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΛΟΓΟΣ ΑΙΑΝΤΟΣ.

α'. Ε'βελόμην ἂν τὲς αὐτὲς ἡμῖν δικάζειν οἵπερ ᾗ 1
ἐν τοῖς πράγμασι παρῆσαν· οἶδα γὰρ, ὅτι ἐμὲ μὲν ἔδει σιωπᾶν, τέτῳ δ' ἀδὲν ἂν ἦν πλέον λέγοντι· νῦν δὲ οἱ μὲν

τοῖς προσήκσσιν, ὡς ᾗ κατωτέρω· 5. (6) τέτων ἀχ ἁμαρτήσεθε] παρέλκει, οἶμαι, ἡ ἄρνησις.

(1) Ἰσέον, ὅτι οἱ ἑξῆς λόγοι τῶν καλεμένων εἰσὶ μελετῶν· καλεῖται δὲ ὁ Α'ντισθένες Αἴας, ἢ Αἴαντος λόγος, ὡς ὑπὸ τῦ Αἴαντος λεγόμενος· ὁμοίως δὲ ᾗ Α'ντισθένες Ο'δυσσεύς· τῇ δὲ Α'λκιδάμαντος κατηγορία Παλαμήδες, ἥπερ ὁμοίως ὡς ἀπὸ Ο'δυσσέως ἐσὶν, ἁρμοζόντως ἐπιτέτακται ἡ ὑπὲρ Παλαμήδες ἀπολογία, καίπερ ὑπ' ἄλλε ῥήτορος γεγραμένη· ὅτω Στέ-

παραγονόμενοι τοῖς ἔργοις αὐτοῖς ἄπεισιν, ὑμεῖς δὲ οἱ ἀ-
2 δὲν εἰδότες δικάζετε· καίτοι ποίατις ἂν δίκη δικαιῶν μὴ εἰδότων γένοιτο, ἢ ταῦτα διὰ λόγων; τὸ δὲ πρᾶγμα ἐγίνετο ἔργῳ· τὸ μὲν ἓν σῶμα τῷ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε, ἐπισάμενος, ὅτι ἐ τῶν ὅπλων μᾶλλον ἐπεθύμεν οἱ Τρῶες, ἀλλ' ἢ τῷ νεκρῷ κρα-
3 τῆσαι· τῷ μὲν γὰρ εἰ ἐκράτησαν, ἠκίσαντό τε ἂν τὸ σῶμα, ἢ τὰ λύτρα τῷ Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε ἐκ ἂν ἀνέθεσαν τοῖς θεοῖς, ἀλλ' ἀπέκρυψαν, δεδιότες τόνδε τὸν ἀγαθὸν ἄνδρα, ὃς πρότερον ἱεροσυλήσας αὐτῶν τὰ ἄγαλμα τῆς θεῦ νύκτωρ, ὥσπερ τι καλὸν ἐρ-
4 γασάμενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς· κἀγὼ μὲν ἀξιῶ λαβεῖν, ἵν' ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις· οὗτος δὲ, ἵν' ἀποδῶται· ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε· δειλὸς γὰρ ἀδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο, εἰδὼς, ὅτι τὴν δειλίαν αὐτῷ ἐκφαίνει τὰ ὅπλα.

1 β'. Σχεδὸν μὲν ἓν ἐσιν ἅπαντα ὅμοια· οἵ τε γὰρ διαθέντες τὸν ἀγῶνα βασιλεῖς, ἐκόντες εἶναι περὶ ἀρετῆς κρῖνειν ἐπέτρεψαν ἄλλοις, οἵ τε ἀδὲν εἰδότες, δικάσειν
2 ὑπισχνεῖσθε περὶ ὧν ἐκ ἴσε· ἐγὼ δὲ ἐπίσαμαι τοῦτο, ὅτι ἀδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν, ἐπιτρέψειεν ἄλλοις μᾶλλον, ἢπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσή-
3 ματα ἄλλῳ παρείη· καὶ εἰ μὲν ἦν μοι πρὸς ἄνδρα ὁμοιότροπον, οὐδ' ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ' ἐκ ἔσιν ὃ διαφέρει πλέον ἐμοῦ ἢ τοῦδε· ὁ μὲν γὰρ ἐκ ἔσιν ὅ,τι ἂν δράσειε φανερῶς, ἐγὼ δὲ ἀδὲν ἂν λάθρα τολμήσαιμι

φανος. (1) τούτῳ] τῷ Ὀδυσσεῖ. (1) τοῖς ἔργοις αὐτοῖς] μετέθηκα ἅτως· ἀντὶ τῶ, τοῖς αὐτοῖς ἔργοις. (3) ἀνέθεσαν] ἅτως ἐξ ἑτέρας ἐκδόσεως ἀντὶ τοῦ, ἀνέθηκαν· εὐχρηστότερον γάρ· ἅτω δὲ ἢ μικρὸν κατωτέρω, αὐτῶν τὸ ἄγαλμα, ἀντὶ τοῦ, αὐτῆς, ὅπερ Γ'εἴσακης ἔτρεψεν εἰς τὸ, αὐτοῖς.

(1) Ἅπαντα ὅμοια] ὁμοίως ἅπαντα· ἴσως δὲ γραπτέον, ἀνόμοια. (3) ἢ εἰ μὲν ἦν πρὸς ἄνδρα ὁμοιότροπον] ὁ ἀγὼν ἢ λόγος, ἐκ ἂν ἔμελέ μοι ἢ ἡτ-

πρᾶξαι· κἀγὼ μὲν ἐκ ἂν ἀναισχύμην κακῶς ἀκούων, ἀδὲ 4
γὰρ κακῶς πάσχων· ὁ δὲ, κἂν κρεμάμενος, εἴ γε κερδαίνειν τι μέλλοι· ὅσις γε μαργῶν παρείχε τοῖς δήλοις ἢ τύπτειν ξύλοις τὰ νῶτα ἢ πυγμαῖς τὸ πρόσωπον· κἄ- 5
πειτα περιβαλόμενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰσδὺς τῶν πολεμίων, ἱεροσυλήσας ἀπῆλθε· ἢ ταῦτα ὁμολογήσει ποιεῖν, ἴσως δὲ ἢ πείσει λέγων, ὡς καλῶς πέπρακται· ἔπειτα τῶν Ἀχιλλέως ὅπλων ὅδε ὁ μαργίας ἢ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;

γ'. Ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς ἀδὲν εἰδόσι κριταῖς 1
ἢ δικασταῖς, μὴ εἰς τὺς λόγυς σκοπεῖν, περὶ ἀρετῆς κρίνοντας, ἀλλ' εἰς τὰ ἔργα μᾶλλον· ἢ γὰρ ὁ πόλεμος οὐ λόγῳ κρίνεται, ἀλλ' ἔργῳ· ἀδ' ἀντιλέγειν ἔξεσι πρὸς 2
τὺς πολεμίυς, ἀλλ' ἢ μαχομένυς κρατεῖν, ἢ δυλεύειν σιωπῇ· πρὸς ταῦτα ἀθρειτε, ἢ σκοπεῖτε, ὡς εἰ μὴ δικάσητε καλῶς, γνώσεσθε, ὅτι ἀδεμίαν ἔχει λόγος πρὸς ἔργον ἰσχύν, ἀδ' ἔσιν ὑμᾶς ὅ,τι λέγων ὠφελήσει· εἰσε- 3
σθε δὲ ἀκριβῶς, ὅτι δι' ἀπορίαν ἔργων πολλοὶ ἢ μάκροι λόγοι λέγονται· ἀλλ' ἢ λέγετε, ὅτι ἀ ξυνίετε τὰ λεγόμενα, ἢ ἀνίσασθε, ἢ δικάζετε ὀρθῶς· ἢ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς· ἵνα γνῶτε, ὅτι ἢ αὐ- 4
τοῖς τοῖς δικάζυσι δοτέα δίκη ἔσιν, ἂν μὴ δικάσωσιν ὀρθῶς· κἄπειτ' ἴσως γνώσεσθε, ὅτι κριταὶ τῶν λεγομένων, ἀλλὰ μὴ δοξασταί, κάθησθε· ἐγὼ δὲ διαγινώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ ἢ τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν δὲ

τηθῆναι. (4) κἂν κρεμάμενος] ἀνάσχοιτο· ὅ ἐσι ἢ τὸ κρεμᾶσθαι ἀνάσχοιτ' ἂν ἐπὶ τῷ κερδαίνειν τι. (5) ἱεροσυλήσας] τὸ ἄγαλμα τῆς θεᾶς ἐκ τᾶς Τροίας· ἴδε ἐν τῇ ἀπολογίᾳ.

(2) Γνώσεσθε] ἅτως ἔγραψα ἀντὶ τοῦ γνωθήσεσθε. (4) κριταὶ — ἀλλὰ μὴ δοξασταί] ὁμοίως ἢ τὰ ῥήματα διαγινώσκειν ἢ διαδοξάζειν· τὸ μὲν ἐπὶ τοῦ δικαίου, τὸ δὲ ἐπὶ τῆς ἀρετῆς ἔοικεν ἐκλαβεῖν· οἷον, ἐγὼ ἀξιῶ ὑμᾶς κρῖναι, τίνα ἡμῶν δίκαιον ἔχειν τὰ ὅπλα, ἀ μὴν δὲ, τὶς ἡμῶν κρεῖττων ἐσιν· ἀδεμίαν γὰρ παράθεσιν ὁρῶ ἐνθοσαν ἐμοὶ πρὸς αὐτόν.

ἅπασιν ἀπαγορεύω, ϗ ταῦτα, περὶ ἀνδρὸς, ὃς ϗχ ἑκών,
6 ἀλλ' ἄκων ἀφῖκται εἰς Τροίαν· καὶ περὶ ἐμοῦ, ὃς πρῶτος
ἀεὶ ϗ μόνος ϗ ἄνευ τείχους τέταγμαι.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΛΟΓΟΣ

ΟΔΥΣΣΕΩΣ.

1 α'. Οὐ πρὸς σέ μοι μόνον ὁ λόγος· δι' ὃν ἀνέσην,
ἀλλὰ ϗ πρὸς τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ πε-
2 ποίηκα τὸ στρατόπεδον ἐγὼ, ἢ ὑμεῖς ἅπαντες· ϗ ταῦτα
ϗ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, ϗ νῦν τεθνεῶτος λέγω πρὸς
ὑμᾶς· ὑμεῖς μὲν γὰρ ἐδεμίαν ἄλλην μάχην μεμάχησθε,
ἢν ϗχὶ ϗ ἐγὼ μεθ' ὑμῶν· ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων ἐ-
3 δεὶς ὑμῶν ἐδὲν ξύνοιδε· καίτοι ἐν μὲν ταῖς κοιναῖς μά-
χαις, ἔτε εἰ καλῶς ἀγωνίζοισθε, πλέον ἐγίγνετο ἐδέν·
ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, ὃς ἐγὼ μόνος ἐκινδύνευον, εἰ
μὲν κατορθώσαιμι, ἅπαντα ὑμῖν ἐπετελεῖτο, ὧν ἕνεκα
ἀφίγμεθα· εἰ δὲ σφαλείην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐσέρη-
4 σθε· ϗ γὰρ ἵνα μαχούμεθα τοῖς Τρωσὶ δεῦρ' ἀφίγμεθα,
ἀλλ' ἵνα τήν τε Ἑλένην ἀπολάβοιμεν, ϗ τὴν Τροίαν ἑ-
λοιμεν· ταῦτα δὲ ἐν τοῖς ἐμοῖς κινδύνοις ἐνῆν ἅπαντα·
5 ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν Τροίαν, εἰ
μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν
παρ' ἡμῶν, τίς ἐστιν νομίσας δεῦρο τὸ ἄγαλμα ἄλλος,
6 ἢ ἐγώ; ὃν σύγε ἱεροσυλίας κρίνεις; σύγε ἐδὲν οἶσθα
ὅστις τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ' ϗ
τὸν ὑφελόμενον παρ' ἡμῶν Ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον· ϗ τὴν Τροίαν μὲν ἁλῶναι ἅπαντες εὔχεσθε, ἐμὲ

(3) Ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐσέρησθε] ἐλλείπειν τι δοκεῖ, ὅσον ἐκ τῶν ἑπομένων εἰκάσαι· ὁ γὰρ νοῦς ἀπαιτεῖ· ἢ μόνου ἑνὸς ἀνδρὸς ἐσέρησθε (ὃ ἐδὲν ἂν εἴη δεινὸν) ἀλλὰ ϗ πάντων, ὧν ἕνεκα ἀφίγμεθα.

δὲ τὸν ἐξευρόντα, ὅπως ἔσαι τοῦτο, ἀποκαλεῖς ἱερόσυλον;
καίτοι εἴπερ καλόν γε ἦν ἑλεῖν τὸ Ἴλιον, καλὸν ϗ τὸ 7
τοῦτο αἴτιον· ϗ οἱ μὲν ἄλλοι χάριν ἔχουσι, σὺ δὲ ὀνειδί-
ζεις ἐμοί· ὑπὸ γὰρ ἀμαθίας, ὧν εὖ πέπονθας ἐδὲν
οἶσθα.

β'. Κἀγὼ μὲν ϗκ ὀνειδίζω σοι τὴν ἀμαθίαν· (ἄκων 1
γὰρ αὐτὸ καὶ σὺ ϗ ἄλλοι πεπόνθασιν ἅπαντες) ἀλλ' ὅτι
διὰ τὰ ὀνείδη τὰ ἐμὰ σωζόμενος, ϗχ οἷός τε εἶ πείθεσθαι,
ἀλλὰ ϗ προσαπειλεῖς ὡς κακὸν δράσοντι τόσδε, ἐὰν ἐ-
μοὶ τὰ ὅπλα ψηφίσωνται· καὶ πολλάκις γε ἀπειλήσεις ϗ 2
πολλὰ, πρὶν ϗ σμικρόν τι ἐργάσασθαι· ἀλλ' εἴπερ ἐκ τῶν
εἰκότων τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴο-
μαί σε κακόν τι σαυτὸν ἐργάσεσθαι· ϗ ἐμοὶ μὲν, ὅτι τοὺς 3
πολεμίους κακῶς ἐποίησα, δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι
φανερῶς ἐμόχθεις ϗ μάτην, ἡλίθιος ἦσθα, ὅτι μετὰ
πάντων τοῦτ' ἔδρασας, οἴει βελτίων εἶναι· ἔπειτα περὶ
ἀρετῆς πρὸς ἐμὲ λέγεις· ὃς πρῶτον μὲν ϗκ οἶσθα ὅ-
πως ἔδει μάχεσθαι, ἀλλ' ὥσπερ ὗς ἄγριος ὀργῇ φερό-
μενος, τάχ' ἂν ἀποκτενεῖς σεαυτὸν, κακῷ περιπεσών τῳ·
ϗκ οἶσθα, ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν ἔστ' ὑφ' αὑτοῦ χρὴ, 4
ἔστ' ὑφ' ἑτέρου, ἔστ' ὑπὸ τῶν πολεμίων κακὸν ἔστ' ὀτιοῦν
πάσχειν; σὺ δὲ, ὥσπερ οἱ παῖδες, χαίρεις, ὅτι σέ φασιν οἵ-
δε ἀνδρεῖον εἶναι· ἐγὼ δὲ δειλότατόν γε ἁπάντων τε ϗ δε- 5
διότα τὸν θάνατον μάλισα· ὅσις γε πρῶτον ὅπλα ἔχεις ἄρ-
ρηκτα ϗ ἄτρωτα, δι' ἅπερ σέ φασιν ϗ τρωτὸν εἶναι· καίτοι
τί ἂν δράσαις, εἴ τις σοὶ τῶν πολεμίων τοιαῦτα ὅπλα ἔ-
χων προσέλθοι; ἦπου καλόν τι ϗ θαυμασὸν ἂν εἴη, εἰ μη-
δὲ ἕτερος ὑμῶν μηδὲν δράσαι δύναιτο!

(3) Οὗτι μετὰ πάντων] γραπτέον, ὅτι δέ· ἢ ὅτε δὲ, προσθέντας τὸν, Δέ· εἰδὲ μή, γραπτέον ἄλλως ὡδί· σὺ δὲ, εἴτι φανερῶς ἐμόχθης ϗ μάτην, ἡλίθιος ἦσθα, ὅτι, μετὰ πάντων τούτων δράσας, οἴει βελτίων εἶναι· καίτοι ϗ ἕτω οἱ ἀντίχρισμοι λυμαίνονται τῷ λόγῳ τὸν νοῦν.

γ'. Εἶπειτα οἴει τὶ διαφέρειν τοιαῦτα ὅπλα ἔχων, ἢ ἐντὸς τείχους καθῆσθαι; ᾗ σοὶ μόνῳ δὴ τεῖχος ἂν ἔειν, ὡς σὺ φής· μόνος μὲν ἓν σύγε ἐπταβόειον περιέρχη τεῖχος προβαλλόμενος ἑαυτῷ· Ἐγὼ δὲ ἄοπλος ἃ πρὸς τὰ τείχη τῶν πολεμίων, ἀλλ' εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη· ᾗ τῶν πολεμίων τὺς φύλακας ἐγρηγορότας αἰτοῖς ὅπλοισιν αἱρῶ· ᾗ εἰμὶ στρατηγὸς ᾗ φύλαξ ᾗ σῶ ᾗ τῶν ἄλλων ἁπάντων, ᾗ οἶδα τά τε ἐνθάδε ᾗ τὰ ἐν τοῖς πολεμίοις· ἐχὶ πέμπων κατασκεψόμενον ἄλλον· ἀλλ' αὐτὸς, ὥσπερ οἱ κυβερνῆται τὴν νύκτα ᾗ τὴν ἡμέραν σκοπῆσιν, ὅπως σώσωσι τὺς ναύτας, ἅτω δὴ ᾗ ἔγωγε καί σε ᾗ τὺς ἄλλυς ἅπαντας σώζω· ἐδ' ἔστιν ὅντινα κίνδυνον ἔφυγον, αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τὺς πολεμίυς κακόν τι δράσειν· ἐδ' εἰ μὲν ὄψεσθαί με τινὲς ἔμελλον, γλιχόμενος ἂν τῶ δοκεῖν ἐτόλμων· ἀλλ' εἴτε δῶλος, εἴτε πτωχὸς ᾗ μαιγίας ὢν, μέλλοιμι τὺς πολεμίυς κακόν τι δράσειν, ἐπεχείρων ἄν, ᾗ εἰ μηδεὶς ὁρᾴη· ἐ γὰρ δοκεῖν ὁ πόλεμος, ἀλλὰ δρᾶν ἀεὶ ᾗ ἐν ἡμέρᾳ ᾗ ἐν νυκτὶ φιλεῖτι· ἐδὲ ὅπλα ἔσι μοι τεταγμένα, ἐν οἷς προκαλῶμαι τοῖς πολεμίοις μάχεσθαι, ἀλλ' ὅντινα ἐθέλοι τις τρόπον, ᾗ πρὸς ἕνα ᾗ πρὸς πολλὺς ἕτοιμός εἰμ' ἀεί· ἐδ' ἡνίκα κάμνω μαχόμενος, ὥσπερ σὺ, τὰ ὅπλα ἑτέροις παραδίδωμι, ἀλλ' ὁπότ' ἂν ἀναπαύωνται οἱ πολέμιοι, τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων τοιαῦτα ὅπλα, ἃ ἐκείνυς βλάψει μάλισα· ᾗ ἔτε νὺξ πώποτέ με ἀφείλετο, ὥσπερ σε πολλάκις μαχόμενον ἄσμενον πέπαυκεν· ἀλλ ἡνίκα ἂν ῥέγχῃς σὺ, τηνικαῦτα ἐγὼ σώζω σε, ᾗ τὺς πολεμίας

(3) Οὕτω δὴ ᾗ ἔγωγε] ἔτρεψα τὸ Δὲ εἰς τὸ Δή. (3) αἰσχρὸν (αὐτὸν τὸν κίνδυνον) ἡγησάμενος] ὐδένα τῶν κινδύνων ἐνόμισα αἰσχρὸν, ἐν ᾧ ἔμελλον βλάψειν τὺς πολεμίυς, ᾗ διὰ τῦτο ὐδένα ἀπέφυγον, ἀλλὰ ᾗ ἀνδρεία ἐκ τῦ φανερῦ ᾗ ἀπάτῃ ἐκ τῦ κρυπτῦ, ᾗ ψεύδει ἐκ λόγυ, ᾗ τῷ πανυ ἐπειρώμην βλάπτειν αὐτύς.

ἀεὶ κακόν τι ποιῶ, ἔχων τὰ δολοπρεπῆ ταῦτα ὅπλα ᾗ τὰ ῥάκη, ᾗ τὰς μάσιγας, δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις.

δ'. Σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρὸν, ἀνδρεῖος οἴει εἶναι; ὃν εἰ μὴ ἡδύνω φέρειν, δύο ἄνδρες ἂν ἐφερέτην· κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς πως ἂν ἡμῖν ἠμφισβήτων, κἀμοὶ μὲν ὁ αὐτὸς ἂν πρὸς αὐτὺς ἦν λόγος· σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς αὐτύς; ἢ δυοῖν μὲν ἐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι; ἐκ οἶσθ', ὅτι ᾗ τῷ νεκρῷ τοῖς Τρωσὶν, ἀλλὰ τῶν ὅπλων ἔμελεν ὅπως λάβοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς· τὺς γὰρ νεκρὺς ᾗ τοῖς ἐκ ἀναιρεμένοις αἰσχρὸν, ἀλλὰ τοῖς μὴ ἀποδιδῦσι, θάπτειν· σὺ μὲν ἓν τὰ ἕτοιμα ἐκόμισας, ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνυς· φθόνον δὲ ᾗ ἀμαθίαν νοσεῖς, κακῶν ἐναντιώτατα αὐτοῖς· ᾗ ὁ μὲν σε ἐπιθυμεῖν ποιεῖ τῶν καλῶν, ἡ δὲ ἀποτρέπει· ἀνθρώπινον μὲν ἓν τι πέπονθας· διὰ γὰρ τὸ εἶναι ἰσχυρὸς, οἴει ᾗ ἀνδρεῖος εἶναι· ἐκ οἶσθα, ὅτι σοφία περὶ πόλεμον ᾗ ἀνδρεία ἐ ταυτόν ἐσιν ἰχύσαι; ἀμαθία δὲ κακὸν μέγισον τοῖς ἔχυσιν· οἶμαι δὲ, ἄν ποτέ τις ἄρα σοφὸς ποιητὴς περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαντε ᾗ πολύμητιν ᾗ πολιμήχανον ᾗ πτολίπορθον, ᾗ μόνον τὴν Τροίαν ἑλόντα· σὲ δὲ, ὡς ἐγῷμαι, τὴν φύσιν ἀπεικάζων τοῖς τε νωθέσιν ὄνοις, ᾗ βυσὶ ταῖς φορβάσιν, ἄλλοις ὑπάρχυσι δεσμεύειν ᾗ ζευγνῦναι αὐτύς.

(3) Θάπτειν] τὸ γὰρ μὴ θάπτειν τὺς νεκρὺς τῦτο ἐκ αἰσχρὸν τοῖς μὴ ἀναιρεμένοις, ἀλλὰ τοῖς μὴ ἀποδῦσι θάπτειν. (4) τὰ ἕτοιμα ἐκόμισας] τὸ σῶμα τῦ Ἀχιλέως, ὃ ἐκεῖνοι ἦσαν ἕτοιμοι ἀποδῦναι· ἐγὼ δὲ τὰ ὅπλα, ἅπερ λαβόντων ἐκείνων, ὀνειδος ἦν ἡμῖν. (5) ἀ ταυτὸν] ὀβελισέον μοι δοκεῖ τὸ ἀρνητικόν. (6) σοφὸς ποιητὴς] εἴτι σοφὸς πεισήνορι περὶ ἀρετῆς· οἷος γέγονεν δηλονότι ὁ Ὅμηρος. (7) ἄλλοις ὑπάρχυσι] εἰμήτι ἐλλείπει ἕτερον, τρεπτέον τὸ, ὑπάρχυσιν, εἰς τὸ, ὑπέχυσιν, ἢ παρέχυσι.

ΑΛΚΙΔΑΜΑΝΤΟΣ

ΛΟΓΟΣ ΟΔΥΣΣΕΩΣ

ΚΑΤΑ ΠΑΛΑΜΗΔΟΥΣ ΠΡΟΔΟΣΙΑΣ.

1 α'. Πολλάκις ἤδη ἐνεθυμήθην ᾧ ἐθαύμασα, ὦ ἄνδρες Ἕλληνες, τὰς γνώμας τῶν λεγόντων, τί ποτε ἄρα βουλόμενοι, ῥᾳδίως δεῦρο παριόντες συμβουλεύουσιν ὑμῖν, ἀφ' ὧν ὠφέλεια μὲν οὐδεμία ἐσὶ τῷ κοινῷ, λοιδορίαι δὲ πλεῖσαι γίνονται ἐν ἀλλήλοις εἰκῇ· λόγους τε ἀναλίσκουσιν ἀκαίρους περὶ ὧν ἂν τύχωσι· λέγουσι δὲ τὴν αὑτῶν δόξαι ἕκαστος, βουλόμενοί τι λαβεῖν· οἱ δὲ, οὐ μισθὸν πραττόμενοι, συναγορεύουσι παρ' ὁποτέρων ἂν νομίζωσι πλείω λήψεσθαι· οὐ εἰ μέν τις ἐν τῷ στρατοπέδῳ πλημμελεῖ, ἢ βλάπτει τὸ κοινὸν, χρήματα ἑαυτῷ πορίζόμενος, τούτων 2 μὲν μηδένα τὸν φροντίζοντα εἶναι· εἰ δέ τις ἡμῶν αἰχμάλωτον ἀγαγὼν ἐκ τῶν πολεμίων, ἢ γέρας εἴληφε πλέον ἕτερος ἑτέρου, τούτων ἕνεκεν μεγάλας διαφορὰς ἐν ἡμῖν 3 αὐτοῖς ἔχομεν, διὰ τὰς τούτων σπουδάς· ἐγὼ δὲ ἡγοῦμαι τὸν ἄνδρα τὸν ἀγαθὸν οὐ δίκαιον μήτε ἔχθρας ἰδίας φροντίζειν, μήτε ἰδίᾳ φιλεταιρίᾳ χρησάμενον, ἕνεκα ἀνδρὸς ἑνὸς χρήματα περὶ πλείονος ποιήσασθαι, οὐ μὴ ὅ, τι ἂν μέλλῃ τῷ πλήθει συνοίσειν· οὐ μὲν δὴ ἀλλὰ παραλιπὼν τοὺς ἀρχαίους πόνους τε οὐ λόγους, πειράσομαι Παλαμήδη τόνδε ἐν ὑμῖν εἰς κρίσιν δικαίως καταστῆσαι.

1 β'. Ἔσι δὲ τὸ πρᾶγμα ὡς ἂν εἰδῆτε προδοσία· ἐφ' ᾗ δεκαπλασία τῶν ἄλλων ζημία ἐσὶν ἐπικειμένη· καίτοι, ὡς ὑμεῖς ἴσε πάντες, ἐμοὶ οὐ τούτῳ οὐδεμία πώποτε ἔχθρα οὐδ' ἔρις ἐγένετο περὶ οὐδενὸς πράγματος· οὐ μὴν οὐδ' ἐν παλαίσρᾳ, οὐδ' ἐν συμποσίῳ, ἔνθα φιλεῖ ἔριδας πλείσας 2 οὐ λοιδορίας γίνεσθαι· ὁ δὲ ἀνὴρ ἐσὶ φιλόσοφός τε οὐ δεινὸς, ἃ μέλλω κατηγορεῖν· ὥσε εἰκότως τὸν νοῦν προσέχειν ὑμᾶς, καὶ μὴ ἀμελῆσαι περὶ τῶν νυνὶ λεγομένων· σχεδὸν γὰρ ἴσε οὐ αὐτοὶ, ἐν οἵῳ κινδύνῳ ἐγενόμεθα, ὅτε ἡμῶν οἱ μὲν εἰς τὰς ναῦς καταπεφευγότες ἦσαν, οἱ δὲ εἰς τὰς τάφρους ἐνέπιπτον, εἴς τε τὰς σκηνὰς οἱ πολέμιοι· πᾶσά τε ἀπορία ἦν, πᾷ ποτε προβήσοιτο ἡ τοῦ μέλλοντος κακοῦ τελευτή· ὡς δ' ὑμῖν ἐτυγχάνομεν πλησίον τῶν πυλῶν ἐν τῷ αὐτῷ συντασσόμενοι ἐγώτε οὐ Διομήδης, πλησίον δ' ἦν Παλαμήδης οὐ Πολυποίτης, συνιόντων δὲ ἡμῶν ὁμόσε τοῖς ἀνδράσιν, ἐκδραμὼν τοξότης ἐκ τῶν πολεμίων ἐσοχάσατο τούτου· ἁμαρτὼν δὲ αὐτοῦ, βάλλει ἐγγὺς ἐμοῦ, ἔτός τε λόγχην ἀφίησιν ἐπ' αὐτόν· οὐ ἐκεῖνος ἀνελόμενος ᾤχετο εἰς τὸ στρατόπεδον· ἐγὼ δὲ ἀνελὼν τὸν οἰκεῖον, δίδωμι Εὐρυβάτῃ δοῦναι Τεύκρῳ, ἵνα χρῷτο· ἀνοχῆς δὲ γενομένης ἀπὸ τῆς μάχης ὀλίγον χρόνον, δείκνυσί μοι τὸν οἰκεῖον ὑπὸ τοῖς πτεροῖς γράμματα ἔχοντα· ἐκπλαγεὶς δὲ ἐγὼ τῷ πράγματι, προσκαλεσάμενος Σθένελόν τε οὐ Διομήδην, ἐδείκνυον αὐτοῖς τὰ ἐνόντα· ἡ δὲ γραφὴ ἐδήλου τάδε· Ἀλέξανδρος Παλαμήδει· ὅσα συνέθου Τηλέφῳ πάντα σοι ἔσαι· ὅ, τε πατὴρ Κασάνδραν γυναῖκα δίδωσί σοι, ὥσπερ ἐπέσειλας· ἀλλὰ τὰ ἀπόσα, πραττέσθω διὰ τάχους· Ἐνεγέγραπτο μὲν ταῦτα· καίμοι προσελθόντες μαρτυρήσατε οἱ λαβόντες τὸ τόξευμα.

γ'. Ἐπέδειξα ἂν οὐ αὐτὸ τὸ τόξευμα ὑμῖν, ὡς ἀληθὲς ἦν· νῦν δὲ ἐν τῷ θορύβῳ ἔλαθεν αὐτὸ Τεῦκρος ἀπολέσας· ἔδει δέ με οὐ τὰ λοιπὰ διελθεῖν ὡς ἔχει, μὴ δόξωμεν ἀδίκως ἄνδρα σύμμαχον περὶ θανάτου κρίνειν αἰσχίσην αἰτίαν προσιθέντες· οὐ ταῦτα, πρότερον ἐν ὑμῖν εὐδοκιμηκότα· ἡμεῖς μὲν γὰρ πρὶν ἐμβαλεῖν δοῦρα, πολὺν χρόνον ἐν ταὐτῷ ἐγενόμεθα, οὐ οὐδεὶς ἡμῶν εἶδε τοῦτον ἕ-

χοντα σημεῖον ἐν τῇ ἀσπίδι· ἐπειδὴ δὲ κατεπλεύσαμεν
4 δεῦρο, τριαιναν ἐπεγράψατο· τίνος ἕνεκα; ἵνα δῆλος εἴη
τῷ ἐπιγράμματι, ὅταν ἀντιτεταγμένος τέτον τοξεύσι, διὰ
τὸ σύνθημα, ἕτός τε εἰς ἐκεῖνον εἰσακοντίζοι· τεκμαί-
ρεσθαι δεῖ καὶ ἐκ τέτων εἰκότως τὴν ἄφεσιν τῆς λόγχης·
φημὶ γὰρ καὶ ἐν ἐκείνῃ γράμματα εἶναι, πηνικάδε καὶ πότε
5 προδώσει· πιστὰ γὰρ ἦν ἅτω παρ' ἀλλήλων τὰ πεμπόμε-
να· ἕτός τε ἐκείνοις, καὶ ἐκεῖνοι τέτῳ πέμποντες διὰ τοιά-
6 τε εἴδες καὶ μὴ δι' ἀγγέλων· ἔτι δὲ καὶ τόδε σκεψώμεθα·
ψήφισμα ἡμῖν ἐγένετο, ὃς ἂν βέλος τὶ λάβῃ ἐκ τῶν πο-
λεμίων, ἀποφέρειν πρὸς τὲς ἡγεμόνας, διὰ τὸ σπανίως
αὐτοῖς χρήσασθαι ἡμᾶς· καὶ οἱ μὲν ἄλλοι πειθαρχέσι τοῖς
ἐψηφισμένοις, αὐτὸς δὲ βέλη ἀνελόμενος πέντε τοξεύειν,
7 φανερός ἐσιν ὢδὲ ἓν πρὸς ὑμᾶς ἐννοχώς· ὥσε καὶ διὰ ταῦ-
τα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι· ἄρα γε ἐν-
θυμεῖσθε, ὦ ἄνδρες Ἕλληνες, ταῦτά τε σοφῆς τῆς δια-
νοίας καὶ τε φρονήματος αὐτε τυγχάνειν φιλοσόφων· ἐφ-
8 οἷς ἤκισα ἐχρῆν αὐτὸν ταῦτα πράττειν· τέτε τὰ πρά-
γματα τὰ νῦν παρεσηκότα γενέσθαι καὶ τὴν σρατιὰν ἅπα-
σαν, ἐπιδείξω αἴτιον γεγονότα ἡμῖν τόντε πατέρα αὐτε
καὶ τέτον αὐτόν· ἀνάγκη δὲ διὰ μακροτέρων λόγων ῥηθῆ-
ναι τὰ γενόμενα.

1 δ'. Τέτῳ πατήρ ἐσι πένης, ὄνομα Ναύπλιος, τέχνην

(5) Οὗτός τε ἐκείνοις] πιστὸς ἦν πέμπων, κακεῖνοι ὁμοίως τέτῳ· εἰμήτι-γραπτέον, ἃ ἕτός τε ἐκείνοις καὶ τὰ λπ. (6) αὐτὸς δὲ — τοξεύειν ἐκ τῆ τοξεύειν· εἰδὲ μὴ, γραπτέον ἅτω· πίντε τοξεύων φανερός ἐσιν· ὢδὲν δὲ πρὸς ὑμᾶς ἐννοχώς. (7) ταῦτα τοῦ σοφοῦ — φιλοσόφων] λαμπρῶς διέφθαρται· πειρατέον οὖν, ὡς οἷόντι, διορθοῦν οὑτωσί· ἄραγε ἐνθυμεῖσθε ταῦτα τῆς διανοίας τοῦ σοφοῦ (ἴδια εἶναι) καὶ τοῦ φρονήματος αὐτοῦ, ὃς τυγχάνει τοιαῦτα φιλοσοφῶν, ἐφ' οἷς ἤκισα καὶ τλ. (8) τοῦτε τὰ πράγματα] γραπτέον, τοῦ γὰρ τὰ πράγματα τὰ νῦν περιεσηκότα γενέσθαι καὶ τὴν σρατιὰν ἅπασαν ἐν κινδύνῳ.

(1) Ναύπλιος] ἴδε Δίωνα Χρυσ. Εὐβοϊκῷ· ιβ'. ἐμὴ ἐκδόσει.

ἔχων ἀλείαν· ἕτος πλείσες τῶν Ἑλλήνων ἠφάνικε, χρή-
ματά τε πολλὰ ἐκ τῶν νεῶν ὑφήρηκε· κακά τε πλεῖσα
τὲς ναυτίλες ἔργασαι, πανεργίας τε ἐδεμιᾶς λείπεται·
γνώσεσθε δὲ προϊόντος τῦ λόγε, ἀκέσαντες μετὰ ἀλη- 2
θείας τῶν τότε γενομένων· Ἄλεῳ γὰρ τῷ Τεγίας βα-
σιλεῖ ἀφικομένῳ εἰς Δελφὲς, ἐχρήσθη ὑπὸ τε θεε, ὅτι
αὐτῷ ἔκγονος ὑπὸ τῆς θυγατρὸς εἰ γένοιτο, ὑπὸ τέτε
δεῖ τὲς υἱεῖς αὐτε ἀπολέσθαι· ἀκέσας δὲ ταῦτα ὁ Ἄλεως, 3
διὰ τάχες ἀφικνεῖται οἴκαδε, καὶ καθίσησι τὴν θυγατέρα
ἱέρειαν τῆς Ἀθηνᾶς, εἰπὼν εἴ ποτε ἀνδρὶ συγγενήσεται,
θανατώσειν αὐτήν· τύχης δὲ γενομένης ἀφικνεῖται Ἡρα-
κλῆς σρατευόμενος ἐπ' Αὐγείαν εἰς Ἦλιν, καὶ αὐτὸν ξε-
νίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς· ἰδὼν δὲ ὁ Ἡρα- 4
κλῆς τὴν παῖδα ἐν τῷ νεῷ, ὑπὸ μέθης συνεγένετο· ἐπεὶ
δὲ κύσαν αὐτὴν ἤθετο ὁ πατὴρ Ἄλεως, μεταπέμπεται
τὸν τέτε πατέρα, πυθόμενος πορθμέα τε αὐτὸν εἶναι καὶ
δεινόν· ἀφικομένε δὲ τοῦ Ναυπλίε, δίδωσιν αὐτῷ τὴν 5
παῖδα καταπονήσαι· ὁ δὲ παραλαβὼν ἦγεν αὐτήν· καὶ ὡς
γίνονται ἐν τῷ Παρθενίῳ ὄρει, τίκτει Τήλεφον· ἀμελή- 6
σας δὲ ὧν Ἄλεως αὐτῷ ἐπέσειλεν, ἄγων αὐτὴν ἀπέδοτο
τὸ παιδίον εἰς Μυσίαν Τεύθραντι τῷ βασιλεῖ· ὁ δὲ Τεύ-
θρας ἄπαις ὢν, τὴν μὲν Αὔγην γυναῖκα ποιεῖται, τὸν
δὲ παῖδα αὐτῆς ἐπονομάσας Τήλεφον, τίθεται υἱὸν ἑαυ- 7
τῷ· δίδωσίτε αὐτὸν Πριάμῳ εἰς τὸ Ἴλιον παιδεῦσαι·
χρόνῳ δὲ προϊόντος, Ἀλέξανδρος ἐπεθύμησεν εἰς τὴν
Ἑλλάδα ἀφικέσθαι, τό, τε ἐν Δελφοῖς ἱερὸν θεωρῆσαι
βελόμενος, ἅμα δὲ καὶ τὸ κάλλος τῆς Ἑλένης ἀκούων δη-
λονότι· καὶ τὴν τε Τηλέφε γέννησιν ἀκηκοὼς, ὁπόθεν τε 8
εἴη, καὶ τίνα τόπον, καὶ ὑπὸ τίνος ἐπράθη· ὥσε Ἀλέξαν-

(6) ἅπαις ὢν] οὕτως ἔγραψα εἰκασίᾳ Ῥείσκε, ἀντὶ τοῦ ἀπιδών· ὁμοίως δὲ καὶ κατωτέρω μικρὸν, εἰς τὸ Ἴλιον, ἀντὶ τοῦ, εἰς τὸ ὀλίγον.

δρος ἔτος τὴν ἀποδημίαν ἐποιεῖτο διὰ προφάσεις τοιαύτας εἰς τὴν Ἑλλάδα.

1 ε. Ἐν δὲ τῷ καιρῷ τούτῳ οἱ Μόλοσσοι παῖδες ἀφικνοῦνται ἐκ Κρήτης, δεόμενοι Μενελάου αὐτὸς διαλλάξαι, καὶ διελεῖν τὴν κτῆσιν αὐτοῖς, ὅτι εἴη ὁ πατὴρ τετελευτηκώς, αὐτοί τε σασιάζοιεν περὶ τῶν πατρῴων χρημάτων· εἶεν· 2 τί ἂν γίνεται; πλεῖν αὐτῷ ἔδοξε· καὶ ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμελεῖσθαι τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως ἂν αὐτὸς ἔλθῃ ἐκ Κρήτης, ὁ 3 μὲν ᾤχετο· Ἀλέξανδρος δὲ αὐτοῦ τὴν γυναῖκα ἐξαπατήσας, καὶ λαβὼν ἐκ τῶν οἴκων ἃ πλεῖστα ἐδύνατο, ἀποπλέων ᾤχετο· ἀκ αἰδεσθεὶς ἔτε Δία ξένιον, ἔτε θεῶν ἀθέναι, ἄνομα καὶ βάρβαρα ἔργα διαπραξάμενος, ἄπιστα 4 πᾶσι καὶ τοῖς ἐπιγινομένοις ἀκοῦσαι· ἀφικομένου δὲ αὐτοῦ πάλιν εἰς Ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα, ἔσιν ὅπου ἀντελάβου τινὸς, ἢ βοῇ ἐσήμηνας τοῖς περιοίκοις ἢ βοήθειαν συνέλαξας; ἀκ ἂν ἔχοις εἰπεῖν· ἀλλὰ περιεῖδες Ἕλληνας ὑπὸ βαρβάρων ὑβριωθέντας· ἐπεὶ δ' ἐπύθοντο οἱ Ἕλληνες τὴν ἁρπαγὴν, καὶ Μενέλεως ἤθετο, ἤγειρε τὴν στρατιὰν, καὶ διέπεμπεν ἡμῶν ἄλλον ἄλλοσε εἰς 6 τὰς πόλεις αἰτήσοντας στρατόν· καὶ δὴ τοῦτον ἔπεμψεν εἰς Χίον πρὸς Οἰνοπίωνα, καὶ εἰς Κύπρον, πρὸς Κινύραν· ὁ δὲ Κινύρας τε ἔπεισε μὴ συστρατεύειν ἡμῖν, δῶρά τε παρ' αὐτοῦ λαβὼν, ἀποπλέων ᾤχετο· καὶ Ἀγαμέμνονι μὲν ἀποδίδωσι χαλκοῦν θώρακα, ὅσις ἐδενὸς ἄξιος ἦν, 7 αὐτὸς δὲ τὰ ἄλλα εἶχε χρήματα· ἀπηγγέλετο δὲ, ὅτι ἑκατὸν ναῦς ἀποπέμψει ὁ Κινύρας, ὁρᾶτε δὲ αὐτοὶ ἐδεμίαν παρ' αὐτοῦ ἥκουσαν· ὥσε καὶ διὰ ταῦτα δικαίως ἄν μοι 8 δοκεῖ θανάτῳ ζημιωθῆναι· ἄξιον γὰρ κολάσαι τὸν σοφισὴν, ὃς ἐπὶ τοῖς φίλοις τὰ αἴσχιστα μηχανώμενος πέ-

(8) διὰ προφάσεις τοιαύτας] οὕτως ἀντὶ τοῦ, διὰ προφάσεως τοιαύτης.

φανται· ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικειρήκειν ἐξατατῶν τὸς νέος καὶ παραπείθων, φάσκων ἐξευρηκέναι τάξεις πολεμικὰς, γράμματα, ἀριθμὸς, μέτρα, σταθμὸς, πεττὸς, κύβος, μουσικὴν, νόμισμα, πυρσός· καὶ ἁδὲ αἰσχύνεται, ὅταν αὐτίκα ἐλέγχηται φανερῶς ἐν ὑμῖν ψευδόμενος.

ς'. Νέσωρ γὰρ ὁ πρεσβύτατος ἡμῶν ἁπάντων, καὶ αὐτὸς ἐν τοῖς Πειρίθου γάμοις μετὰ Λαπιθῶν ἐμαχέσατο Κενταύροις ἐν φάλαγγι καὶ ἐν τάξει· Μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τάξεις, καὶ λόχους, καὶ φάλαγγας συσῆσαι, ἡνίκα Εὔμολπος ὁ Ποσειδῶνος ἐπ' Ἀθηνίους ἐστράτευσε Θρᾴκας ἄγων· ὥσε οὐ Παλαμήδους τὸ ἐξεύρημά ἐσιν, ἀλλ' ἄλλων πρότερον· γράμματα μέν γε πρῶτος Ὀρφεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ τὰ ἐπὶ τῷ μνήματι αὐτοῦ δηλοῖ ἐπιγράμματα,

Μουσάων πρόπολον τῆδ' Ὀρφέα Θρῆκες ἔθηκαν,
Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.
Οἰάγρου φίλον υἱὸν, ὃς Ἡρακλῆν ἐδίδαξεν,
Εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

Μουσικὴν δὲ Τέννος ὁ Καλλιόπης, ὃν Ἡρακλῆς φονεύει· ἀριθμός γε μὴν Μουσαῖος ὁ τῶν Εὐμολπιδῶν, Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ.

Ὄρθιον ἑξαμερὲς, τετόρων καὶ εἴκοσι μέτρων,
Ὡς δεκάτην γενεὴν ἑκατὸν βίον ἄνδρας.

Νομίσματα δὲ οἱ Φοίνικες ἐξεῦρον, λογικώτατοι καὶ δεινότατοι ὄντες τῶν βαρβάρων· ἐξ ὁλοσφύρου γὰρ ἴσον με-

(4) Ὡς δεκάτην γενεὴν] διέφθαρται τὸ μέτρον· κἀντεῦθεν καὶ ὁ νοῦς. (5) ἐξ ὁλοσφύρου] τοῦτο δὲ, εἶμαι, βούλεται εἰπεῖν, ὅτι οἱ Φοίνικες πρῶτοι λαβόντες μέταλλον, καὶ σφυρηλατήσαντες αὐτὸ εἰς ποσὸν ἦν, εἶτα διελόντες εἰς ἴσα μέρη, καὶ ἐπιθέντες σφράγισμά τι, ἐποίησαν τοῦτο νόμισμα· ἡ δὲ λέξις διορθωτέα ἂν εἴη οὕτω· ἐξ ὁλοσφύρου γὰρ ἴσον μερισμὸν διελόντες, πρῶτοι χαρακτῆρα ἔβαλον κατὰ τὸν σταθμὸν τὸ πλέον, καὶ τὸ ἔλαττον· ὅ ἐσι, τοῦτο πλέον, καὶ τοῦτο ἔλαττον. (5) παρ' ὧν] ἴσως περὶ ὧν.

ρισμὸν διείλοντο, πρῶτοι χαρακτῆρα ἔβαλλον· εἰς τὸν
σαθμὸν τὸ πλέον ϗ τὸ ἔλαττον· παρ' ὧν οὗτος ἐλθὼν
6 σοφίζεται τὸν αὐτὸν ῥυθμόν· ὥσε αὐτῷ πάντα πρεσβύτερα
φαίνεται, ὧν ἕτος προσποιεῖται εὑρετὴς εἶναι· μέτρα δὲ
ϗ σαθμὰ ἐξεῦρε, καπήλοις ϗ ἀγοραίοις ἀνθρώποις ἀπά-
7 τας ϗ ἐπιορκίας· πεττός γε μήν, τοῖς ἀργοῖς τῶν ἀν-
δρῶν ἔριδας ϗ λοιδορίας· ϗ κύβος αὖ μέγιστον κακὸν ἐδί-
δαξε· τοῖς μὲν ἡττηθεῖσι, λύπας ϗ ζημίας· τοῖς δὲ νι-
8 κῶσι, καταγέλωτα ϗ ὄνειδος· τὰ γὰρ ἀπὸ κύβων προσ-
γινόμενα, ἀνόνητα γίνεται, τὰ δὲ πλεῖσα καταναλίσκε-
ται παραχρῆμα· πυρσὸς αὖ ἐσοφίσατο, ἀλλ' ἐφ' ἡμετέ-
ρῳ κακῷ, ἃ διενοεῖτο ποιεῖν, χρήσιμα δὲ τοῖς πολεμίοις·
9 ἀρετὴ δέ ἐσιν ἀνδρὸς, τοῖς ἡγεμόσι προσέχειν, ϗ τὸ
προσαττόμενον ποιεῖν, καὶ τῷ πλήθει ἀρέσκειν παντί·
αὐτόν τε παρέχειν ἄνδρα πανταχῆ ἀγαθὸν, τούς τε φίλους
εὖ ποιοῦντα, ϗ τοὺς ἐχθροὺς κακῶς· ὧν τἀναντία πάντων
ἕτος ἐπίσαται, τοὺς μὲν ἐχθροὺς ὠφελεῖν, τοὺς δὲ φίλους
κακῶς ποιεῖν.

1 ζ'. Ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ σκεψαμένους βουλεύ-
σασθαι περὶ αὐτῆς, ϗ μὴ ἀφεῖναι αὐτὸ ὑποχείριον λαβόν-
2 τας· εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν δεινότητα τῶν
λόγων ἀφήσετε, θαυμασὴ παρανομία γενήσεται ἐν τῷ
3 στρατεύματι· εἰδὼς γὰρ αὐτῶν ἕκαστος, ὅτι ϗ Παλαμήδης
περιφανῶς, τοσαῦτα ἡμαρτηκὼς ὠδεμίαν δίκην ἔδωκε, ϗ
4 αὐτοὶ πειράσονται ἀδικεῖν· ὥσε ἐὰν νῦν ἔχητε, ψηφιεῖσθε
τὰ βέλτισα ὑμῖν αὐτοῖς, ϗ τῶν λοιπῶν ἕνεκεν παράδειγ-
μα ποιήσεσθε, τοῦτον τιμωρησάμενοι.

ΑΛΚΙΔΑΜΑΝΤΟΣ,

ΠΕΡΙ ΤΩΝ ΤΟΥΣ ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΑΦΟΝΤΩΝ, Η ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ.

α'. Ἐπειδή τινες τῶν καλουμένων σοφιστῶν, ἱστορίας 1
μὲν ϗ παιδείας ἠμελήκασι, ϗ τοῦ δύνασθαι λέγειν, ὁ-
μοίως τοῖς ἰδιώταις, ἀπείρως ἔχουσι, γράφειν δὲ μεμε-
λετηκότες λόγους, ϗ διὰ βιβλίων δεικνύντες τὴν αὐτῶν 2
σοφίαν, σεμνύνονται, ϗ μεγαφρονοῦσι, πολλοστὸν μέρος
τῆς ῥητορικῆς κεκτημένοι δυνάμεως, ὅλης τῆς τέχνης
ἀμφισβητοῦσι· διὰ ταύτην τὴν αἰτίαν ἐπιχειρήσω κατη-
γορίαν ποιήσασθαι τῶν γραπτῶν λόγων· οὐχ ὡς ἀλλο- 3
τρίαν ἐμαυτοῦ τὴν δύναμιν αὐτῶν ἡγούμενος, ἀλλ' ὡς ἐφ'
ἑτέροις μεῖζον φρονῶν, ϗ τὸ γράφειν ἐν παρέργῳ τοῦ με-
λετᾶν οἰόμενος χρῆναι, ϗ τοὺς ἐπ' αὐτὸ τὸν βίον καταναλ-
λίσκοντας, ἀπολελεῖφθαι πολὺ ϗ ῥητορικῆς ϗ φιλοσο-
φίας ὑπειληφὼς, ϗ πολὺ δικαιότερον ἂν ποιητὰς, ἢ σο-
φιστὰς προσαγορεύεσθαι νομίζων.

β'. Πρῶτον μὲν ὃν ἐντεῦθεν ἄν τις καταφρονήσειε τοῦ 1
γράφειν, ἐξ ὧν ἐσιν εὐεπίθετον, ϗ ῥᾴδιον, ϗ τῇ τυχού-
σῃ φύσει πρόχειρον· εἰπεῖν μὲν γὰρ ἐκ τοῦ παραχρῆμα 2
περὶ τοῦ παρατυχόντος ἐπιεικῶς, ϗ ταχεῖα χρήσασθαι
τῶν ἐνθυμημάτων ϗ τῶν ὀνομάτων εὐπορία, ϗ τῷ καιρῷ
τῶν πραγμάτων, ϗ ταῖς ἐπιθυμίαις τῶν ἀνθρώπων εὐσό-
χως ἀκολουθῆσαι, ϗ τὸν προσήκοντα λόγον εἰπεῖν, ἔτε
φύσεως ἁπάσης, ἔτε παιδείας, τῆς τυχούσης ἐσίν· ἐν 3

(1) Καὶ διὰ βιβλίων] οὕτω διώρθωσε Ῥεῖσκης ἀντὶ τοῦ, διὰ βεβαίων· ἀλλ' οὐκ οἶδ' εἰ ὀρθῶς ἔχει ἡ διόρθωσις· τυχὸν γὰρ ἐννοεῖ ὁ ῥήτωρ βέβαιον τὸν γραπτὸν λόγον ὡς ἀμεταχίνητον, ϗ ἐσαεὶ ἐσόμενον, τοῦ προφερομένου ἀβεβαίου ὄντος ϗ πτερωτοῦ. (3) τὸ γράφειν — χρῆναι] γραπτέον οἶμαι· τῷ γράφειν — χρῆσθαι· ἢ ἀντὶ τοῦ, χρῆναι, εἶναι.

πολλῷ δὲ χρόνῳ γράψαι ἂν, καὶ κατὰ σχολὴν ἐπανορθῶσαι, παραθέμενον τὰ τῶν προγεγονότων σοφιστῶν συγγράμματα, πολλαχόθεν εἰς τὰ αὐτῶν ἐνθυμήματα συναγεῖραι, καὶ μιμήσασθαι τὰς τῶν εὖ λεγομένων ἐπιτυχίας, καὶ τὰ μὲν ἐκ τῆς τῶν ἰδιωτῶν συμβολίας ἐπανορθώσασθαι, τὰ δὲ αὐτὸν ἐν ἑαυτῷ πολλάκις ἐπισκεψάμενον, ἀνακαθάραι, καὶ μεταγράψαι, καὶ τοῖς ἀπαιδεύτοις ῥᾴδιον πέφυκεν· ἔστι δ' ἅπαντα τὰ μὲν ἀγαθὰ καὶ καλὰ, σπάνια καὶ χαλεπὰ, καὶ διὰ πόνων εἰωθότα γίγνεσθαι· τὰ δὲ ταπεινὰ καὶ φαῦλα, ῥᾳδίαν ἔχει κτῆσιν· ὥς', ἐπειδὴ τὸ γράφειν τῷ λέγειν ἑτοιμότερον ἡμῖν ἐστιν, εἰκότως ἂν αὐτῷ καὶ τὴν κτῆσιν ἐλάττονος ἀξίαν νομίζοιμεν· ἔπειτα τοῖς μὲν λέγειν δεινοῖς, ἐδεὶς ἂν φρονῶν ἀπιστήσειεν· ὡς ἐμικρὸν τὴν τῆς ψυχῆς ἕξιν μεταρυθμίσαντες, ἐπιεικῶς λογογραφήσουσι· τοῖς δὲ γράφειν ἠσκημένοις, ἐδεὶς ἂν πιστεύσειεν, ὡς ἐπὶ τῆς αὐτῆς δυνάμεως καὶ λέγειν οἱοί τε ἔσονται· τοὺς μὲν γὰρ τὰ χαλεπὰ τῶν ἔργων ἐπιτελοῦντας, εἰκὸς, ὅταν ἐπὶ τὰ ῥᾴω τὴν γνώμην μεταθήσωσιν, εὐπόρως μεταχειρίσασθαι τὴν τῶν πραγμάτων ἀπεργασίαν· τοῖς δὲ τὰ ῥᾴδια γεγυμνασμένοις, ἀντίτυπος καὶ προσάντης ἡ τῶν χαλεπωτέρων ἐπιμέλεια καθίσταται.

γ'. Γνοίη δ' ἄντις ἐκ τῶνδε τῶν παραδειγμάτων· ὁ μὲν γὰρ ἆραι μέγα φορτίον δυνάμενος, ἐπὶ τὰ κουφότερα μετελθὼν, ῥᾳδίως μεταχειρίσαιτ' ἄν· ὁ δὲ πρὸς τὰ κοῦφα τῇ δυνάμει διϊκνούμενος, οὐδὲν ἂν τῶν βαρυτέρων οἵός τε ἦ φέρειν· καὶ πάλιν ὁ μὲν ποδώκης δρομεὺς, ῥᾳδίως παρέπεσθαι τοῖς βραδυτέροις δύναιτ' ἄν· ὁ δὲ βραδὺς, οὐκ ἂν οἷός τε ἦ τοῖς θάσσοσιν ὁμοδρομεῖν· ἔτι δὲ πρὸς τούτοις ὁ μὲν τὰ πόρρω δυνάμενος ἐπισκόπως ἀκοντίζειν, ἦ τοξεύειν, ἦ τῶν ἐγγὺς τεύξεται ῥᾳδίως· ὁ δὲ τὰ πλησίον βάλλειν ἐπισάμενος, ὅπως δῆλον, εἰ καὶ τῶν πόρρω δυνήσεται τυγχάνειν· τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τοὺς λόγους· ὁ μὲν ἐκ τοῦ παραυτίκα καλῶς αὐτοῖς χρώμενος, οὐκ ἄδηλον, ὅτι μετὰ χρόνου καὶ σχολῆς, ἐν τῷ γράφειν διαφέρων ἔσαι λογοποιός· ὁ δ' ἐπὶ τοῦ γράφειν τὰς διατριβὰς ποιούμενος, οὐκ ἀφανὲς, ὅτι ἐπὶ τοὺς αὐτοσχεδιαστικοὺς λόγους, ἀπορίας καὶ πλάνου καὶ ταραχῆς ἕξει πλήρη τὴν γνώμην.

δ'. Ἡγοῦμαι δὲ τῷ βίῳ τῶν ἀνθρώπων τὸ μὲν λέγειν ἀεί τε, καὶ διαπαντὸς, χρήσιμον εἶναι· τοῦ δὲ γράφειν ὀλιγάκις εὔκαιρον τὴν δύναμιν αὐτοῦ καθίσασθαι· τίς γὰρ οὐκ οἶδεν, ὅτι λέγειν μὲν ἐκ τοῦ παραυτίκα καὶ δημηγοροῦσι καὶ δικαζομένοις, καὶ τὰς ἰδίας ὁμιλίας ποιοῦσιν, ἀναγκαῖόν ἐστι· καὶ πολλάκις ἀπροσδοκήτως καιροὶ πραγμάτων παραπίπτουσιν, ἐν οἷς οἱ μὲν σιωπῶντες εὐκαταφρόνητοι δόξουσιν εἶναι, τοὺς δὲ λέγοντας ὡς ἰσόθεον τὴν γνώμην ἔχοντας, ὑπὸ τῶν ἄλλων τιμωμένους ὁρῶμεν; ὅταν γὰρ νουθετῆσαι δεῖ τοὺς ἁμαρτάνοντας, ἢ παραμυθήσασθαι τοὺς δυσυχοῦντας ἢ παῦναι τοὺς θυμουμένους, ἢ τὰς ἐξαίφνης ἐπενεχθείσας αἰτίας ἀπολύσασθαι, τηνικαῦθ' ἡ τοῦ λέγειν δύναμις τῇ χρείᾳ τῶν ἀνθρώπων ἐπικουρεῖν οἵα τέ ἐστιν· ἡ δὲ γραφὴ σχολῆς δεῖται· καὶ μακροτέρους ποιεῖται τοὺς χρόνους καιρῶν· οἱ μὲν γὰρ ταχεῖαν τὴν ἐπικουρίαν ἐπὶ τῶν ἀγώνων ἀπαιτοῦσιν· ἡ δὲ κατὰ σχολὴν καὶ βραδέως ἐπιτελεῖ τοὺς λόγους· ὥστε τίς ἂν φρονῶν, ταύτην τὴν δύναμιν ζηλώσειεν, ἢ τῶν καιρῶν τοσοῦτον ὑπολείπεται; πῶς ἐ καταγέλαστον, εἰ τοῦ κήρυκος παρακαλοῦντος, τὶς ἀγορεύειν βέλεται τῶν πολιτῶν, τοῦ ὕδατος ἐν τοῖς δικα-

(1) Οὐδὲν ἂν — οἵός τε ἦ] οὐ καλῶς ἔχει τὸ ὑποτακτικὸν ἀντὶ Εὐκτικοῦ ἐκληφθέν· ὁμοίως δὲ καὶ κατωτέρω μικρὸν τὸ αὐτό· κακόζηλον γάρ.

(3) Τοὺς θυμουμένους] ὅτως ἔγραψα ἀντὶ τοῦ, τοὺς ἀπολυμένους, δόξαν τοῦτο ἔχ Ρ' εἴσκη. (3) τοὺς χρόνους τῶν καιρῶν] χρόνος μὲν τὸ διάστημα πάντοθεν καθ' ὃ γίνεταί τι· καιρὸς δὲ ἡ ἀκμὴ τοῦ χρόνου καθ' ἣν δεῖ γενέσθαι τὸ

σηρίοις ἤδη ῥέοντος, ἐπὶ τὸ γραμματεῖον ὁ ῥήτωρ πορεύοι-
6 το συνθήσων, ᾗ μαθησόμενος λόγον· ὡς ἀληθῶς γὰρ,
εἰ μὲν ἦμεν τύραννοι τῶν πόλεων, ἐφ ἡμῖν ἂν ἦν ᾗ δικα-
σήρια συλλέγειν, καὶ περὶ τῶν κοινῶν βουλεύεσθαι πραγ-
7 μάτων· ὥσε, ὁπότε γράψαιμεν τοὺς λόγους, τηνικαῦτα
τοὺς ἄλλους πολίτας ἐπὶ τὴν ἀκρόασιν παρακαλεῖν· ἐπεὶ δ'
ἕτεροι τούτων κύριοί εἰσιν, ἆρ' ἐκ εὐηθες ἡμᾶς ἄλλην τινα
8 ποιεῖσθαι μελέτην λόγων ἐναντίως ἔχουσαν ἀκριβῶς; εἰ
γὰρ οἱ τοῖς ὀνόμασιν ἐξειργασμένοι, ᾗ μᾶλλον ποιήμα-
σιν, ἢ λόγοις, ἐοικότες, ᾗ τὸ μὲν αὐτόματον ᾗ πλέον
ἀληθείαις ὅμοιον ἀποβεβληκότες, μετὰ παρασκευῆς δὲ
πεπλάσθαι καὶ συγκεῖσθαι δοκοῦντες, ἀπιστίας καὶ φθόνου
9 τὰς τῶν ἀκουόντων γνώμας ἐμπιμπλῶσι· (τεκμήριον δὲ μέ-
γιστον· οἱ γὰρ εἰς τὰ δικαστήρια τοὺς λόγους γράφοντες,
φεύγουσι τὰς ἀκριβείας, ᾗ μιμοῦνται τὰς τῶν αὐτοσχεδια-
ζόντων ἑρμηνείας, ᾗ τότε μάλιστα γράφειν δοκοῦσιν, ὅταν
10 ἥκιστα γεγραμμένοις ὁμοίους πορίσωνται λόγους·) ὁπότε
δὲ ᾗ τοῖς λογογράφοις τοῦτο πέρας τῆς ἐπιεικείας ἐστὶν,
ὅταν τοὺς αὐτοσχεδιάζοντας μιμήσωνται, πῶς ἀ χρὴ καὶ
τῆς παιδείας ἐκείνην μάλιστα τιμᾶν, ἀφ' ἧς πρὸς τοῦτο τὸ
γένος τῶν λόγων εὐπόρως ἔξομεν.

1 ε'. Οἶμαι δὲ ᾗ διὰ τοῦτ' ἄξιον εἶναι τοὺς γραπτοὺς λό-
γους ἀποδοκιμάζειν, ὅτι τὸν βίον τῶν μεταχειριζομένων
ἀνώμαλον καθιστᾶσι· περὶ πάντων μὲν γὰρ τῶν πραγ-
μάτων γεγραμμένους ἐπίστασθαι λόγους, ἔντι τῶν ἀδυνά-
2 των πέφυκεν· ἀνάγκη δέ ἐστιν, ὅταν τις τὰ μὲν αὐτοσχεδιά-

(4) οἱ μὲν γὰρ] οἱ μὲν γὰρ καιροί. (5) μαθησόμενος] ἀποσηθίουσιν· ἄμεινον δ' ἦν, ἐκμαθησόμενος. (8) εἰ γὰρ οἱ τοῖς ὀνόμασι — ἐμπιπλῶσι] ἡ ἀπόδοσις τάττει ἔσαι κατωτέρω πολλῷ μετὰ μακρὰν παρένθεσιν εἰς τὸ, πῶς ἀ χρή. (9) ᾗ τότε μάλιστα γράφειν δοκοῦσι] ἴσως γραπτέον, ᾗ τότε μάλιστα τἀληθῆ λέγειν δοκοῦσι· ἢ γᾶν, τἀληθῆ (ἢ ὀρθῶς, ἢ καλῶς, ἢ πιθανῶς) γράφειν δοκοῦσι.

ζῃ, τὰ δὲ τυποῖ, τὸν λόγον, ἀνόμοιον ὄντα, ψόγον τῷ
λέγοντι παρασκευάζειν. ᾗ τὰ μὲν, ὑποκρίσει ᾗ ῥαψῳδίᾳ
παραπλήσια δοκεῖν εἶναι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα φαί-
νεσθαι, παρὰ τὴν ἐκείνων ἀκρίβειαν· δεινὸν δ' ἔσι τὸν ἀν- 3
τιποιούμενον φιλοσοφίας τῆς τοῦ λέγειν, ᾗ παιδεύσειν ἑ-
τέρους ὑπιχνούμενον, ἂν μὲν ἔχῃ γραμματεῖον ἢ βιβλίον,
δεικνύναι δύνασθαι τὴν αὐτοῦ σοφίαν· ἂν δὲ τούτων ἄμοιρος
γένηται, μηθὲν τῶν ἀπαιδεύτων βελτίω καθεσάναι· ᾗ
χρόνῳ μὲν δοθέντος, δύνασθαι λόγον ἐξενεγκεῖν· εὐθέως 4
δὲ περὶ τοῦ προτεθέντος, ἀφωνότερον εἶναι τῶν ἰδιωτῶν·
ᾗ λόγων μὲν τέχνας ἐπαγγέλλεσθαι, τοῦ δὲ λέγειν μη-
δὲ μικρὰν δύναμιν ἔχοντα ἐν ἑαυτῷ φαίνεσθαι· ᾗ γὰρ ἡ
μελέτη τοῦ γράφειν, ἀπορίαν τοῦ λέγειν πλείσην παραδί-
δωσιν· ὅταν γάρ τις ἐθισθῇ κατὰ μικρὸν ἐξεργάζεσθαι 5
τοὺς λόγους, ᾗ μετὰ ἀκριβείας ᾗ ῥυθμοῦ τὰ ῥήματα συν-
τιθέναι, ᾗ βραδεία τῇ τῆς διανοίας κινήσει χρώμενος ἐ-
πιτελεῖν τὴν ἑρμηνείαν, ἀναγκαῖόν ἐσι, τοῦτον, ὅταν εἰς
τοὺς αὐτοσχεδιασοὺς ἔλθῃ λόγους, ἐναντία πράσοντα ταῖς
συνηθείαις, ἀπορίας ᾗ θορύβου πλήρη τὴν γνώμην ἔχειν, ᾗ
πρὸς ἅπαντα μὲν δυσχεραίνειν, μηδὲν δὲ διαφέρειν τῶν ἰσχνο-
φώνων· ᾗ δέποτε δ' εὐλύτῳ τῇ τῆς ψυχῆς ἀγχινοίᾳ χρώμενον 6
ὑγρῶς ᾗ φιλανθρώπως μεταχειρίζεσθαι τοὺς λόγους· ἀλλ' 7
ὥσπερ οἱ διὰ μακρῶν χρόνων ἐκ δεσμῶν λυθέντες ᾗ δύναν-
ται τοῖς ἄλλοις ὁμοίαν ποιήσασθαι τὴν ὁδοιπορίαν, ἀλλ' εἰς
ἐκεῖνα τὰ σχήματα ᾗ τοὺς ῥυθμοὺς ἀποφέρονται, μεθ' ὧν ᾗ
δεδεμένοις αὐτοῖς ἀναγκαῖον ἦν πορεύεσθαι, τὸν αὐτὸν τρό-
πον ἡ γραφὴ βραδείας τὰς διαβάσεις τῇ γνώμῃ παρα-
σκευάζουσα, ᾗ τοῦ λέγειν ἐν ἐναντίοις εὔθεσι ποιουμένη

(7) Τοῖς ἐναντίοις εὔθεσι·] εἴδεσι, εἰκάζει Ρ'εἴσκης· ἴσως, εὐθέσι· ἵνα ᾖ ἐναντίον εὐθὺ τὸ λέγειν ἐκ τοῦ εὐθέος, ὅπερ ἐσιν ἐναντίον τῷ διὰ χρόνου γράφειν· οἷον, ᾗ ποιουμένη (ἡ γραφὴ) τὴν ἄσκησιν τοῦ λέγειν ἄπορον εἰς τὸ

τὴν ἄσκησιν ἄπορον, καὶ τὴν ψυχὴν δεσμῶτιν καθίζησι· καὶ τῆς ἐν τοῖς αὐτοσχεδιασοῖς εὐροίας ἁπάσης ἐπιπροσθεν
8 γίνεται· νομίζω δὲ καὶ τὴν μάθησιν τῶν γραπτῶν λόγων χαλεπὴν, καὶ τὴν μνήμην ἐπίπονον, καὶ τὴν λήθην αἰσχρὰν ἐν τοῖς ἀγῶσι γίνεσθαι· πάντες γὰρ ἂν ὁμολογήσειαν, τὰ μικρὰ τῶν μεγάλων, καὶ τὰ πολλὰ τῶν ὀλίγων χαλεπώτερον εἶναι μαθεῖν, καὶ μνημονεῦσαι.

1 ς'. Περὶ μὲν ἓν τὲς αὐτοσχεδιασμὲς, ἐπὶ τῶν ἐνθυμημάτων δεῖ μόνον τὴν γνώμην ἔχειν. τοῖς δὲ ὀνόμασιν, ἐκ τῦ παραυτίκα δηλῦν· ἐν δὲ τοῖς γραπτοῖς λόγοις καὶ τῶν ὀνομάτων, καὶ τῶν ἐνθυμημάτων, καὶ συλλαβῶν, ἀναγκαῖόν ἐσι ποιεῖσθαι τὴν μνήμην καὶ τὴν μάθησιν ἀκριβῆ·
2 ἐνθυμήματα μὲν ἓν ὀλίγα καὶ μεγάλα τοῖς λόγοις ἔνεσιν· ὀνόματα δὲ καὶ ῥήματα, πολλὰ καὶ ταπεινὰ, καὶ μικρὸν ἀλλήλων διαφέροντα· καὶ τῶν μὲν ἐνθυμημάτων ἅπαξ ἕκασον δηλοῦται· τοῖς δ' ὀνόμασι πολλάκις τοῖς αὐ-
3 τοῖς ἀναγκαζόμεθα χρῆσθαι· διὸ τῶν μὲν, εὔπορος ἡ μνήμη· τοῖς δὲ, δυσανάλῃπτος καὶ δυσφύλακτος ἡ μάθησις καθέσηκεν· ἔτι τοίνυν αἱ λῆθαι, περὶ μὲν τὲς αὐ-
4 τοσχεδιασμὲς ἄδηλον τὴν αἰσχύνην ἔχσσιν· εὐλύτε γὰρ τῆς ἑρμηνείας ἔσης, καὶ τῶν ὀνομάτων ἐκ ἀκριβῶς συνεξεσμένων, ἂν ἄρα καὶ διαφύγῃ τι τῶν ἐνθυμημάτων, ἐ χαλεπὸν ὑπερβῆναι τῷ ῥήτορι· καὶ τῶν ἐφεξῆς ἐνθυμημάτων ἁψάμενον, μηδὲ μιᾷ τὸν λόγον αἰσχύνῃ περιβαλεῖν· ἀλλὰ καὶ τῶν διαφυγόντων ἂν ὕσερον ἀναμνησθῇ, ῥᾴδιον

ἐκ τῦ εὐθέος λέγειν, ὅπερ ἐσιν ἐναντίον τῦ διὰ χρόνυ γράφειν. (8) τὰ μικρὰ τῶν μεγάλων] ἐκ οἶδα τί βέλεται λέγειν· εἰμή τις βέλοιτο διορθῦν ὠδί· τὰ μακρὰ τῶν μικρῶν· ἵνα ᾖ· χαλεπότερόν ἐσι μαθεῖν τὲς μακρὲς τῶν λόγων (τὲς γραπτὲς δηλονότι) ἢ τὲς συντόμυς (τῶν αὐτοσχεδίων) εἰπεῖν· προσέτι οὐδὲ ἡ σύνταξις οἵμαι, ἐῤῥῶται πρὸς γενικήν· τὸ γὰρ ὀρθὸν μᾶλλον ἂν ἔχοι ὠδί· χαλεπώτερόν ἐσι μαθεῖν τὰ μικρὰ, ἢ τὰ μεγάλα· καὶ τὰ πολλὰ ἢ τὰ ὀλίγα.

ποιήσαθαι τὴν δήλωσιν· τοῖς δὲ γεγραμμένα λέγεσιν, 5
ἂν καταμικρὸν ὑπὸ ἀγωνίας ἐκλίπωσί τι καὶ παραλλάξωσιν, ἀπορίαν ἀνάγκη καὶ πλάνον καὶ ζήτησιν ἐγγενέσθαι· καὶ μακρὲς μὲν χρόνυς ἐπιχεῖν, πολλάκις δὲ τῇ σιωπῇ διαλαμβάνειν τὸν λόγον, ἀχθόμενα δὲ καὶ καταγέλασον, καὶ δυσεπικύρητον καθεσάναι τὴν ἀπορίαν.

ζ'. Ἡγοῦμαι δὲ καὶ ταῖς ἐπιθυμίαις τῶν ἀκροατῶν ἄμεινον χρῆσθαι τὲς αὐτοσχεδιάζοντας, τῶν τὰ γεγραμμένα λεγόντων· οἱ μὲν γὰρ πολὺ πρὸ τῶν ἀγώνων τὰ συγγράμματα διαπονήσαντες, ἐνίοτε τῶν καιρῶν ἁμαρτάνσιν· ἢ γὰρ μακρότερα τῆς ἐπιθυμίας λέγοντες, ἀ- 2
πεχθάνονται τοῖς ἀκέσσιν, ἢ βελομένων ἔτι τῶν ἀνθρώπων ἀκροᾶσθαι προαπολείπσι τὲς λόγυς· χαλεπὸν γὰρ, ἴσως δ' ἀδύνατόν ἐσιν, ἀνθρωπίνην πρόνοιαν ἐφικέσθαι τῦ μέλλοντος, ὥσε προϊδεῖν ἀκριβῶς, τίνα τρόπον αἱ γνῶμαι τῶν ἀκεόντων πρὸς τὰ μήκη τῶν λεγομένων ἔξσιν· ἐν δὲ τοῖς αὐτοσχεδιασμοῖς, ἐπὶ τῷ λέγοντι γίνεται τα- 3
μιεύεσθαι τὲς λόγυς πρὸς τὰς γνώμας τῶν ἀκροατῶν ἀποβλέποντι· καὶ τὰ μήκη συντέμνειν, καὶ τὰ συντόμως ἐσκεμμένα διὰ μακροτέρων δηλῦν.

η'. Χωρὶς τοίνυν τέτων, καὶ δὲ τοῖς αὐτῶν τῶν ἀγώνων 1
ἐνθυμήμασι διδομένοις ὁμοίως ὁρῶμεν ἑκατέρυς χρῆσθαι δυναμένυς· τοῖς μὲν γὰρ ἄγραφα λέγεσιν, ἀντὶ παρὰ τῶν ἀντιδίκων ἐνθύμημα λάβωσιν, ἢ διὰ τὴν συντονίαν τῆς διανοίας αὐτῶν παρὰ σφῶν αὐτῶν διανοηθῶσιν, εὔ- 2
πορόν ἐσιν ἐν τάξει θεῖναι· τοῖς γὰρ ὀνόμασιν ἐκ τῦ παραυτίκα περὶ ἁπάντων δηλῦντες, καὶ ὅταν πλείω τῶν ἐσκεμμένων λέγωσιν, ἑαμῶ τὸν λόγον ἀνώμαλον καὶ ταραχώδη καθίσασι· τοῖς δὲ μετὰ τῶν γραπτῶν λόγων ἀ- 3

(3) πρὸς τὰς γνώμας τῶν ἀκροατῶν] οὕτως ἔγραψα ἀντὶ τῦ, πρὸς τὰς δυνάμεις τῶν λόγων.

γωνιζομένοις, ἂν ἄρα τι χωρὶς τῆς παρασκευῆς ἐνθύμημα δοθῇ, χαλεπὸν ἐναρμόσαι, καὶ κεχρῆσθαι κατὰ τρόπον· αἱ γὰρ ἀκρίβειαι τῆς τῶν ὀνομάτων ἐξεργασίας 4 δέχονται τὰς αὐτοματισμούς, ἀλλ' ἀναγκαῖον, ἢ μηδὲν χρῆσθαι τοῖς ἀπὸ τῆς τύχης ἐνθυμήμασι δοθεῖσιν, ἢ χρώμενον διαλύειν καὶ συνερείπειν τὴν τῶν ὀνομάτων οἰκονομίαν, καὶ τὰ μὲν ἀκριβῶς, τὰ δὲ εἰκῇ λέγοντα, παραχώδη καὶ διάφωνον καθίσαι τὴν ἑρμηνείαν· καίτοι τίς ἂν 5 εὖ φρονῶν ἀποδέξαιτο τὴν τοιαύτην μελέτην, ἥτις καὶ τῶν αὐτομάτων ἀγαθῶν ἐπίπροσθεν τῇ χρήσει καθέστηκε, καὶ χείρω τῆς τύχης ἐνίοτε τοῖς ἀγωνιζομένοις τὴν ἐπικουρίαν παραδίδωσι· καὶ τῶν ἄλλων τεχνῶν ἐπὶ τὸ βέλτιον ἄγειν τὸν τῶν ἀνθρώπων βίον εἰθισμένων, αὕτη καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

Θ'. Ἡγοῦμαι δ' ἁδὲ λόγους δίκαιον εἶναι καλεῖσθαι 1 τοὺς γεγραμμένους, ἀλλ ὥσπερ εἴδωλα καὶ σχήματα καὶ μιμήματα λόγων, καὶ τὴν αὐτὴν κατ' αὐτῶν εἰκότως ἂν δόξαν ἔχοιμεν, ἥνπερ καὶ κατὰ τῶν χαλκῶν ἀνδριάντων, καὶ λιθίνων ἀγαλμάτων καὶ γεγραμμένων ζώων· ὥσπερ γὰρ ταῦτα μιμήματα τῶν ἀληθινῶν σωμάτων ἐστί, καὶ τέρψιν μὲν ἐπὶ τῆς θεωρίας ἔχει, χρῆσιν δ' ἁδὲ μίαν τῷ τῶν 2 ἀνθρώπων βίῳ παραδίδωσι· τὸν αὐτὸν τρόπον ὁ γεγραμμένος λόγος, ἐνὶ σχήματι καὶ τάξει γεγραμμένος, ἐκ βιβλίου θεωρούμενος, ἔχει τινὰς ἐκπλήξεις, ἐπὶ δὲ τῶν καιρῶν, ἀκίνητος ὤν, ἁδμίαν ὠφέλειαν τοῖς κεκτημένοις παραδίδωσιν· ἀλλ' ὥσπερ ἀνδριάντων καλῶν ἀληθινὰ σώματα, πολυχείρους τὰς εὐπορίας ἔχοντα, πολλαπλα-

(5) Διάφωνον] οὕτως ἔγραψα ἀντὶ τοῦ, ἄφωνον, γνώμῃ δὲ Γ' εἴσκε· ὅσοι διαφέρεσαν τῇ φωνῇ. (6) ἐπίπροσθεν τῇ χρήσει] κρειττόνων ἐμποδῶν, τῶν αὐτομάτων ἀγαθῶν· οὕτω δὲ ἀνωτέρω· ε, 7. καὶ ἐνταῦθα δὲ μικρὸν προϊὼν φησί· αὕτη καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

(2) Ἀλλ' ὥσπερ ἀνδριάντων καλῶν σώματα] οὐκ οἶδα ὅπως προσαρμοσέος

σίας ἐπὶ τῶν ἔργων τὰς ὠφελείας παραδίδωσιν· ἔτω καὶ 3 λόγος, ὁ μὲν ἐπὶ αὐτῆς τῆς διανοίας ἐν τῷ παραυτίκα λεγόμενος, ἔμψυχός ἐστι καὶ ζῇ καὶ τοῖς πράγμασιν ἕπεται, καὶ τοῖς ἀληθέσιν ἀφωμοίωται σώμασιν· ὁ δὲ γεγραμμένος, εἰκόνι λόγου τὴν φύσιν ὁμοίαν ἔχων, ἅπάσης ἐνεργείας ἄμοιρος καθέστηκεν.

ι'. Ἴσως ἂν ἕν εἴποι τις, ὡς ἄλογόν ἐστι κατηγορεῖν 1 μὲν τῆς γραφικῆς δυνάμεως, ἑαυτὸν δὲ διὰ ταύτης φαίνεσθαι τὰς ἀποδείξεις ποιούμενον· καὶ προσδιαβάλλειν τὴν πραγματείαν ταύτην, δι' ἧς εὐδοκιμεῖν παρασκευάζεται παρὰ τοῖς Ἕλλησιν· ἔτι δὲ περὶ φιλοσοφίαν διατρίβοντα 2 τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἐπαινεῖν, καὶ πρὸργιαίτερον ἡγεῖσθαι τὴν τύχην τῆς προνοίας, καὶ φρονιμωτέρους τοὺς εἰκῇ λέγοντας τῶν μετὰ παρασκευῆς γραφόντων· ἐγὼ 3 δὲ πρῶτον μὲν ἁ παντελῶς ἀποδοκιμάζων τὴν γραφικὴν δύναμιν, ἀλλὰ χείρω τῆς αὐτοσχεδιαστικῆς ἡγούμενος εἶναι, καὶ τὸ δύνασθαι λέγειν πλείσην ἐπιμέλειαν οἰόμενος χρῆναι ποιεῖσθαι, τούτους εἴρηκα τοὺς λόγους· ἔπειτα προ- 4 σχρῶμαι τῷ γράφειν, οὐκ ἐπὶ τούτῳ μέγιστον φρονῶν, ἀλλ' ἵν' ἐπιδείξω τοῖς ἐπὶ ταύτῃ τῇ δυνάμει σεμνυνομένοις, ὅτι μικρὰ πονήσαντες ἡμεῖς, ἀποκρύψαι, καὶ καταλῦσαι τοὺς λόγους αὐτῶν οἷοί τ' ἐσόμεθα· πρὸς δὲ τούτοις, καὶ 5 τῶν ἐπιδείξεων ἕνεκα τῶν εἰς τοὺς ὄχλους ἐκφερομένων ἅπτομαι τοῦ γράφειν· τοῖς μὲν γὰρ ποικίλαις ἡμῖν ἐντυγχάνουσιν ἐξ ἐκείνου τοῦ τρόπου παρακελεύομαι πεῖραν ἡμῶν λαμβάνειν, ὅταν ὑπὲρ ἅπαντος τοῦ προτεθέντος, εὐκαίρως καὶ μουσικῶς εἰπεῖν οἷοί τ' ὦμεν· τοῖς δὲ διὰ χρόνου μὲν 6 ἐπὶ τὰς ἀκροάσεις ἀφιγμένοις, μηδεπώποτε δὲ πρότερον ἡμῖν ἐντετυχηκόσιν, ἐπιχειροῦντί τι δεικνύναι τῶν γε-

ὁ, Ἀλλὰ, κατ' ἀρχάς· ὁ γὰρ νοῦς ἀπαιτεῖ, ὡς ἀπὸ δευτέρας ἀρχῆς, καὶ ὥσπερ ἀνδριάντων καὶ τλ.

γραμμένων· εἰθισμένοι γὰρ ἀκροᾶσθαι τῶν ἄλλων τὰς λόγους, ἴσως ἂν ἡμῶν αὐτοσχεδιαζόντων ἀκούοντες, ἐλάττονα τῆς ἀξίας δόξαν καθ' ἡμῶν λάβοιεν· χωρὶς δὲ τούτων, καὶ σημεῖα τῆς ἐπιδόσεως, ἣν εἰκὸς ἐν τῇ διανοίᾳ γίνεσθαι, παρὰ τῶν γραπτῶν λόγων ἐναργέστατα κατιδεῖν ἔσιν· εἰ μὲν γὰρ βέλτιον αὐτοσχεδιάζομεν νῦν, ἢ πρότερον, ἢ ῥᾴδιον ἐπικρίνειν ἐσί· χαλεπαὶ γὰρ αἱ μνῆμαι τῶν προειρημένων λόγων καθεσήκασιν· εἰς δὲ τὰ γεγραμμένα κατιδόντας, ὥσπερ ἐν κατόπτρῳ, θεωρῆσαι τὰς τῆς ψυχῆς ἐπιδόσεις ῥᾴδιόν ἐσιν· ἔτι δὲ καὶ μνημεῖα καταλιπεῖν ἡμῶν αὐτῶν σπεδάζοντες, καὶ τῇ φιλοτιμίᾳ χαριζόμενοι, λόγους γράφειν ἐπιχειροῦμεν.

ιά. Ἀλλὰ μὴν ὡς ἐδ' εἰκῇ λέγειν παρακελευόμεθα, τὴν αὐτοσχεδιαστικὴν δύναμιν τῆς γραφικῆς προτιμῶντες, ἄξιόν ἐσι πιστεύειν· τοῖς μὲν γὰρ ἐνθυμήμασι καὶ τῇ τάξει μετὰ προνοίας ἡγέμεθα δεῖν χρῆσθαι τοὺς ῥήτορας, περὶ δὲ τὴν τῶν ὀνομάτων δήλωσιν, αὐτοσχεδιάζειν· ἃ γὰρ τοσαύτην ὠφέλειαν αἱ τῶν γραπτῶν λόγων ἀκρίβειαι παραδιδόασιν, ὅσην εὐκαιρίαν αἱ τῶν ἐκ τοῦ παραχρῆμα λεγομένων δηλώσεις ἔχουσιν· ὅστις ἓν ἐπιθυμεῖ ῥήτωρ γενέσθαι δεινὸς, ἀλλὰ μὴ ποιητὴς λόγων ἱκανὸς, καὶ βέλεται μᾶλλον τοῖς καιροῖς χρῆσθαι καλῶς, ἢ τοῖς ὀνόμασι λέγειν ἀκριβῶς, καὶ τὴν εὔνοιαν τῶν ἀκροωμένων ἐπίκαρον ἔχειν σπεδάζει μᾶλλον, ἢ τὸν φθόνον ἀντιγωνιεῖν, ἔτι δὲ καὶ τὴν γνώμην εὔπορον, καὶ τὴν μνήμην εὔλυτον, καὶ τὴν λήθην ἄδηλον καθεσάναι βέλεται, καὶ τῇ χρείᾳ τοῦ βίου σύμμετρον τὴν δύναμιν τῶν λόγων κεκτῆσθαι πρόθυμός ἐσιν, ἔτος εἰκότως ἂν, τοῦ μὲν αὐτοσχεδιάζειν ἀεί τε καὶ διαπαντὸς ἐνεργὸν τὴν μελέτην ποιοῖτο, τοῦ δὲ γράφειν ἐν παιδιᾷ καὶ παρέργῳ ἐπιμελόμενος εὖ φρονεῖν κριθείη παρὰ τοῖς εὖ φρονοῦσιν.

ΓΟΡΓΙΟΥ ΛΕΟΝΤΙΝΟΥ ΛΟΓΟΙ.

ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

ά. Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετὴ, λόγῳ δὲ ἀλήθεια· τὰ δ' ἐναντία τούτων, ἀκοσμία· ἄνδρα δὲ καὶ γυναῖκα καὶ λόγον, καὶ ἔργον, καὶ πόλιν, καὶ πρᾶγμα χρὴ, τὸ μὲν ἄξιον ἐπαίνων τιμᾶν, τῷ δὲ ἀναξίῳ μῶμον ἐπιτιθέναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία, μέμφεσθαί τε ἐπαινετὰ, καὶ ἐπαινεῖν τὰ μωμητά· τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς, καὶ ἐλέγξαι τὸς μεμφομένους Ἑλένην, γυναῖκα, περὶ ἧς ὁμόψηφος καὶ ὁμόφωνος, ἥ τε τῶν ποιητῶν ἀκουσάντων πίσις, ἥ τε τοῦ ὀνόματος φήμη, τῶν συμφορῶν μνήμη γέγονεν· ἐγὼ δὲ βέλομαι λογισμόν τινα τῷ λόγῳ δοὺς, τὴν μὲν κακῶς ἀκέσασαν, παῦσαι τῆς αἰτίας, τοὺς δὲ μεμφομένους, ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς, καὶ παῦσαι τῆς ἀμαθίας.

β. Ὅτι μὲν ἓν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώτων ἀνδρῶν καὶ γυναικῶν ἡ γυνὴ, περὶ ἧς ὁ λόγος, ἐκ ἄδηλον ἐδ' ὀλίγοις· δῆλον γὰρ, μητρὸς μὲν, Λήδας· πατρὸς δὲ τοῦ μὲν γενομένου θνητοῦ, Τυνδάρεω, καὶ Διὸς, ὧν ὁ μὲν διὰ τὸ εἶναι ἔδοξεν, ὁ δὲ, διὰ τὸ φῦναι ἠλέγχθη· καὶ ἦν ὁ μὲν ἀνδρῶν κράτισος· ὁ δὲ, πάντων τύραννος· ἐκ τοιούτων δὲ γενομένη, ἔσχε τὸ ἰσόθεον κάλλος· ὃ λαβοῦσα καὶ ὃ λαθοῦσα ἔσχε· πλείσας δὲ πλείσοις

(2) Τῶν ποιητῶν ἀκουσάντων] ἀνάλυσον οὕτω· ἡ πίσις τῶν, ὅσοι ἤκουσαν τῶν ποιητῶν ταῦτα. (2) τῶν συμφορῶν μνήμη] ἡ φήμη τοῦ ὀνόματος τῆς Ἑλένης ποιεῖ ἡμᾶς ἔτι καὶ νῦν μεμνῆσθαι τὰς συμφορὰς τῶν Ἑλλήνων καὶ τῶν Τρώων ἐν Ἰλίῳ.

(1) Τὰ πρῶτα] ἐνοητέον τὸ, ἔχει. (1) οὐδὲ ὀλίγοις] γνωσὸν δηλονότι· ἢ οὐδ' ὀλίγοις ἄδηλον, ἀλλὰ πᾶσιν ἁπλῶς δῆλον.

3 ἐπιθυμίας ἔρωτος ἐνειργάσατο· ἐνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν ἀνδρῶν, ἐπὶ μεγάλοις μεγάλα φρονέντων· ὧν οἱ μὲν πλέτῳ μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδοξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν, οἱ δὲ σοφίας ἐπικτήτῳ δύναμιν ἔχον· ᾗ ἦκον ἅπαντες ὑπ' ἔρωτος φιλονείκῳ, φιλοτιμίας τε ἀνικήτῳ.

1 γ'. Ὅτις μὲν οὖν ἦν ᾗ διότι ᾗ ὅπως ἀπέπλησε τὸν ἔρωτα ὁ τὴν Ἑλένην λαβών, ἐῶ λέξω· τὸ γὰρ τοῖς εἰδόσιν ἀΐσασι
2 λέγειν, πίσιν μὲν ἔχει, τέρψιν δὲ ἐ φέρει· τὸν χρόνον δὲ τῷ λόγῳ τὸν τότε νῦν ὑπερβὰς, ἐπὶ τὴν ἀρχὴν τῆ μέλλοντος λόγῳ προβήσομαι, ᾗ προθήσομαι τὰς αἰτίας, δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς Τροίαν σόλον· ἢ γὰρ τύχης βελήματι, ᾗ θεῶν κελεύσματι, ᾗ ἀνάγκης ψηφίσματι, ἔπραξεν ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα· εἰ μὲν οὖν
3 διὰ τὸ πρῶτον, ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος· θεῦ γὰρ προθυμίαν, ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον κωλύειν· πέφυκε γὰρ ἐ τὸ κρεῖσσον ὑπὸ τῆ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τῆ κρείττονος ἄρχεσθαί τε ᾗ ἄγεσθαι· τὸ μὲν γὰρ κρεῖσσον, ἡγεῖσθαι, τὸ δὲ ἧττον, ἕπεσθαι· θεὸς δ' ἀνθρώπῳ κρείσσων, ᾗ βίᾳ, ᾗ σοφίᾳ, ᾗ τοῖς
4 ἄλλοις· ἢ ἓν τῇ τύχῃ ᾗ τῷ θεῷ τὴν αἰτίαν ἀναθετέον, ἢ τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον· εἰ δὲ βίᾳ ἡρπάσθη, ᾗ ἀνόμως ἐβιάσθη, ᾗ ἀδίκως ὑβρίσθη, δῆλον ὅτι,
5 ὁ ἁρπάσας ἢ ὑβρίσας, ἠδίκησεν· εἰ δὲ ἁρπασθεῖσα ἢ ὑβρισθεῖσα ἐδυσύχησεν, ἄξιος ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα, ᾗ νόμῳ ᾗ λόγῳ ᾗ ἔργῳ· νόμῳ μὲν, ἀτιμίας· λόγῳ δ', αἰτίας· ἔργῳ δὲ, ζημίας τυ-

(3) Ἄξιος αἰτιᾶσθαι] ἄξιος αἰτίας, κατηγορίας ἐστὶν ὁ αἰτιώμενος τοῦτο· ὅπως δ' ἐξέλαβεν τὸ, αἰτιᾶσθαι παθητικῶς οὐκ οἶδα· διὰ τοῦτο ἄμεινον ἦν προθεῖναι τὴν ἄρνησιν· οἷον, οὐκ ἄξιος αἰτιᾶσθαι, ὅ ἐστιν οὐκ ἔχει δίκαιον

χεῖν· ἡ δὲ βιαθεῖσα καὶ τῆς πατρίδος ἐρημθεῖσα, καὶ τῶν φίλων ὀρφανισθεῖσα, πῶς ἐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον, ἢ κακολογηθείη; ὁ μὲν γὰρ, ἔδρασε δεινὰ, ἡ δὲ, πέπονθε· δίκαιον ἦν, τὴν μὲν, οἰκτεῖραι, τὸν δὲ μισῆσαι

δ'. Εἰ δὲ λόγος ἦν ὁ πείσας καὶ τὴν ψυχὴν ἀπατήσας, ἐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι, ᾗ τὴν αἰτίαν ἀπολύσασθαι ὧδε· λόγος, δυνάστης μέγας ἐστὶν, ὃς μικροτάτῳ σώματι ᾗ ἀφανεστάτῳ, θειότατα ἔργα ἀποτελεῖ· δύναται γὰρ καὶ φόβον παῦσαι, ᾗ λύπην ἀφελεῖν, ᾗ χαρὰν ἐνεργάσασθαι, ᾗ ἔλεον ἐπαυξῆσαι· ταῦτα δὲ ὡς ἔτως ἔχει, δείξω· δεῖ δὲ ᾗ δόξῃ δεῖξαι τοῖς ἀκούσιν· τὴν ποίησιν ἅπασαν ᾗ νομίζω ᾗ ὀνομάζω λόγον ἔχοντα μέτρον, ἧς τοὺς ἀκούοντας εἰσῆλθε ᾗ φρίκη περίφοβος, ᾗ ἔλεος πολύδακρυς, καὶ φιλοπενθὴς· ἐπ' ἀλλοτρίων τε πραγμάτων ᾗ σωμάτων εὐτυχίας ᾗ δυσπραγίας, ἰδιόν τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή· φέρε δὴ πρὸς ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον· αἱ γὰρ ἔνθεοι διὰ λόγων ἡδοναὶ, ἐπαγωγοὶ μὲν ἡδονῆς, ἀπαγωγοὶ δὲ λύπης γίνονται· συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳδῆς, ἔθελξε ᾗ ἔπεισε καὶ μετέσησε γοητείᾳ· γοητείας δὲ καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἳ εἰσὶ ψυχῆς ἁμαρτήματα, ᾗ δόξης ἀπατήματα· ὅσοι δὲ ὅσου περὶ ὅσων ᾗ ἔπεισαν ᾗ πείθουσι

αἰτιᾶσθαι τὴν Ἑλένην. (5) αἳ δὲ βιαθεῖσα] ἡ δὲ, ἔγραψα ἀντὶ τοῦ, εἰδέ· οὐ γὰρ τὸ τρίτον τῆς διαιρέσεως μέρος ἔχει ὁ λόγος οὗτος (τοῦτο γὰρ κατωτέρω μικρὸν) ἀλλ' ἀπόδοσίς ἐστι μάλισα εἰς τὸ, ὁ μὲν ἐπιχειρήσας — ἡ δὲ ᾗ τλ.

(2) Δεῖ δὲ ᾗ δόξῃ δεῖξαι] πείρα, ἢ λόγῳ, ἢ μᾶλλον παραδείγματι· τὸ δὲ δόξῃ δεῖξαι· εἰμή τι διέφθαρται οὐδὲν ἀλλ' ἢ σοφιστικὸν συγκρότημα ὀνομάτων. (3) ἐπ' ἀλλοτρίων τε] ἐπανέλαβον τὸν Τε τραπέντα παρὰ Ρ εἴσκω εἰς τὸν Γὲ, βουλόμενος ἴσως αἰτιολογικῶς ἔχειν ἀντὶ τοῦ, Γάρ· ἀλλ' εὐοδοῦται ὁ λόγος ἐπεξηγηματικῶς τῶν εἰρημένων· τὸ δὲ, εὐτυχίας ᾗ δυσπρα-

ψευδῆ λόγον πλάσαντες! εἰ μὲν γὰρ πάντες περὶ πάντων εἶχον τῶν παροιχομένων μνήμην, τῶν τε παρόντων, τῶν τε μελλόντων πρόνοιαν, ἐκ ἂν ὁμοίως, ὅμοιος ὢν, ὁ λόγος ἦ τανῦν γε, ἔτε μνησθῆναι τὸ παροιχόμενον, ἔτε σκέψασθαι τὸ παρὸν, ἔτε μαντεύσασθαι τὸ μέλλον, εὐπόρως εἶχεν, ὥσε περὶ τῶν πλείστων οἱ πλείστοι τὴν δόξαν σύμβουλον τῇ ψυχῇ παρέχονται· ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος ἔσα, σφαλεραῖς καὶ ἀβεβαίοις ἀτυχίαις περιβάλλει τὲς αὐτῇ χρωμένες.

α'. Τίς ἦν αἰτία κωλύει καὶ τὴν Ἑλένην ὁμοίως, νέαν ἔσαν, ὡς περὶ βιατήριον βίᾳ ἁρπασθῆναι; τῇ γὰρ πειθοῖ ὁ νῆς παρεσύρη· καίτοι εἰ ἀνάγκη, ὄνειδος ἔξει μὲν ἔ· τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει λόγος· λόγος γὰρ τὴν ψυχὴν ὁ πείσας ἦν· ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λεγομένοις, καὶ συναινέσαι τοῖς ποιεμένοις· ὁ μὲν ἦν πείσας ὡς ἀναγκάσας, ἀδικεῖ· ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα, λόγῳ μάτην ἀκέει κακῶς· ὅτι δ' ἡ πειθὼ προσιεῖσα τῷ λόγῳ, καὶ τὴν ψυχὴν ἐτυπώσατο, ὅπως ἐβέλετο, χρὴ μαθεῖν, πρῶτον μὲν τὲς τῶν μετεωρολόγων λόγες σκοπῆντα· οἵτινες δόξαν ἀντὶ δόξης, τὴν μὲν ἀφελόμενοι, τὴν δὲ ἐργασάμενοι, τὰ ἄδηλα καὶ ἄπεισα φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν· δεύτερον δὲ

πολὺν ὄχλον ἔτρεψε καὶ ἔπεισε, τέχνῃ γραφεὶς, ἐκ ἀληθείᾳ λεχθείς· τρίτον φιλοσόφων λόγων ἀμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιῆν τὴν τῆς δόξης πίσιν· τὸν αὐτὸν δὲ λόγον ἔχει ἥ τε τοῦ λόγε δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν, ἥ τε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν· ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλα ἀλλαχῆ ἐκ τε σώματος ἐξάγει, καὶ τὰ μὲν νόσε, τὰ δὲ βίε παύει· ἕτω καὶ τῶν λόγων οἱ μὲν, ἐλύπυσαν, οἱ δὲ, ἔτερψαν, οἱ δὲ, ἐφόβησαν, οἱ δὲ, εἰς θάρσος κατέσησαν τὲς ἀκέοντας, οἱ δὲ πειθοῖ τινι κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν, καὶ ἐξεγοήτευσαν· καὶ ὅτι μὲν εἰ λόγῳ ἐπείθη ἐκ ἠδίκησεν, ἀλλ' ἠτύχησεν, εἴρηται· τὴν δὲ τετάρτην αἰτίαν, τῷ τετάρτῳ λόγῳ διέξειμι.

δ'. Εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, ἐ χαλεπῶς διαφείξεται τὴν τῆς λεγομένης γεγονέναι ἁμαρτίας αἰτίαν· καὶ γὰρ ὁρῶμεν ἐχ ἣν ἡμεῖς θέλομεν, ἀλλ' ἣν ἕκασος ἔτυχε· διὰ δὲ τῆς ὄψεως ἡ ψυχὴ καινοῖς τρόποις τυπῆται· αὐτίκα γὰρ, ὅταν πολέμια σώματα καὶ πολέμιον ὁπλίσης κόσμον χαλκῆ καὶ σιδήρῳ, τῆ μὲν ἀλεξητήριον, τῆ δὲ προβλήματα, εἰ θεάσεται ἡ ὄψις ἐταράχθη, καὶ ἐτάραξε τὴν ψυχήν· ὥσε πολλάκις κινδύνε μέλλοντος

γίας, ἄμεινον ἦν εἰς δστικήν. (5) οὐκ ἂν ὁμοίως ὅμοιος ὢν] περιπλέκει ταῦτα σοφιστικῶς τοῖς ὀνόμασι· τὸ δὲ ὁμαλώτερον ὧδ' ἂν ἔχοι ἄνωθεν. Εἰ μὲν γὰρ πάντες εἶχον τῶν παροιχομένων μνήμην, τῶν τε παρόντων (ἔννοιαν) τῶν τε μελλόντων πρόνοιαν, (τότε) ὁ λόγος ὅμοιος ἦν, οὐκ ἂν ὁμοίως, ἢ (ὥσπερ) τὰ νῦν γε, εὐπόρως εἶχεν ἔτε μνησθῆναι καὶ τλ. ἀλλ' ἡμὲν συνθήκη αὕτη, ὁ δὲ νῆς πῶς; ἐγὼ μὲν ὰ κατανοῶ· διὸ καὶ διορθῶ τὸ, ὐκ ἂν ὁμοίως, εἰς τὸ, ὐκ ἀνομοίως· ἢ προσίθημι τὸ, ἄν· ὐκ ἂν ἀνομοίως.

(1) Ὡς περὶ βιατήριον βίᾳ] διέφθαρται· διορθωτέον ἴσως, βιασήριον· ἀλλὰ καὶ τὸ, βίᾳ, ἀπαιτεῖ ἔτι τί, οἷον, λόγων, ῥητορικῆς· ὁ δὲ Γεῖσκης εἰκάζει ὠδί· ὥσπερεὶ βίᾳ τῆς ῥητορείας. (3) τὲς τῶν μετεωρολόγων λόγες σκοπῆντα·] προσέθηκα τὸ, σκοπῆντα, ἐκ γνώμης καὶ Γεῖσκε· ἄλλως γὰρ ἀτελὴς ὁ λόγος. (3) ἄπεισα] ἄμεινον, ἄπισα· τὸ δὲ ὅλον, ὡς ἔμοιγε

δοκεῖ, ἦν ἕτω· τὰ ἄδηλα καὶ ἀπίθανα πισὰ φαίνεσθαι. (4) ὡς εὐμετάβολον] πολλὰ εὐμετάβολον. (5) ἄλλα ἀλλαχῆ ἐξάγει] τὰ ἐκρίματα, τὰ μὲν εἰς ἔμετον· τὰ δὲ, εἰς ἀφεδρῶνα· τὰ δὲ, εἰς ἱδρῶτα. (7) ἐπείθη] ἡ Ἑλένη.

(1) Οὐχ ἣν ἐθέλομεν] ὄψιν· ὡς εἰ ἔλεγεν, ὐχ ὅ,τι θέλομεν, ἀλλ' ὅ,τι προσπίπτει τῇ ὄψει ἑκάστε· βάλεται δὲ ἐντεῦθεν συναγαγεῖν τὸ τᾶς Ἑλένης ἀτόπημα ὐκ ἐκ βαλεύματος γεγενημένον, ἀλλ' ἐκ τύχης αὐτῇ πεπραγμένον. (2) ὁπλίσης] τινὰ ἄνθρωπον ὅπλα πολέμια ἐκ χαλκῆ καὶ σιδήρε· ἐκ μὲν τῆ σιδήρε ἀλεξητήρια τῶν σωμάτων· ἐκ δὲ τῆ χαλκῆ, προβλήματα

ἐδέπω ὄντος, φεύγεσιν ἐκπλαγέντες· ἰσχυρῶς γὰρ ἡ ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον εἰσωκίσθη τὸν ἀπὸ τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀσμενίσαι, καὶ τῷ καλῷ τῷ διὰ τὸν νόμον κρινομένῳ, καὶ τῷ ἀγαθῷ τῷ διὰ τὴν δί-
4 κην γιγνομένῳ· ἤδη δέ τινες ἰδόντες φοβερὰ καὶ τῷ παρόντος ἐν τῷ παρόντι φρονήματος ἐξέστησαν ἔτως ἀπέβλεσε καὶ ἐξήλασεν ὁ φόβος τὸ νόημα· πολλοὶ δὲ ματαίαις νόσοις, καὶ δεινοῖς πόνοις καὶ δυσιάτοις μανίαις περιέπεσον·
5 ἔτως εἰκόνας τῶν ὁρωμένων πραγμάτων ἡ ὄψις ἀνέγραψεν ἐν τῷ φρονήματι· καὶ τὰ μὲν δειματοῦντα πολλὰ μὲν παραλείπεται, ὅμοια δ' ἐστὶ τὰ παραλειπόμενα, οἷά περ τὰ λεγόμενα· ἀλλὰ μὴν οἱ γραφεῖς ὅταν ἐκ πολλῶν χρωμάτων, καὶ σωμάτων ἓν σῶμα καὶ σχῆμα τελείως ἀπεργά-
6 σωνται, τέρπεσι τὴν ὄψιν· ἡ δὲ τῶν ἀνδριάντων ποίησις καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία, ὅσον ἡδεῖαν παρέχετο τοῖς ὄμμασιν ὄψιν! ἔτω τὰ μὲν λιπεῖν, τὰ δὲ ποθεῖν πέφυκεν ὄψις· πολλὰ δὲ πολλοῖς πολλῶν ἔρωτα καὶ πόθον ἐνεργάζεται τῶν πραγμάτων·

1 ζ'. Εἰ ἓν τῷ τῷ Ἀλεξάνδρῳ σώματι τὸ τῆς Ἑλένης ὄμμα ἠθὲν προθυμίαν καὶ ἄμιλλαν ἔρωτος τῇ ψυχῇ παρέδωκε, τί θαυμαστὸν, ὃς εἰ μὲν θεὸς θεῶν θείαν δύναμιν κρατεῖ, πῶς ἂν ὁ ἧσσων εἴη τοῦτον ἀπώσασθαι καὶ ἀμύνα-

τῶν σωμάτων· τοῦτον εἰ θεάσεται ἡ ὄψις καὶ τλ. (3) φεύγεσιν ἐκπλαγέντες] οἱ ἄνθρωποι, καὶ μήπω ὄσης τῆς μάχης· τὸ γὰρ ὂν ἀληθὲς ἐξοικίζεται τῷ ἐν ταῖς μάχαις νόμῳ ἰσχυρῶς διὰ τὸν ἀπὸ τῆς ὀψεως φόβον· ἀντὶ δὲ τοῦ, εἰσωκίσθη, ἐξωκίσθη, γράφεσθαι δεῖν εἰκάζει Ῥεΐσκης· ὁμοίως δὲ καὶ ἐχομένως ἀντὶ τοῦ, ἀσμενίσαι, ἀμνημονῆσαι· καὶ κατωτέρω ἔτι ἀντὶ τοῦ ματαίαις νόσοις, γραπτέον, βαρείαις νύσοις, ἢ ἄλλο τι. (5) εἰκόνας] προσθετέον κἀντοῦθα τὸ, φοβερὰς, ἢ ἄλλο τι. (5) παραλείπεται παρ' ἐμοῦ. (6) ὅσον ἡδεῖαν] θαυμασικῶς ὁ λόγος προενεχτέος. (6) τὰ μὲν λιπεῖν (εἰμήτι γραπτέον, λυπεῖν) τὰ δὲ ποθεῖν] τὰ μὲν ἀπωθεῖν, τὰ δὲ ἔλκειν· τὸ δὲ, ὄψιν, ἄμεινον ἦν γράφειν, ἄψις, ἵν' ᾖ αὐτὸ ἐκ πρώτου τοῦ πέφυκε.

(1) Εἰ μὲν θεὸς] ἂν, κρατεῖ κατὰ θείαν δύναμιν τῶν θεῶν, πῶς καὶ τλ. ὁ δὲ Ῥεΐσκης ἀναπληροῖ ἐντελέστερον· ἔτως· ὃς εἰμὲν, θεὸς ὢν, θείαν δύναμιν

σθαι δυνατός; εἰ δ' ἔστιν ἀνθρώπινον νόσημα, καὶ ψυχῆς 2
ἀγνόημα, ἐκ ὡς ἁμάρτημα μεμπτέον, ἀλλ' ὡς ἀτύχημα νομιστέον· ἦλθε γὰρ ἦλθε τύχης ἀγρεύμασιν, ἐ γνώμης βεβουλεύμασι· καὶ ἔρωτος ἀνάγκαις, ἐ τέχνης παρασκευαῖς· πῶς ἐν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μῶμον; 3
ἥτις εἴτ' ἐραθεῖσα, εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν· ἀφεῖλον τῷ λόγῳ δύσκλειαν γυναικός· ἐνέμεινα τῷ νόμῳ, ὃν ἐθέ- 4
μην ἐν ἀρχῇ τοῦ λόγου· ἐπειράθην καταλῦσαι μῶμον ἀδικίαν. καὶ δόξης ἁμάρτειαν· ἐβουλήθην γράψαι τὸν λόγον Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.

ΓΟΡΓΙΟΥ
ΥΠΕΡ ΠΑΛΑΜΗΔΟΥΣ
ΑΠΟΛΟΓΙΑ.

α'. Ἡ μὲν κατηγορία καὶ ἡ ἀπολογία, κρίσις περὶ 1
θανάτου γίγνεται· θάνατον μὲν γὰρ ἡ φύσις φανερᾷ τῇ ψήφῳ πάντων κατεψηφίσατο τῶν θνητῶν ἧπερ ἡμέρᾳ ἐγένετο· περὶ δὲ τῆς ἀτιμίας καὶ τῆς τιμῆς ὁ κίνδυνός ἐστι, πότερά με χρὴ δικαίως ἀποθανεῖν, ἢ μετ' ὀνειδῶν μεγίστων καὶ τῆς αἰσχίστης αἰτίας βιαίως ἀποθανεῖν· δισσῶν 2
δὲ τούτων ὄντων, τοῦ μὲν ὅλου ὑμεῖς κρατεῖτε, τῷ δ' ἐγώ· τῆς μὲν δίκης, ἐγὼ· τῆς δὲ βίας, ὑμεῖς· ἀποκτεῖναι μὲν γὰρ δυνήσεσθε, βουλόμενοι, ῥᾳδίως· κρατεῖ τε γὰρ καὶ τούτων, ὧν ἐδὲν ἐγὼ τυγχάνω κρατῶν· εἰ 3

ἔχων, κρατεῖ. (2) τύχης ἀγρεύμασι] τύχης ἔγραψα γνώμῃ Ῥεΐσκης ἀντὶ τοῦ, ψυχῆς· ἀνάγεται γὰρ ταῦτα πρὸς τὰ εἰρημένα ἀνωτέρω ς'. (3) ἀναγκασθεῖσα] ἔτως ἀντὶ τοῦ, ἀναγκηθεῖσα. (4) ἐν ἀρχῇ] ἔτως ἀντὶ τοῦ ἐπ' ἀρχῇ.

(1) Ἐγένετο] προσθετέον τὸ, ἕκαστος· ἢ γραπτέον, ἐγένοντο. (2) τῆς μὲν δίκης ἐγὼ] τὸ μετὰ δικαιοσύνης ἀποθανεῖν.

μὲν ἓν ὁ κατήγορος Ὀδυσσεὺς ἢ σαφῶς ἐπισάμενος προδιδόνται με τὴν Ἑλλάδα τοῖς βαρβάροις, ἢ δοξάζων γε
4 ἔτω ταῦτα ἔχειν, ἐποιεῖτο τὴν κατηγορίαν δι' εὔνοιαν τῆς Ἑλλάδος, ἄριστος ἂν ἦν ὁ ἀνήρ· πῶς γὰρ ἄ; ὅς γε σώζει πατρίδα, τοκέας, τὴν πᾶσαν Ἑλλάδα, ἔτι δὲ πρὸς τέτοις, τὸν ἀδικοῦντα τιμωρόμενος; εἰ δὲ φθόνῳ, ἢ κακοτεχνίᾳ, ἢ κακουργίᾳ συνέβηκε ταύτην τὴν αἰτίαν, ὥσπερ δι' ἐκεῖνα κράτιστος ἂν ἦν ἀνὴρ, ἔτω διὰ ταῦτα κά-
5 κιστος ἀνὴρ περὶ τέτων· ἐγὼ δὲ πόθεν ἄρξωμαι; τί δὲ πρῶτον εἴπω; ποῖ δὲ τῆς ἀπολογίας τράπωμαι; αἰτία γὰρ ἀνεπίδεικτος ἔκπληξιν ἐμφανῆ ἐμποιεῖ· διὰ δὲ τὴν ἔκπληξιν, ἀπορεῖν ἀνάγκη τῷ λόγῳ, ἂν μή τι παρ' αὐτῆς τῆς ἀληθείας ἢ της παρέσης ἀνάγκης μάθω, διδασκάλων ἐπικινδυνοτέρων ἢ πορισμωτέρων τυχών.

1 β'. Ὅτι μὲν ἓν ὁ σαφῶς ὁ κατήγορος κατηγορεῖ με, σαφῶς οἶδα· σύνοιδα γὰρ ἐμαυτῷ σαφῶς ἐδὲν τοιῦτον πεποιηκώς· ἐδὲ ἔχ ὅπως ἂν εἰδείη τὶς ἢ τὸ μὴ γενόμε-
2 νον· εἰ δὲ οἰόμενος ἔτω ταῦτα ἔχειν, ἐποιεῖτο τὴν κατηγορίαν, ἐκ ἀληθῆ λέγειν διὰ δισσῶν ὑμῖν ἐπιδείξω τρόπων· ἔτε γὰρ βεβληθεὶς ἐδυνάμην ἂν, ἔτε δυνάμενος ἠ-
3 βεβλήθην ἐπιχειρεῖν τοιῦτοις· ἐπὶ τῦτον δὲ τὸν λόγον εἶμι ὡς ἀδύνατός εἰμι τῦτο πράττειν· ἔδει γάρ τινα πρῶτον ἀρ-
4 χὴν γενέσθαι τῆς προδοσίας· ἡ δὲ ἀρχὴ λόγος ἂν εἴη· πρὸ γὰρ τῶν μελλόντων ἔργων ἀνάγκη λόγες γίνεσθαι πρότερον· λόγοι δὲ πῶς ἂν γένοιτο, μὴ συνεσίας τινὸς γενομέ-

(4) κάκιστος ἀνὴρ περὶ τέτων] τὸ μὲν, ἀνὴρ, τρεπτέον εἰς τὸ, ἂν εἴη· τὸ δὲ, περὶ τέτων, πάντη παρέλκον, εἰμή τις βάλοιτο συνάπτειν αὐτὸ τοῖς ἑξῆς· οἷον· περὶ δὲ τέτων ἐγὼ πόθεν ἄρξωμαι εἰπεῖν.

(1) Οὐ σαφῶς ὁ κατήγορος] προσθετέον μεταξὺ τὸ, ἐπισάμενος· ἐπαναλαμβάνει γὰρ ἐνταυθοῖ, ἃ εἴρηται αὐτῷ ἀνωτέρω· ά, 3. (1) ὐδὲ ἔχ ὅπως ἂν εἰδείητις, ἢ τὸ μὴ γενόμενον] διέφθαρται· ὅθεν ὁ Ῥεΐσκης πειρᾶται διορθῶν ὅτω· ὐδὲ ἐστὶν ὅπως ἂν εἰδείη τις τὸ μὴ γενόμενον· δύναται δέ πως διορθωθῆναι ἢ ὅτω· ὐδ' ἐστὶν ὅπως ἂν εἰδείη τις, τί ἂν εἴη τὸ μὴ γενόμενον.

νης; συνεσία δὲ τίνα τρόπον γένοιτ' ἂν, μήτ' ἐκείνῳ πρὸς 5
ἐμὲ πέμψαντος, μήτε παρ' ἐμοῦ πρὸς ἐκεῖνον ἐλθόντος; ἐδὲ παραγγελία διὰ γραμμάτων ἀφῖκται ἄνευ τε φέροντος.

γ'. Ἀλλὰ δὴ τῦτο τῷ λόγῳ δυνατὸν γενέσθαι· ᾗ δὴ 1
τοίνυν σύνειμι, ᾗ σύνεσι, κἀκεῖνος ἐμοὶ, κἀκείνῳ ἐγώ. τίνα τρόπον; τίνι τίς ὤν; Ἕλλην βαρβάρῳ; πῶς ἀκόων ᾗ λέγων; πότερα μόνος μόνῳ; ἀλλ' ἀγνοήσομεν τὰς ἀλλήλων λόγες· ἀλλὰ μεθ' ἑρμηνέως; τρίτος ἄρα μάρτυς γίνεται τῶν κρύπτεσθαι δεομένων· ἀλλὰ δὴ ᾗ τῦτο γε- 2
νέσθω, καίπερ οὐ γενόμενον· ἔδει δὲ μετὰ τέτες πίστιν δοῦναι ᾗ δέξασθαι· τίς ἓν ἂν ἦν ἡ πίστις; πότερον ὅρκος; τίς ἓν ἐμοὶ τῷ προδότῃ πιστεύειν ἔμελλεν; ἀλλ' ὅμηροι; τίνες; οἷον, ἐγὼ τὸν ἀδελφὸν ἔδωκ' ἄν· (οὐ γὰρ εἶχον 3
ἄλλον) ὁ δὲ βάρβαρος, τῶν ᾗέων τινά· πιστότατα γὰρ ἦν ἔτως ἐμοί τε παρ' ἐκείνε, ἐκείνῳ τε παρ' ἐμοῦ· ταῦτα δὲ γιγνόμενα, πᾶσιν ὑμῖν ἂν ἦν φανερά.

δ'. Φήσει τὶς ὡς χρήμασι τὴν πίστιν ἐποιήμεθα, ἐκεῖνος 1
μὲν, διδὲς· ἐγὼ δὲ, λαμβάνων· πότερον ἓν ὀλίγοις; ἀλλ' ἐκ εἰκὸς ἀντὶ μεγάλων ὑπερημάτων ὀλίγα χρήματα λαμβάνειν· ἀλλὰ πολλά; τίς ἓν ἦν ἡ κομιδή; πῶς 2
δ' ἂν ἐκόμισεν; ἢ πολλοί; πολλῶν γὰρ κομιζόντων, πολλοὶ ἦσαν οἱ μάρτυρες τῆς ἐπιβελῆς· ἑνὸς δὲ κομίζοντος, ἐκ ἂν πολύ τι τὸ φερόμενον ἦν· πότερα δὲ ἐκόμισαν 3
ἡμέρας, ἢ νυκτός; ἀλλὰ πολλαὶ ᾗ πυκναὶ φυλακαὶ, δι' ὧν ἐκ ἔξι λαθεῖν· ἀλλὰ ἡμέρας; ἀλλά γε τὸ φῶς πολεμεῖ τοῖς τοιῦτοις· εἶεν· ἐγὼ δ' ἐξελθὼν ἐδεξάμην, ἢ ἐκεῖνος ὁ 4

(1) Μετὰ τέτες] τῆς ἀλλήλων λόγες· ἢ γραπτέον, μὲ τέτοις.

(2) Πῶς δ' ἂν ἐκόμισεν, ἢ πολλοί;] δοκεῖ δὲ γραπτέον εἶναι ᾠδί· πῶς δ' ἂν ἐκόμισέ τις; ᾗ εἷς, ἢ πολλοί; (3) νυκτός;] ἐπαναληπτέον τῦτο ᾗ αὖθις· νυκτός; ἀλλά.

φέρων εἰσῆλθεν; ἀμφότερα γὰρ ἄπορα· λαβὼν δὲ δὴ πῶς
ἂν ἔκρυψα ἢ τὰς ἔνδον ἢ τὰς ἔξω; πᾶ δ' ἂν ἔθηκα; πῶς
δ' ἂν ἐφύλαξα; χρώμενος δὲ, φανερὸς ἂν ἐγενόμην· μὴ
χρώμενος δὲ, τί ἂν ὠφελούμην ἀπ' αὐτῶν;

1 ε'. Καὶ δὴ τοίνυν γενέσθω ἢ τὰ μὴ γενόμενα· συνήλ-
θομεν, εἴπομεν, ἠκούσαμεν, χρήματα παρ' αὐτῶν ἐλά-
βομεν· ἔλαθον λαβών, ἔκρυψα· ἔδει δήπου πράττειν ὧν
2 ἕνεκα ταῦτα ἐγένετο· τοῦτο τοίνυν ἔτι τῶν εἰρημένων ἀπο-
ρώτερον· πράττων μὲν γὰρ αὐτὸς ἔπραττον, ἢ μεθ' ἑτέ-
ρων, ἀλλ' οὐχ ἑνὸς ἡ πρᾶξις· ἀλλὰ μεθ' ἑτέρων; τίνων;
δηλονότι τῶν συνόντων· πότερον ἐλευθέρων, ἢ δούλων;
3 ἐλευθέροις μὲν ὑμῖν σύνειμι· τίς ἂν ὑμῶν ξύνοιδε, λεγέ-
τω· δούλοις δὲ πῶς οὐκ ἄπιστον; ἑκόντες γὰρ ἐπ' ἐλευ-
θερίᾳ, χειμαζόμενοί τε δι' ἀνάγκην κατηγορεῖσιν· ἡ δὲ
πρᾶξις πῶς ἐγένετο; δηλονότι τοὺς πολεμίους εἰσαγα-
4 γεῖν ἔδει κρείττονας ὑμῶν· ὅπερ ἀδύνατον· πῶς ἂν
ἓν εἰσήγαγον; πότερα διὰ πυλῶν; ἀλλ' οὐκ ἐμὸν ταύτας
ἔτε κλείειν ἔτε ἀνοίγειν, ἀλλ' οἱ ἡγεμόνες κύριοι τούτων·
5 ἀλλ' ὑπὲρ τειχέων διὰ κλίμακος; οὔκουν· ἅπαντα γὰρ
πλήρη φυλάκων· ἀλλὰ διελὼν τὸ τεῖχος; ἅπασιν ἄρα
6 φανερὰ γένοιτ' ἄν· ὑπαίθριος γὰρ ὁ βίος· στρατόπεδον
γάρ ἐστιν ἐν ὅπλοις, ἐν οἷς πάντα [πάντες] ὁρῶσι, ἢ
πάντες ὑπὸ πάντων ὁρῶνται· πάντως ἄρα ἢ πάντη πάν-
τα πράττειν ἀδύνατον ἦν μοι.

1 ς'. Σκέψαωθε κοινῇ ἢ τόδε, τίνος ἕνεκα προσῆκε βε-

(3) Χειμαζόμενοι] ἢ δι' ἐλθερίαν ἑκόντες κατηγορῶσι, ἢ δι' ἀνάγκην ἄλλην τινά· τὸ δὲ, χειμαζόμενοι, οὐκ οἶδ' ὅ,τι βούλεται· εἰμή τις εἴποι, μεταφορικῶς ἐκληφθῆναι ἀντὶ τοῦ, βασανιζόμενοι· ὅπερ ἀπίθανον. (4) ἐμὸν] ὅτως ἀντὶ τοῦ, ἐμοί· προσέθηκα δὲ ἢ τὴν, Διὰ, κατωτέρω, διὰ κλίμακος, γράψας. (6) ἐν οἷς πάντα πάντες ὁρῶσι] προσέθηκα τοῦ, πάντες· φιλεῖ γὰρ ταῦτα ὁ σοφιστὴς ἀλλεπάλληλα ἐντιθέναι πανταχοῦ ἐν τῷ λόγῳ· συνάγεται δὲ ἢ ἐκ τοῦ ἑπομένου.

λησθῆναι ταῦτα πράττειν, εἰ ἢ μάλιστα πάντων ἐδυνάμην·
οὐδεὶς βούλεται προῖκα τοὺς μεγίστους κινδύνους κινδυνεύειν,
οὐδὲ τὴν μεγίστην κακότητα εἶναι κάκιστος· ἀλλ' ἕνεκα τού- 2
των (ἢ αὖθις πρὸς τόδ' ἐπάνειμι·) πότερον τυραννεῖν;
ὑμῶν, ἢ τῶν βαρβάρων; ἀλλ' ὑμῶν ἀδύνατον, τοσούτων
ἢ τοιούτων, οἷς ὑπάρχει ἅπαντα μέγιστα, προγόνων ἀρε-
ταὶ, χρημάτων πλῆθος, ἀριστεῖαι, ἀλκὴ φρονημάτων,
βασιλεία πόλεων· ἀλλὰ τῶν βαρβάρων; ὁ δὲ παραδώ- 3
σων τίς; ἐγὼ δὲ ποίᾳ δυνάμει παραλήψομαι, Ἕλλην
βαρβάρους; εἰς ὢν πολλούς; πείσας, ἢ βιασάμενος; ὅτε
γὰρ ἐκείνοι πεισθῆναι βούλοιντ' ἄν, ἔτ' ἐγὼ βιάσασθαι
δυναίμην· ἀλλ' ἴσως ἑκόντες ἑκόντι παραδώσουσι, μισθὸν
τῆς προδοσίας ἀντιδιδόντες· ἀλλά γε ταῦτα πολλῆς ἂν εἴη
μωρίας ἢ πιστεῦσαι ἢ δέξασθαι· τίς γὰρ ἂν ἕλοιτο δου- 4
λείαν ἀντ' ἐλευθερίας; ἀντὶ τοῦ κρατίστου τὸ κάκιστον; εἴποι
τις ἄν, ὅτι πλούτου ἢ χρημάτων ἐραθεὶς ἐπεχείρησα τού-
τοις· ἀλλὰ χρήματα μὲν μέτρια κέκτημαι, πολλῶν δὲ
ἐνδεὴς δέομαι· πολλῶν γὰρ δέονται χρημάτων οἱ πολλὰ 5
δαπανῶντες, οὐχ οἱ κρείττονες τῶν τῆς φύσεως ἡδονῶν,
ἀλλ' οἱ δουλεύοντες ταῖς ἡδοναῖς, ἢ ζητοῦντες ἀπὸ πλούτου
ἢ μεγαλοπρεπείας τὰς τιμὰς κτᾶσθαι· τούτων δὲ ἐμοὶ 6
πρόσεισιν ἐνδεής· ὡς δ' ἀληθῆ λέγω μάρτυρα πιστὸν παρέ-
ξομαι τὸν παροιχόμενον βίον· τῷ δὲ μάρτυρι μάρτυρες ὑ-
μεῖς ἦτε· σύνεσε γάρ μοι· διὸ σύνισε ταῦτα.

ζ'. Καὶ μὴν εὖ δ' ἂν τιμῆς ἕνεκα τοιούτοις ἔργοις ἀνὴρ 1
ἐπιχειρήσειε ἢ μέσως φρόνιμος· ἀπ' ἀρετῆς γὰρ, ἀλλ'
οὐκ ἀπὸ κακότητος αἱ τιμαί· προδότῃ δὲ τῆς Ἑλλάδος
ἀνδρὶ πῶς ἂν γένοιτο τιμή; πρὸς δὲ τούτοις, οὐδὲ τι- 2

(3) Πολλῆς ἂν εἴη μωρίας] ὅτως ἔγραψα ἀντὶ τοῦ, πολλῆς τιμωρίας· ὁ Ρεϊσκης ἔτρεψεν εἰς τὸ, πολλῆς ἡ μωρίας. (4) εἴποι τις ἂν ὅτι] ὅτω διώρθωσα ἢ τοῦτο ἀντὶ τοῦ, εἴπῃ τις, ὅτι. (6) ἦτε] ἄμειον, εἴητε ἄν· ἢ, ἐσέ.

μῆς ἀπετύγχανον ἐνδεὴς ὤν· ἐτιμώμην γὰρ ἐντιμοτάτοις
ὑπὸ τῶν ἐντιμοτάτων, ὑφ' ὑμῶν, ἐπὶ σοφίᾳ· ᾧ μὴν ἐκ
ἀσφαλὲς, ὧν ἕνεκά τις ἂν ταῦτα πράξαι· πᾶσι γὰρ ὅ γε
προδότης πολέμιος, τῷ νόμῳ, τῇ δίκῃ, τοῖς θεοῖς, τῷ
3 πλήθει τῶν ἀνθρώπων· τὸν μέν γε νόμον παραβαίνει,
τὴν δίκην καταλύει, τὸ δὲ πλῆθος διαφθείρει. τὸ δὲ
θεῖον ἀτιμάζει· τῷ δὲ τοιούτῳ βίῳ περὶ κινδύνων τῶν με-
γίστων ἐδ' ἔχει ἀσφάλειαν· ἀλλὰ δὴ φίλες ὠφελεῖν βε-
4 λόμενος, ἢ πολεμίες βλάπτειν; ᾧ γὰρ τέτων ἕνεκά τις
ἂν ἀδικήσειεν· ἐμοὶ δὲ πᾶν τἐναντίον ἐγίνετο· τὲς μὲν φί-
λες κακῶς ἐποίεν, τὲς ἐχθρὲς ὠφέλεν· ἀγαθῶν μὲν
ἦν ἔκτισιν ἐδεμίαν εἶχεν ἡ πρᾶξις· κακῶς δὲ παθεῖν ἐ-
5 δὲ εἷς ἐπιθυμῶν κακεργεῖ· τὸ δὲ λοιπόν ἐσιν, εἴ τινα
φόβον ἢ πόνον ἢ κίνδυνον φεύγων ἔπραξα· ταῦτα δὲ ἐθεὶς
ἂν εἰπεῖν ἔχοι τί μοι προσήκειν· δισσῶν γὰρ τέτων ἕνεκα
πάντες πάντα πράττεσιν, ἢ κέρδος τι μετιόντες, ἢ ζη-
6 μίαν φεύγοντες· ὅσα δὲ τέτων ἔξω πανεργεῖται· ὡς δὲ
κακῶς ἐμαυτὸν ἐποίεν ταῦτα πράττων, ἐκ ἄδηλον· πρὲ-
δίδεν ἐμαυτὸν, τοκέας, φίλες, ἀξίωμα προγόνων, ἱερὰ
πατρῷα, τάφες, πατρίδα, τὴν μεγίσην τῆς Ἑλλάδος·
ἃ δὲ πᾶσι περὶ παντός ἐσι, ταῦτα ἂν τοῖς ἀδικηθεῖσιν
ἐνεχείρισα.

1 ἡ. Σκέψαθε δὲ ᾧ τόδε, πῶς ἐκ ἂν ἀβίωτος ἦν ὁ βίος
μοι πράξαντι ταῦτα· ποῖ γὰρ τραπέωθαί μ' ἐχρῆν; πότε-
ρον εἰς τὴν Ἑλλάδα, δίκην δώσοντα τοῖς ἠδικημένοις;

(2) Ἐντιμοτάτοις] ἐννόει τὴν, Ἐπὶ, ἐκ τῶν ἑπομένων, ἐπὶ σοφίᾳ· ὅπερ ἐσιν ἐκείνε ἐξήγησις. (2) ἐκ ἀσφαλὲς] ἴσως, ἐκ ἀσφαλῆ· ἐκείνα δηλονότι, ὧν ἕνεκα ᾧ τλ. ἢ ἀναπληρωτέον μᾶλλον ἅτω· ἐκ ἀσφαλὲς ἐν τοῖς μεγίσοις κινδύνοις, ὧν ἕνεκα· ἅτω γὰρ συνάγεται ἐκ τῶν ἑπομένων. (5) τὸ δὲ λοιπόν ἐσι] σκοπεῖν. (6) ὅσα δὲ τέτων ἔξω πανεργεῖται] ἀτελῶς ἔχει· ἴσως δὲ γραπτέον· ᾧ ὐδὲν τέτων ἔξω πανεργεῖται. (6) τὴν μεγίσην] πατρίδα, ἢ πόλιν, τὸ Ἄργος.

τίς δ' ἂν ἀπείχετό με τῶν κακῶς πεπονθότων; ἀλλὰ μέ-
νειν ἐν τοῖς βαρβάροις, παραμελήσαντα πάντων τῶν με- 2
γίσων, ἐσερημένον τῆς καλλίσης τιμῆς, ἐν αἰσχίσῃ δυσ-
κλείᾳ διάγοντα, τὲς ἐν τῷ παροιχομένῳ βίῳ πόνες ἐπ'
ἀρετῇ πεπονημένες ἀποῤῥίψαντα, ᾧ ταῦτα δι' ἐμαυτὸν,
ὅπερ αἴσχισον ἀνδρὶ, δυσυχεῖν δι' αὐτόν; ἐ μὴν ὐδὲ παρὰ 3
τοῖς βαρβάροις πισῶς ἂν διεκείμην· πῶς γάρ; οἵτινες ἀ-
πισότατον ἔργον συνηπίσαντό μοι πεποικότι, τὲς φίλες
τοῖς ἐχθροῖς παραδεδωκότι; βίος δὲ ἐ βιωτὸς πίσεως
ἐσερημένῳ· χρήματα μὲν γὰρ ἀποβαλὼν, τυραννίδος ἐκ- 4
πεσὼν, ἢ τὴν πατρίδα φυγὼν, ἀναλάβοιτις ἄν· ὁ δὲ
πίσιν ἀποβαλὼν, ἐκ ἂν ἔτι κτήσαιτο· ὅτι μὲν ἦν ὐδ' ἂν 5
ἐβελόμην προδῦναι τὴν Ἑλλάδα, διὰ τῶν προειρημένων
δέδεικται· βέλομαι δὲ μετὰ ταῦτα πρὸς τὸν κατήγορον
διαλεχθῆναι.

θ'. Τίνι ποτὲ πισεύσας, τοιῦτος ὢν τοιέτε κατηγο- 1
ρεῖς; ἄξιον γὰρ καταμαθεῖν οἷος ὤν· οἶδάς γε ἴσως ἀνά-
ξιος ἀναξίῳ· πότερα γάρ με κατηγορεῖς, εἰδὼς ἀκριβῶς,
ἢ δοξάζων; εἰ μὲν γὰρ εἰδὼς, οἶδα ἰδὼν, ἢ μετέχων, 2
ἤ τε πυθόμενος· εἰ μὲν ἓν ἰδὼν, φράσον τέτοις τὸν τό-
πον, τὸν χρόνον, πότε, πῦ, πῶς εἶδες· εἰ δὲ μετέ- 3
χων, ἔνοχος εἶ ταῖς αὐταῖς αἰτίαις· εἰ δέ τε μετέχον-
τος ἀκέσας, ὅσις ἐσὶν, αὐτὸς ἐλθέτω, φανήτω, μαρ-
τυρησάτω· πισότερον γὰρ ἅτως ἔσαι τὸ κατηγόρημα μαρ-
τυρηθέν· ἐπεὶ νῦν γε ἑτέρος ἡμῶν παρέχεται μάρτυ- 4

(2) Παραμελήσαντα — ἐσερημένον] ἅτως ἔτρεψα ἀπὸ Δοτικῆς εἰς Αἰτιατικήν· ἄλλως γὰρ σόλοικον. (4) ἀποβαλὼν — ἐκπεσὼν — φυγών·] ἔτρεψα ᾧ ταῦτα ἀπὸ Αἰτιατικῆς εἰς Ὀνομαστικήν· ὁ δὲ λόγος δῆλος.

(1) Ἄξιον] ἄξιον καταμαθεῖν, οἷος ὢν ἐμὲ κατηγορεῖς. (1) οἶδάς γε ἴσως ἀνάξιος ἀναξίῳ] διέφθαρται. (2) εἰ μὲν ἦν ἰδὼν] ἅτως ἀντὶ τε, εἰδώς. (2) πότε, πῦ] παρέλκει ταυτα, ᾧ ἑτέρας χειρὸς δοκεῖ ἐπεξήγησις

ρα, φήσεις ἴσως σὸν εἶναι τές γε τῶν γενομένων (ὡς σὺ φὴς) μὴ παρέχεσθαι μάρτυρας· τῶν δὲ μὴ γενομένων, ἐμέ· τὸ δὲ οὐκ ἴσον ἐσί· τὰ μὲν γὰρ ἀγένητα πῶς ἂν εἴη δυνατὰ μαρτυρηθῆναι; περὶ δὲ τῶν γενομένων οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ καὶ ῥᾴδιον· οὐδὲ μόνον ῥᾴδιον, ἀλλὰ καὶ ψευδομάρτυρας εὑρεῖν· ἐμοὶ δὲ οὐδέτερον εὑρεῖν τούτων ἀδύνατον.

1 ί. Ὅτι μὲν ἓν οὐκ οἶσθα ἃ κατηγορεῖς, φανερόν· τὸ δὲ λοιπὸν, μὴ εἰδότα σε δοξάζειν· εἶτα, ὦ πάντων ἀνθρώπων τολμηρότατε, δόξῃ πισεύσας, ἀπισοτάτῳ πράγματι, τὴν ἀλήθειαν οὐκ εἰδὼς, τολμᾷς ἄνδρα περὶ θα-
2 νάτου διώκειν; ᾧ τί τοιοῦτον ἔργον εἰργασμένῳ σύνοισθα; ἀλλὰ μήν τό γε δοξάσαι κοινὸν ἅπασι περὶ πάντων, καὶ οὐδὲν ἐν τούτῳ σὺ τῶν ἄλλων σοφώτερος· ἀλλ' ἔτε τοῖς δοξάζουσι δεῖ πισεύειν, ἀλλὰ τοῖς εἰδόσιν· ἔτε τὴν δόξαν τῆς ἀληθείας πισοτέραν νομίζειν, ἀλλὰ τἀναντία, τὴν
3 ἀλήθειαν τῆς δόξης· κατηγόρησας δέ μου διὰ τῶν εἰρημένων λόγων δύο τὰ ἐναντιώτατα, σοφίαν καὶ μανίαν· ἅπερ οὐκ οἷόν τε τὸν αὐτὸν ἄνθρωπον ἔχειν· ὅπου μὲν γάρ με φὴς εἶναι τεχνήεντά τε καὶ δεινὸν καὶ πόριμον, σοφίαν
4 μου κατηγορεῖς· ὅπου δὲ λέγεις, ὡς πρὸ δίδου τὴν Ἑλλάδα, μανίαν· μανία γάρ ἐσιν ἔργοις ἐπιχειρεῖν ἀδυνάτοις, ἀσυμφόροις, αἰσχροῖς, ἀφ' ὧν τις τὲς μὲν φίλους βλάψει, τὲς δ' ἐχθρὲς ὠφελήσει, τὸν δὲ αὑτοῦ βίον ἐπονείδισον καὶ
5 σφαλερὸν κατασήσει· καίτοι πῶς χρὴ ἀνδρὶ τοιούτῳ πισεύειν, ὅσις τὸν αὐτὸν λόγον λέγων πρὸς τὲς αὐτὲς ἄν-
6 δρας, περὶ τῶν αὐτῶν τἀναντιώτατα λέγει; βουλοίμην

εἶναι. (4) τές γε τῶν γενομένων] γραπτέον, οἶμαι· τῶν μὲν γενομένων· ἢ, τό γε τῶν γενομένων. (5) ἀδύνατον] ἄμεινον, δυνατόν.

(3) Ἅσπερ οὐκ οἶοντε] ἅοπερ, ἀντὶ τοῦ, ὥσπερ, ἔγραψα· εἰ δὲ μὴ, γραπτέον, ἅπερ.

δ' ἂν παρὰ σοῦ πυθέσθαι, πότερον τὲς σοφὲς ἄνδρας νομίζεις ἀνοήτες ἢ φρονίμες· εἰ μὲν γὰρ ἀνοήτες, κενὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθής· εἰ δὲ φρονίμες, οὐ δήπου προσήκει τές γε φρονοῦντας ἐξαμαρτάνειν τὰς μεγίσας ἁμαρτίας, καὶ μᾶλλον αἱρεῖσθαι κακὰ πρότερον τῶν ἀγαθῶν· εἰ μὲν οὖν εἰμὶ σοφὸς, οὐχ ἥμαρτον· εἰ δ' ἥμαρτον, οὐ σοφός εἰμι· οὐκοῦν δὶ ἀμφότερα ἂν εἴης ψευδής· ἀντικατηγορῆσαι δέσου πολλὰ καὶ μεγάλα καὶ παλαιὰ καὶ νέα πράσσοντος δυνάμενος, οὐ βέλομαι· βέλομαι γὰρ οὐ τοῖς σοῖς κακοῖς, ἀλλὰ τοῖς ἐμοῖς ἀγαθοῖς ἀποφεύγειν τὴν αἰτίαν ταύτην· πρὸς μὲν οὖν σε ταῦτα.

ιά. Πρὸς ὑμᾶς δὲ, ὦ ἄνδρες κριταὶ, περὶ ἐμοῦ βέλο- 1
μαι εἰπεῖν ἐπίφθονον μὲν, ἀληθὲς δὲ, κατηγορημένου μὲν οὐκ ἀνεκτὰ, κατηγορεμένα δὲ οὐ προσήκοντα· νῦν γὰρ ἐν ὑμῖν εὐθύνας καὶ λόγον ὑπέχω τοῦ παροιχομένου βίου· δέο- 2
μαι οὖν ὑμῶν, ἂν ὑμᾶς ὑπομνήσω τῶν ἐμοίτι πεπραγμένων καλῶν, μηδένα φθονῆσαι τοῖς λεγομένοις, ἀλλ' ἀναγκαῖον ἡγήσασθαι, κατηγορημένον δεινὰ καὶ ψευδῆ, καίτι τῶν ἀληθῶν ἀγαθῶν εἰπεῖν, ἐν εἰδόσιν ὑμῖν· ὅπερ ἥδισόν μοι· πρῶτον μὲν οὖν καὶ δεύτερον καὶ μέγισον, διὰ 3
παντὸς ἀπ' ἀρχῆς εἰς τέλος ἀναμάρτητος ὁ παροιχόμενος βίος ἐσί μοι, καθαρὸς πάσης αἰτίας· οὐδεὶς γὰρ ἂν 4
οὐδεμίαν αἰτίαν κακότητος ἀληθῆ πρὸς ὑμᾶς περὶ ἐμοῦ εἰπεῖν ἔχοι· καὶ γὰρ οὐδ' αὐτὸς ὁ κατήγορος οὐδεμίαν ἀπόδειξιν εἴρηκεν ὧν εἴρηκεν· ἔτω λοιδορίαν οὐκ ἔχουσαν ἔλεγχον ὁ λόγος αὐτῷ δύναται· φήσαιμι δ' ἄν, καὶ φήσας οὐκ 5
ἂν ψευσαίμην, οὐδ' ἂν ἐλεγχθείην, οὐ μόνον ἀναμάρτητος, ἀλλὰ καὶ μέγας εὐεργέτης ὑμῶν καὶ τῶν Ἑλλήνων, καὶ τῶν ἁπάντων ἀνθρώπων, ἔκυν τῶν νῦν ὄντων, ἀλλὰ τῶν μελλόντων εἶναι· τίς γὰρ ἂν ἐποίησε τὸν ἀνθρώπινον 6
βίον πόριμον ἐξ ἀπόρου, καὶ κεκοσμημένον ἐξ ἀκόσμου, τά-

ξεις τε πολεμικὰς εὑρὼν, μέγιστον εἰς πλεονεκτήματα, νόμους τε γραπτὰς, φύλακάς τε τῶ δικαίε, γράμματά τε, μνήμης ὄργανον, μέτρα τε καὶ σταθμὰ, συναλλαγῶν εὐπόρους διαλλαγὰς, ἀριθμόν τε χρημάτων φύλακα, πυρσές τε, κρατίστους καὶ ταχίστους ἀγγέλους, πεσσές τε σχο-
7 λῆς ἄλυπον διατριβήν; τίνος ἕν ἕνεκα ταῦθ' ὑμᾶς ὑπέμνησα; δῆλον δ' ἐστὶ τοῖς τοιούτοις τὸν νοῦν προσέχων, σημεῖον δὲ ποιούμενος, ὅτι τῶν αἰσχρῶν καὶ τῶν κακῶν ἔργων ἀπέχομαι· τὸν γὰρ ἐκείνοις τὸν νοῦν προσέχοντα, τοῖς τοιούτοις προσέχειν ἀδύνατον.

1 ιβ'. Ἀξιῶ δὲ, εἰ μηδὲν αὐτὸς ὑμᾶς ἀδικῶ, μηδὲ αὐτὸς ὑφ' ὑμῶν ἀδικηθῆναι· καὶ γὰρ οὐδὲ τῶν ἄλλων ἐπι-
2 τηδευμάτων ἕνεκα ἄξιός εἰμι κακῶς πάσχειν, οὔθ' ὑπὸ νεωτέρων, οὔτ' ὑπὸ πρεσβυτέρων· τοῖς μὲν γὰρ πρεσβυτέροις ἄλυπός εἰμι, τοῖς δὲ νεωτέροις οὐκ ἀνωφελής· τοῖς εὐτυχοῦσιν οὐ φθονερὸς, τῶν δυσυχούντων οἰκτείρμων· οὐδὲ πενίας ὑπερορῶν, οὐδὲ πλοῦτον ἀρετῆς, ἀλλ' ἀρετὴν πλούτου προτιμῶν· ἔτε ἐν βουλαῖς ἄχρηστος, ἔτε ἐν μάχαις ἀργῶς ποιῶν τὸ προσασσόμενον, πειθόμενος τοῖς ἄρχου-
3 σιν· ἀλλὰ γὰρ οὐκ ἐμὸν ἐμαυτὸν ἐπαινεῖν· ὁ δὲ παρὼν καιρὸς ἠνάγκασε, καὶ ταῦτα κατηγορημένον, πάντως ἀπολογήσασθαι.

1 ιγ'. Λοιπὸς δὲ περὶ ὑμῶν πρὸς ὑμᾶς ἔσι μοι λόγος, ὃν εἰπὼν παύσομαι τῆς ἀπολογίας· οἰκτος μὲν οὖν καὶ λιταὶ καὶ φίλων παραίτησις, ἐν ὄχλῳ μὲν ἔσης τῆς κρίσεως,
2 χρήσιμα· παρὰ δ' ὑμῖν τοῖς πρώτοις ἔσι τῶν Ἑλλήνων καὶ δοκοῦσιν, οὐ φίλων βοηθείαις, οὐδὲ οἰκτοις δεῖ πείθειν ὑ-

(6) Διαλλαγὰς] μέτρα καὶ σταθμὰ, ἅπερ εὐπόρως διαλλάττουσι τὰς συναλλάττοντας· Ρ'είσκης δέ φησιν ἄμεινον εἶναι διαλλακτάς. (7) δῆλον δὲ τοῖς τοιούτοις] γραπτέον, οἶμαι, ὡδί· τίνος — ὑπέμνησα; ἢ δηλοῦν δὲ τοῖς τοιούτοις. (7) τὸν γὰρ ἐκείνοις] τοῖς σοφοῖς — τοῖς τοιούτοις· τοῖς παιγνίοις.

μᾶς, ἀλλὰ τῷ σαφεσάτῳ δικαίῳ, διδάξαντα τἀληθὲς, 3
καὶ ἀπατήσαντά με δεῖ διαφυγεῖν τὴν αἰτίαν ταύτην· ὑμᾶς δὲ χρὴ μὴ τοῖς λόγοις μᾶλλον, ἢ τοῖς ἔργοις προσέχειν τὸν νοῦν, μηδὲ τὰς αἰτίας τῶν ἐλέγχων προκρίνειν, μηδὲ τὸν ὀλίγον χρόνον τῷ πολλῷ σοφώτερον ἡγεῖσθαι κριτὴν, μηδὲ τὴν διαβολὴν τῆς πείρας πιστοτέραν νομίζειν· ἅπαντα γὰρ τοῖς ἀγαθοῖς ἀνδράσι μεγάλης εὐλα- 4
βείας, ἁμαρτάνειν, τὰ δὲ ἀνήκεστα τῶν ἀκεστῶν ἔτι μᾶλλον· ταῦτα γὰρ προνοήσασι μὲν δυνατὰ, μετανοήσασι δὲ ἀνίατα· τῶν δὲ τοιούτων ἐστὶν, ὅταν ἄνδρες ἄνδρα περὶ θανάτου κρίνωσιν· ὅπερ ἐστὶ νῦν παρ' ὑμῖν.

ιδ'. Εἰ μὲν ἦν διὰ τῶν λόγων τὴν ἀλήθειαν τῶν 1
ἔργων καθαρὰν γενέσθαι τοῖς ἀκούσι φανερὰν, εὔπορος ἂν εἴη κρίσις ἡ διὰ τῶν εἰρημένων· ἐπειδὴ δὲ οὐχ ἕτως ἔχει, τὸ μὲν σῶμα τοῦμὸν φυλάξατε, τὸν δὲ πλείω χρόνον ἐπιμείνατε, μετὰ δὲ τῆς ἀληθείας τὴν κρίσιν ποιήσατε· ὑμῖν μὲν γὰρ μέγας ὁ κίνδυνος, ἀδίκοις φανεῖσι, 2
δόξαν τὴν μὲν καταβαλεῖν, τὴν δὲ κτήσασθαι· τοῖς δὲ ἀγαθοῖς ἀνδράσιν αἱρετώτερος θάνατος δόξης αἰσχρᾶς· ὁ 3
μὲν γὰρ, τοῦ βίου τέλος· ἡ δὲ, τῷ βίῳ νόσος· ἐὰν δὲ ἀδίκως ἀποκτείνητέ με, πολλοῖς γενήσεται φανερόν· ἐγώ 4
τε γὰρ οὐκ ἀγνὼς, ὑμῖν τε παρὰ πᾶσιν Ἕλλησι γνώριμος ἡ κακότης καὶ φανερά· καὶ τὴν αἰτίαν φανερὰν ἅπασιν ὑμεῖς ἔξετε τῆς ἀδικίας, οὐχ ὁ κατήγορος· ἐν ὑμῖν γὰρ τὸ τέλος ἔχει τῆς δίκης· ἁμαρτία δ' οὐκ ἂν γένοιτο μεί-

(4) ἅπαντα μὲν γὰρ — εὐλαβείας] προσθετέον εἶναι δοκεῖ μετὰ τοῦτο τὸ, ἄξια οὖσε μὴ ἁμαρτάνειν. (5) δυνατὰ] γραπτέον ἴσως, ἰατὰ, ἢ εὐίατα· ἢ προσθετέον τὸ, ἰᾶσθαι.

(4) Οὐκ ἀγνὼς] οὕτως ἔγραψε Ρ'είσκης ἀντὶ τοῦ, ἐγώ τε γὰρ ἀγνώς· ὅπερ ἦν πιθανόν· τὸ δὲ, κακότης, ἀντὶ τοῦ, κακία, ἢ ἀδικία εἰλῆφθαι δοκεῖ. (5) τὸ τέλος ἔχει τῆς ἀδικίας] γραπτέον εἰς εὐθεῖαν, ἡ ἀδικία· ἢ μᾶλλον ἀντὶ τοῦ, ἔχει, γραπτέον, ἧκει.

ζων ταύτης· ἐ γὰρ μόνον εἰς ἐμὲ ᾗ τοκέας τὲς ἐμὲς ἁμαρτήσεθε δικάσαντες ἀδίκως, ἀλλ' ὑμῖν αὐτοῖς δεινὸν, ἄθεον, ἄδικον, ἄνομον ἔργον συνεπισήσεθε πεποιηκότες, ἀπεκτονότες ἄνδρα σύμμαχον, χρήσιμον ὑμῖν, εὐεργέτην τῆς Ἑλλάδος, Ἕλληνες Ἕλληνα, φανερὰν ἐδεμίαν ἀδικίαν ἐδὲ πισὴν αἰτίαν ἀποδείξαντες· εἴρηται τὰ παρ' ἐμοῦ, ᾗ παύομαι· τὸ γὰρ ὑπομνῆσαι τὰ διὰ μακρῶν εἰρημένα συντόμως, πρὸς μὲν φαύλες δικασὰς ἔχει λόγον, τὲς δὲ πρώτες τῶν πρώτων, Ἕλληνας Ἑλλήνων, ἐκ ἄξιον, ἐδ' ἀξιῶσαι μήτε προσέχειν τὸν νῆν, μήτε μεμνῆθαι τὰ λεχθέντα.

ΠΑΡΟΡΑΜΑΤΑ.

Σελ. 34. παραγρ. 3. ἀντὶ τοῦ — τολμῶ, γράφε, πολλῷ — διωμολογήσατο· 39, 4. τῶν εἰσαγγελιῶν· 42, 2. ἠξίωσαν — Πύῤῥος — τρίτῃ· 53, 6. ἀντιλεγόντων· 58, 6. ἐγκαλέσιν οἱ παῖδες τῶν ἀδελφῶν περὶ τῶν· 83, 8. ἐξαιτέντον· 92, 8. εὔνοιάν τε· 93, 2. εἰς αὐτὸν περιεπήσε· αὐτόθι, 3. ἐξ ἑ· 95, 1. δι' ἐπιμελείας· 102, 14. καταβαίνειν· 105, 3. τὸ πλῆθος· 106, 5. λόγων ἀκοῇ· 115, 3. πλέον ἢ ἐνενήκοντα μνῶν· 166, 1. μείζος· 169, 4. προσιόντας· 172, 3. θεράποντα· 201, 2. ἀπειρίᾳ· 203, 2. ἀγαθοῖς· 206, 3. ἐγώ· 215, 4. αὐτὸς ἔφη ἀποκτεῖναι.

ΒΙΒΛΙΟΘΗΚΗ ΜΕΓΑΛΟΥ ΜΕΛΕΤΙΟΥ ΣΑΚΚΟΥΛΑ 1942 ΟΙΚΟΝΟΜΟ